β´ Λυκοῦργος παρήγγειλεν, ἐπὶ τοὺς αὐτοὺς, ὦ Λάκωνες μὴ στρατεύητε πολλάκις, ἵνα μὴ πολεμεῖν τοὺς ἐναντίους διδάσκητε.

γ´ Λυκοῦργος προσέταττεν τοῖς Λάκωσι, τοὺς πολεμίους φεύγοντας μὴ φονεύετε, ἵνα μὴ τοῦ φεύγειν ἡγοῖντο τὸ μένειν λυσιτελέστερον.

ΚΕΦ. ΙΖ.

ΤΥΡΤΑΙΟΣ.

Τυρταῖος Λακεδαιμονίων μελλόντων παρατάττεσθαι Μεσσηνίοις, καὶ βεβουλευμένων νικᾷν, ἢ ἀποθανεῖν ἐν τῇ μάχῃ· ἵνα δὲ ὑπὸ τῶν οἰκείων ἐν τῇ τῶν νεκρῶν ἀναιρέσει γνωρίζοιτο ἕκαστος, ἐπὶ τὰς σκυταλίδας τοὔνομα γραψάντων, καὶ περὶ τῇ λαιᾷ χειρὶ φερόντων, βουλόμενος ἐκπλῆξαι τοὺς Μεσσηνίους τοῦτο μαθόντας, παρήγγειλε μὴ παρατηρεῖν τοὺς αὐτομολοῦντας Εἵλωτας.· οἱ δὲ μηδενὸς παραφυ-

gem excogitaſſet, ea Delphos perlata, conſulebat oraculum, an eſſet utilis. Sacerdos vero pecuniis corrupta, ſemper utilem eſſe reſpondebat. Laconas metu Dei, legibus tanquam oraculis obedientiam præſtiterunt.

2 Lycurgus tulit legem iisdem, o Lacones, ne crebro bellum geratis, ne bellandi peritiam uſumque hoſtes doceatis.

3 Lycurgus legem ſcripſit Laconibus, hoſtes fugientes nolite trucidare, ne potius ducant manere, quam fugere.

CAP. XVII.

TYRTAEUS.

Tyrtæus Lacedæmoniis volentibus cum Meſſeniis ſigna conferre, cum ſtatuiſſent aut victoriam reportare, aut mortem in prælio obire: ut autem quilibet a ſuis in mortuorum ſepultura agnoſceretur, ſcytalis nomen inſcribentibus, easque circa lævam ferentibus: volens, hac re patefacta, terrorem incutere Meſſeniis, mandavit, ut Helotum transfugientium nulla ratio ducere-

ραφυλάττοντος, ἀνέδην αὐτομολήσαντες ἤγγειλαν τοῖς Μεσσηνίοις τὴν ἀπόνοιαν τὴν Λακωνικήν. οἱ δὲ καταπλαγέντες ἀσθενέστερον ἀγωνισάμενοι, τὴν νίκην οὐ διὰ μακροῦ Λακεδαιμονίοις ἔδωκαν.

ΚΕΦ. ΙΗ.

ΚΟΔΡΟΣ.

Ἀθηναίοις, καὶ Πελοποννησίοις, πόλεμος ἦν. ὁ Θεὸς ἔχρησε νικᾷν Ἀθηναίους· εἰ ὁ βασιλεὺς αὐτῶν ἀποθάνοι πρὸς ἀνδρὸς Πελοποννησίου· Κόδρος ἦν Ἀθηναίων βασιλεύς. οἱ πολέμιοι τὸ λόγιον εἰδότες, κοινὸν αὐτοῖς ἦν παράγγελμα ἐν ταῖς μάχαις ἀπέχεσθαι Κόδρου. ὁ δὲ, ἦν γὰρ ἑσπέρα, σχῆμα φρυγανιστῆρος λαβὼν, τοῦ χάρακος προελθὼν, ἔτεμνε τὴν ὕλην. ἔτυχον δὲ καὶ Πελοποννήσιοι ἄνδρες κατὰ φρυγανισμὸν ἥκοντες. ἀψιμαχεῖ τούτοις Κόδρος, ὥς τε καὶ τὸ δρέπανον ἐπ' αὐτοὺς ἀνατεινάμενος ἔτρωσεν. οἱ δὲ φθάσαντες κατακαίνουσιν αὐτὸν τοῖς δρεπάνοις· καὶ γαννύμενοι ἀπηλλάγησαν, 22 ὡς ἀνδραγάθημα δὴ

22 Diſtinctonem, quam *Caſaub.* ſuadet, ſecutus ſum, deleto puncto poſt *παιανίσαντες.*

ceretur. et nemine obſervante, confertim transfugientes, Meſſeniis deſperationem Laconicam nuntiarunt. At illi perterriti, infirmiori robore pugnantes, victoriam brevi Lacedæmoniis conceſſerunt

CAP. XVIII.

CODRUS.

Athenienſibus bellum intercedebat cum Peloponneſiis. Oraculum victoriam Athenienſibus denuntiarat, ſi regi ipſorum a Peloponneſio mors afferretur. Codrus erat Athenienſium rex. Hoſtes cum reſciviſſent oraculum, commune edictum propoſuerunt, ut in prælio omnes a Codro manus abſtinerent. At ille (nam erat veſpera) ſarmentarii habitu progreſſus e caſtris, ligna ſecabat. Venerant autem etiam Peloponneſii lignatum. Cum his Codrus pugnam incipit, ita ut extenta falce vulneribus eos afficeret. Illi ſuperantes, falcibus eum confecerunt, atque cum gaudio diſceſſerunt, quaſi ſtre-

δὴ πεποιηκότες. Παιωνίσαντες Ἀθηναῖοι, τί γὰρ οὐκ ἔμελλον, τοῦ λογίου πεπληρωμένου; θυμῷ καὶ ῥώμῃ πλείονι προϊᾶσιν ἐς μάχην. καὶ πρὸ τῆς μάχης κήρυκα πέμψαντες ᾔτησαν ἀναίρεσιν τοῦ βασιλέως. Πελοποννήσιοι μὲν οὖν συνέντες τοῦ γεγονότος, ἔφυγον. Ἀθηναῖοι δὲ νικήσαντες Κόδρῳ τιμὰς ἀνεστήσαντο τῶν ἡρώων, ὅτι περ τοὺς πολεμίους ἑκουσίῳ θανάτῳ κατεστρατήγησεν.

ΚΕΦ. ΙΘ'.

ΜΕΛΑΝΘΟΣ.

Ἀθηναίων στρατηγὸς ἦν Μέλανθος, Βοιωτῶν Ξάνθος. ἐπολέμουν Μελαινῶν πέρι Μελαινῶν, χωρίου μεθορίου Ἀττικῆς καὶ Βοιωτίας. ὁ θεὸς ἔχρησε τῷ Ξάνθῳ,

[23] Τάξιν ἀπάτῃ ὁ μέλας φόνον ἔσχε Μελαίνας.

τοῦ λογίου τὸ ἔργον, ἀποβαίνει τῇδε. οἱ στρατηγοὶ μονομαχοῦσι τῆς νίκης πέρι· καὶ συνιόντων ὁ Μέλανθος ἔφη, καὶ μὴν ἀδικεῖς [24] δεύτερος ἰὼν ἐπὶ τὴν μάχην. ὁ Ξάνθος ἐπεστράφη τὸν δεύτερον ὀψόμενος, καὶ ὑπὸ τοῦ Μελάνθου τῷ

23 *Caſ.* locum corruptum ſic reſtituit, legens: Ξάνθον ἀπατήσας ὁ Μελάνθιος (vel Μελάγχροος) ἔσχε Κελαινάς.
24 *Vulg.* δεύτερον ἄγων.

ſtrenuo facto facinore. At Athenienſes clamore ſublato (quid enim moram traherent impleto vaticinio) ira et robore majori in prælium procedunt: et ante pugnam miſſo præcone, corpus regis ad ſepeliendum repetebant. Peloponneſii re cognita, in fugam verſi ſunt. Athenienſes parta victoria, Codro decreverunt heroicos honores, quod hoſtes voluntaria morte expugnaſſet

CAP. XIX.

MELANTHUS.

Melanthus Athenienſium dux erat, Bœotorum Xanthus. Hi de Melænis bellum gerebant. Melænæ caſtellum erat finitimum Atticæ et Bœotiæ. Deus prodiderat Xantho,

Xanthe, fraude Melanthus obtinebit Melænas.

cui oraculo reſpondit eventus. Hi duces pugnam ſingularem committunt de victoria. Et congredientibus Melanthus ajebat: Atqui injuriam facis, qui comitatus venias ad pugnam. Xanthus converſus, ut alterum reſpiceret, a Melantho confixus

τῷ ξυςῷ διελασθεὶς, ανηρέθη. Ἀθηναῖοι τῷ ςρατηγήματι τῆς ἀπάτης νικήσαντες ἐτήσιον ἑορτὴν κατεςήσαντο, ἥν γε δὴ κληΐζουσιν 25 Ἀπατουρίαν.

ΚΕΦ. Κ.

ΣΟΛΩΝ.

Ἀθηναῖοι, καὶ Μεγαρεῖς, ἐπολέμουν χρόνῳ μακρῷ, Σαλαμῖνος πέρι. ἡσσώμενοι Ἀθηναῖοι, νόμον ἐκύρωσαν, τῷ ἀγορεύσαντι πλεῖν ἐπὶ Σαλαμῖνος μάχῃ, θάνατος ἔςω. Σόλων τὸν θάνατον οὐ φοβηθεὶς, λύει τὸν νόμον, λύει δὲ ὧδε. μανίαν ὑποκρίνεται, καὶ προελθὼν εἰς ἀγορὰν ἐλεγεῖα ᾖδεν. τὰ δὲ ἐλεγεῖα ἦν Ἀρήϊα ἄσματα. τούτοις ἤγειρεν Ἀθηναίους ἐπὶ τὴν μάχην. οἱ δὲ κάτοχοι ἐκ Μουσῶν, καὶ Ἄρεος, αὐτίκα ἐπήγοντο ᾄδοντες ὁμοῦ καὶ ἀλαλάζοντες καὶ Μεγαρεῖς κατὰ κράτος ἐνίκων. καὶ παλιν ἡ Σαλαμὶς Ἀθηναίων κτῆμα ἦν. Σόλων δὲ μάλα ἐθαυμάζετο, καὶ τὸν νόμον λύσας τῇ μανίᾳ, καὶ τὸν πόλεμον νικήσας τῇ μουσικῇ.

β' Ἦν

25 Legendum ex conject *Maſu.* Ἀπατούρια.

fixus jaculo peremtus eſt. Athenienſes ſtrategematis dolo victoriam adepti, annuum feſtum inſtituerunt, quam vocant Apaturiam, id eſt, deceptoriam.

CAP. XX.

SOLON.

Athenienſes et Megarenſes longo tempore bellum de Salamine geſſerunt. Victi Athenienſes, legem juſſerunt: Qui ſuaſerit, navigandum eſſe ad pugnam Salaminenſem, mortis reus eſto. Solon nihil perterritus morte, legem abrogat, hoc pacto: ſimulat inſaniam, et progreſſus in concionem, Elegos cecinit. Elegi vero erant Martia carmina. His Athenienſes ad pugnam excitavit: qui Muſis et Marte perciti, confeſtim portu ſolvebant, cantus et vociferationes juxta edentes, atque Megarenſes vi ac robore ſuperabant: et Salamis iterum Athenienſium ditionis facta eſt. Solon vero in ſumma admiratione habebatur, tum quod legem antiquaſſet furore, tum quod Muſica bellum viciſſet.

 2. Cum

β΄ Ἦν πόλεμος Ἀθηναίοις καὶ Μεγαρεῦσι, Σαλαμῖνος πέρι· Σόλων ἔπλευσεν ἐπὶ Κωλιάδος, ἔνθα αἱ γυναῖκες Δήμητρι ἑορτὴν ἐτέλουν. [26] ἐπ᾽ αὐτῇ τῇ θαλάσσῃ αὐτόμολον ἐκπέμπει Σόλων ἀγγελοῦντα Μεγαρεῦσιν, ἢν ἐπὶ Κωλιάδος πλεύσητε, τὰς Ἀθηναίων γυναῖκας αἱρήσετε χορευούσας, ἀλλὰ μὴ μέλλετε. Μεγαρεῖς τῇ ἀπάτῃ πείθονται. οἱ μὲν δὴ ἐπέπλεον. Σόλων δὲ, τὰς μὲν γυναῖκας ἀναχωρῆσαι κελεύει· μειράκια δὲ ἀγένεια ταῖς τῶν γυναικῶν ἐσθῆσι κεκοσμημένα, στεφάνοις περικείμενα κρυπτοῖς ἐγχειριδίοις ὡπλισμένα, παρὰ τὴν ἠϊόνα παίζειν καὶ χορεύειν ἔταξεν. οἱ δὲ Μεγαρεῖς τῇ ὄψει τῶν ἀγενείων, καὶ τῇ ἐσθῆτι τῶν γυναικῶν ἐξαπατώμενοι, τῶν νεῶν ἀποβάντες ἐπειρῶντο συλλαμβάνειν οἷα δὴ γυναῖκας. οἱ δὲ σπασάμενοι τὰ ἐγχειρίδια, μάλα δὴ ἀντὶ γυναικῶν ἄνδρες ἐφάνησαν, τοὺς πολεμίους ἔκτειναν, τῶν νεῶν ἐπέβησαν, τῆς Σαλαμῖνος ἐκράτησαν.

ΚΕΦ. ΚΑ.

26 Melius judice *Caſaub.* punctum poneretur poſt τῇ θαλάσσῃ· ſcilicet mulieres feſtum celebraſſe prope mare.

2 Cum Athenienſibus et Megarenſibus de Salamine bellum eſſet, Solon navigavit verſus Coliadem, ubi mulieres Cereris feſtum celebrabant. In ipſo mari emittit Solon transfugam ad Megarenſes, qui nuntiaret: Si in Coliadem navigaveritis, Athenienſium uxores capietis, choreas ducentes, modo non cunctemini. Megarenſes dolo credunt, et eo naves dirigunt. Solon vero mulieres decedere jubet: atque adoleſcentes impuberes, muliebribus veſtimentis amictos, coronis ornatos, clandeſtinis enſibus armatos, ad littus ludere ac ſaltare juſſit. Megarenſes imberbium vultu, et veſtitu mulierum decepti, egredientes e navibus, capere tanquam mulieres conabantur: qui ſtrictis repente gladiis, pro mulieribus viri apparuerunt, hoſtes occiderunt, naves conſcenderunt, et Salamine potiti ſunt.

CAP. XXI.

ΚΕΦ. ΚΑ.

ΠΕΙΣΙΣΤΡΑΤΟΣ.

Πεισίστρατος ἀπ' Εὐβοίας ἐστράτευσεν εἰς Ἀττικὴν ἐπὶ Παλληνίδος· καὶ τοῖς πρώτοις τῶν πολεμίων προσπεσὼν ἔκτεινε πάντας προελθὼν, ἄλλοις ἀπηντᾶτο πλείοσι, παράγγελμα ἔδωκε θαλλῷ στεφανοῦσθαι, καὶ μὴ κτείνειν τοὺς ἀπαντῶντας. φράζειν δὲ ὡς ἐσπείσαντο τοῖς πρώτοις. οἱ δὲ πιστεύσαντες ἄρα σπένδονται, καὶ Πεισιστράτῳ τὸ ἄστυ ἐπέτρεψαν. ὁ δὲ ἅρματος ἐπιβὰς, παραστησάμενος γυναῖκα μεγάλην, καλὴν, ὄνομα Φύην, Παλλαδικοῖς ὅπλοις κεκοσμημένην, δόξαν ἐνδοὺς ὡς 27 Ἀθηνᾷ κατάγει Πεισίστρατον, ἀδεῶς εἰσήλασε, καὶ τῆς τυραννίδος τῶν Ἀθηναίων κατέσχεν.

β' Πεισίστρατος Ἀθηναίων τὰ ὅπλα βουλόμενος παρελέσθαι, παρήγγειλεν ἥκειν ἅπαντας εἰς τὸ Ἀνάκειον, μετὰ τῶν ὅπλων. οἱ μὲν ἧκον. ὁ δὲ προῆλθε δημηγορῆσαι βουλόμενος, καὶ σμικρᾷ τῇ φωνῇ λέγειν ἤρχετο. οἱ

δὲ

27 Rectius Ἀθηνᾶ recto caſu. *Caſ.*

CAP. XXI.

PISISTRATUS.

Piſiſtratus ab Eubœa expeditionem fecit in Atticam verſus Pallenidem : et in primas copias hoſtium incidens, eas occidione occidit. Progreſſus, aliis pluribus obviam fit. Ibi præcipit ſuis, ut ſertis coronentur, neque adventantes occiderent, ſed affirmarent, ſe cum primis fœdus iciſſe. Illi credentes, pacem ineunt, et urbem Piſiſtrato concedunt. Qui conſcenſo curru, fœminam magnam et venuſtam propter ſe conſtituit, nomine Phyam, armis Palladicis ornatam : opinionem movens, quod Minerva ducem Piſiſtratum ſine periculo immiſerit: atque ſic Athenienſium tyrannidem occupavit.

2. Piſiſtratus Athenienſibus arma volens adimere, mandatum promulgavit, ut omnes cum armis in Anaceum venirent. Qui cum veniſſent, ipſe prodiit verba facturus, et exigua, exilique voce ſermonem orſus

eſt.

δὲ ἐξακȣ́ειν μὴ δυνάμενοι, προελθεῖν αὐτὸν ἠξίωσαν εἰς τὸ προπύλαιον, ἵνα πάντες ἐπακȣ́σειαν· ἐπεὶ δὲ, ὁ μὲν ἡσυχῇ διελέγετο. οἱ δ' ἐντείναντες τὰς ἀκοὰς προσεῖχον, οἱ ἐπίκȣροι προελθόντες, καὶ τὰ ὅπλα ἀράμενοι, κατήνεγκαν εἰς τὸ ἱερὸν τῆς Ἀγραύλȣ. Ἀθηναῖοι δὲ γυμνοὶ καταλειφθέντες, τότε ᾔσθοντο τῆς Πεισιςράτȣ βραχυφωνίας, ὅτι ἄρα ἦν τέχνασμα, κατὰ τῶν ὅπλων.

γʹ Πεισίςρατος, Μεγακλεῖ διεπολιτεύετο, καὶ ἦν ὁ Μεγακλῆς ὑπὲρ τῶν πλȣσίων τεταγμένος· ὁ δὲ Πεισίςρατος ὑπὲρ τῶν πενήτων. καὶ δή ποτε ἐν ἐκκλησίᾳ πολλὰ τῷ Μεγακλεῖ λοιδορησάμενος, καὶ ἀπειλήσας, ἀπηλλάγη· κατατρώσας δ' ἑαυτὸν ȣ̓ καιρίοις τραύμασι, τῆς ὑςεραίας προῆλθεν ἐπὶ τὴν ἀγορὰν, δεικνύων τοῖς Ἀθηναίοις ταῦτα. ὁ δὲ δῆμος ὑπερηγανάκτησεν, ὡς ὁ κηδόμενος αὐτῶν δι' αὐτȣ̀ς ταῦτα εἴη παθὼν, καὶ ἐς φυλακὴν τȣ̃ σώματος ἔδωκεν αὐτῷ τριακοσίȣς φύλακας. οἷς κορυνηφόροις χρησάμενος, αὐτός τε τύραννος Ἀθηναίων ἐγένετο, καὶ τοῖς παισὶ τὴν τυραννίδα κατέλιπεν.

ΚΕΦ. ΚΒ.

eſt. Illi vero cum exaudire non poſſent, juſſerunt in veſtibulum progredi, ut omnes dicentem exaudire poſſent. Qui cum remiſſe loqui pergeret, et illi attentis auribus auſcultarent, ſocii prodeuntes, et arma tollentes, in templum Agrauli detulerunt. Athenienſes vero nudi ac deſtituti tum demum in Piſiſtrato vocis tenuitatem intellexerunt, quod fuiſſet Piſiſtrati dolus ad armorum ereptionem adhibitus.

3 Piſiſtratus cum Megacle in Republica ſimultates exercebat. Erat autem Megacles præfectus divitibus, Piſiſtratus egenis et pauperibus. Et aliquando in concione multis conviciis Megaclem inſectatus, et minis, diſcedebat. Cum ſe ipſum deinde non letalibus vulneribus affeciſſet, poſtridie in forum prodiit, monſtrans hæc Athenienſibus. Populus ira atque indignatione permotus, quod ſuus præfectus, et curator ipſorum propter ſe tanta mala paſſus eſſet, ad protegendum corpus trecentos ei cuſtodes addidit. Quibus clavigeris uſus, factus eſt Athenienſium tyrannus, et ſuis liberis tyrannidem reliquit.

CAP. XXII.

ΚΕΦ. ΚΒ.

ΑΡΙΣΤΟΓΕΙΤΩΝ.

Ἀριστογείτων ὑπὸ τῶν δορυφόρων στρεβλούμενος περὶ τῶν συνειδότων· τῶν μὲν συνειδότων ὡμολόγησεν οὐδένα. πάντας δὲ τοὺς Ἱππίου φίλους κοινωνῆσαι τῆς ἐπιθέσεως. ὁπότε δὲ τούτους Ἱππίας ἀπέκτεινε, τότε ὁ Ἀριστογείτων ὠνείδισεν αὐτῷ τὸ κατὰ τῶν φίλων στρατήγημα.

ΚΕΦ. ΚΓ.

ΠΟΛΥΚΡΑΤΗΣ.

Πολυκράτει Σαμίῳ καταθέοντι τὴν Ἑλληνικὴν θάλατταν, ἔδοξεν εἶναι στρατηγικὸν, εἰ κατάγοι κατὰ τῶν φίλων, ὡς εἰ ἀπαιτούμενα λαμβάνοιεν φιλοτέρους ἕξει· οὐδὲν δὲ λαβὼν οὐκ ἂν οὐδ᾽ ἀποδοῦναι δύνασθαι.

β Πολυκράτης, μελλόντων Σαμίων ἐν τῷ ἱερῷ θυσίαν ποιεῖν τῆς Ἥρας πάνδημον, ἐν ᾗ μεθ᾽ ὅπλων ἐπόμπευον, πλεῖστα ὅσα τῇ προφάσει τῆς ἑορτῆς ὅπλα συλλέξας, τοὺς μὲν ἀδελφοὺς Συλοσῶντα καὶ Παντάγνωστον συμπομπεύειν ἔταξε

CAP. XXII.

ARISTOGITON.

Ariſtogiton cum a lictoribus per tormenta vexaretur, ut conſcios proderet, conſciorum neminem ſignificavit: Omnes vero amicos Hippiæ, participes inſidiarum fuiſſe dixit: Cum hos morte multaſſet Hippias, tum Ariſtogiton in amicos ſtrategema ei exprobravit.

CAP. XXIII.

POLYCRATES.

Polycrati Samio mare Græcum infeſtanti, viſum eſt eſſe callidum commentum, ſi claſſe infeſta amicorum ditionem peteret, quos, ſi repetita reciperent, amiciores habiturus eſſet. Quod ſi nihil abſtuliſſet, nihil quoque reſtituere poſſe.

2 Polycrates, cum Samii publicum ſacrificium facere in templo Junonis vellent, in quo cum armis pompam agebant, plurimis armis per cauſſam ſolemnitatis collectis, fratres Syloſontem et Pantagnoſtum una pompam ducere

ἔταξε· μετὰ δὲ τὴν πομπὴν, τῶν Σαμίων θύειν μελλόντων, οἱ πλεῖστοι τὰς πανοπλίας ἀπέθεντο παρὰ τοῖς βωμοῖς 28 προσέχοντες ταῖς εὐχαῖς, οἱ δ' ἀμφὶ Συλοσῶντα, καὶ Παντάγνωστον τὰ ὅπλα ἔχοντες, ἀνὴρ ἀνδρὶ παραστὰς, ἐφεξῆς ἅπαντας ἐκτίννυον. Πολυκράτης τοὺς ἐν τῇ πόλει τῆς ἐπιθέσεως μετέχοντας ἁλίσας προκατελάβετο τῆς πόλεως τοὺς ἐπικαιροτάτους τόπους, ἀπὸ τοῦ ἱεροῦ μετὰ τῶν ὅπλων σπουδῇ θέοντας ἀδελφοὺς καὶ συμμάχους δεξάμενος. τειχίσας δ' ἀκρόπολιν τὴν καλουμένην Ἀστυπάλαιαν, μεταπεμψάμενος παρὰ Λυγδάμιδος τοῦ Ναξίων τυράννου στρατιώτας. καὶ δὴ Σαμίων τύραννος ἦν.

ΚΕΦ. ΚΔ.

ΙΣΤΙΑΙΟΣ.

Ἱστιαῖος ὁ Μιλήσιος, ἐν Πέρσαις διάγων παρὰ Δαρείῳ βασιλεῖ, βουλόμενος Ἰωνίαν ἀποστῆσαι, γράμματα πέμπειν οὐ θαῤῥῶν διὰ τοὺς φύλακας τῶν ὁδῶν, οἰκέτην πιστὸν ἀποξύρας τὰς τρίχας, στίγματα ἐνεγράψατο τῇ κεφαλῇ,

Ἱστι-

28 *Florent.* προσέχοντες καὶ εὐχαῖς, οἱ δὲ σπονδαῖς ἀμφὶ Συλωσ. *Cantabr.* προσέχοντες, καὶ ταῖς εὐχαῖς. οἱ δὲ σπονδαῖς ἀμφὶ Συλωσ.

ducere juſſit. Poſt vero pompam, cum ſacrificium obire Samii inſtituerent, plurimi arma depoſuerunt ad altaria, partim occupati votis, partim libationibus. At qui cum Syloſonte et Pantagnoſto erant, arma tenentes, vir virum adortus, omnes ordine trucidabant. Polycrates in civitate congregatis iis, qui inſidiarum participes eſſent, præoccupabat opportuniſſima loca, accurentibus e templo omni ſtudio fratribus cum armis, quibus in auxilium aſſumtis, arcem muniebat Aſtypalæam nomine, accerſitis a Lygdamide Naxiorum tyranno militibus, atque Samiorum imperium obtinebat.

CAP. XXIV.

ISTIAEUS.

Iſtiæus Mileſius, in Perſia agens apud Darium regem, Ioniam ad defectionem ſollicitare volens, neque audens litteras mittere, propter cuſtodes viarum, ſervo fideli capillis abraſis, ſtigmata capiti inſcripſit: Iſti-

æus

Ἱστιαῖος Ἀρισταγόρᾳ· Ἰωνίαν ἀπόστησον. καὶ τοῖς στίγμασιν ἐπέθρεψε τὰς τρίχας. τοῦτον τὸν τρόπον λαθὼν τοὺς φύλακας ὁ στιγματοφόρος, καὶ καταβὰς ἐπὶ θάλασσαν, ἀποξυράμενος ἔδειξεν Ἀρισταγόρᾳ τὰ στίγματα· ὁ δὲ ἀναγνοὺς, τὴν Ἰωνίαν ἀπέστησεν.

ΚΕΦ. ΚΕ.

ΠΙΤΤΑΚΟΣ.

Πιττακὸς, καὶ Φρύνων, ἐμονομάχουν Σιγείου πέρι. ἔδοξεν ἀμφοῖν ἴσα ἔχειν ὅπλα. τὰ μὲν δὴ φανερὰ, ἴσα ὅπλα ἦν. Πιττακὸς δὲ ὑπὸ τῇ ἀσπίδι κρύψας ἀμφίβληστρον περιβάλλει τὸν Φρύνωνα, καὶ ῥᾳδίως ἐπισπασάμενος κτείνει· καὶ Σίγειον τοῖς δεσμίοις, τῷ τε λίνῳ ἐθήρευσεν. οἷον καὶ νῦν οἱ μονομαχοῦντες λίνον ἔχουσι, Πιττακὸς ἐδίδαξεν.

ΚΕΦ. Κϛ.

ΒΙΑΣ.

Κροῖσος Λυδὸς [29] ἐπιπλεῖν νησιώταις παρεσκευάζετο. Βίας ὁ Πριηνεὺς ἐξέπληξε τὸν Λυδὸν, εἰπών. οἱ νησιῶται πολλὴν

29 *Florent.* ἐπὶ πλείστους νησιώτας & ſic quoque Interpres.

æus Ariſtagoræ : Ioniam ad deficiendum ſollicita: atque ſupra ſtigmata crines nutrivit. Hoc modo fallens cuſtodes ſtigmatophorus, deſcendit in mare, et abraſis capillis, Ariſtagoræ ſtigmata monſtravit : qui cum legiſſet, effecit ut Ionia deſciſceret.

CAP. XXV.

PITTACUS.

Pittacus et Phrynon ſingulari certamine pro Sigeò certabant : ac viſum eſt, ut uterque paribus armis uteretur. Arma quidem, quae conſpiciebantur, paria erant. At Pittacus occultato ſub ſcuto reti, Phrynonem conſtringit, et facile tractum vita privat, atque Sigeum vinculo lineo piſcatus eſt. Quemadmodum etiam nunc ſolitariam pugnam ineuntes, linum habent, id Pittacus docuit.

CAP. XXVI.

BIAS.

Crœſus Lydus adverſus plurimos inſulanos bellum parabat. Eum Bias Prienenſis deterruit, inquiens : Inſu-

πολλὴν ἵππον ἐπί σε ὠνοῦνται. ὁ δὲ γελάσας ἔφη, ὦ Ζεῦ, νησιώτας ἐν ἠπείρῳ λάβοιμι. ὁ δὲ Βίας, τί δ' ἄλλο ἔφη κἀκείνους εὔχεσθαι Διΐ, ἢ ὅπως Κροῖσον τὸν ἠπειρώτην ἐν θαλάττῃ λάβοιεν; ὁ λόγος τοῦ Βίαντος Κροῖσον ἔπεισεν ἐπὶ τὰς νήσους πλεῦσαι μηκέτι.

ΚΕΦ. ΚΖ.

ΓΕΛΩΝ.

Γέλων Δεινομένους Συρακούσιος ἐν τῷ πρὸς Ἰμίλκωνα τὸν Καρχηδόνιον πολέμῳ, στρατηγὸς αὐτοκράτωρ χειροτονηθεὶς λαμπρῶς ἀγωνισάμενος, καὶ κρατήσας, παρελθὼν εἰς ἐκκλησίαν, καὶ εὐθύνας δοὺς τῆς αὐτοκράτορος ἀρχῆς, τῆς δαπάνης, τῶν καιρῶν, τῶν ὅπλων, τῶν ἵππων, τῶν τριήρεων, ἐπὶ πᾶσιν ἐπαινεθεὶς, τέλος ἐξέδυ τὴν ἐσθῆτα, καὶ στὰς ἐν μέσῳ γυμνός. οὕτως ἐγὼ, ἔφη, γυμνὸς ὑμῖν ἕστηκα, ὑμεῖς δ' ἔνοπλοι. ὥς τε εἴ τι μοι πέπρακται βίαιον, χρήσασθε κατ' ἐμοῦ, καὶ σιδήρῳ, καὶ πυρὶ, καὶ λίθοις. ὁ δῆμος ἐπεβόησεν, ὡς ἄριστον στρατηγὸν ἐπαινῶν. ὁ δὲ ὑπο-

Inſulani magnum equorum numerum, adverſus te coëmunt. Qui cum ridens, Hoc faxit Jupiter, diceret, ut inſulanos in continenti capiam: Bias, Quid, inquit, credis etiam illos aliud optare, quam ut Crœſum continentis incolam in mari capiant? Hæc Biantis oratio perſuaſit Crœſo, ut navigationem in inſulas omitteret.

CAP. XXVII.

GELON.

Gelon Dinomenis filius, Syracuſius, in bello adverſus Himilconem Carthaginienſem ſuſcepto, creatus ſummus dux et imperator, cum egregie pugnaſſet, victor prodiens in concionem, rationesque reddens imperatoriæ dignitatis, impenſarum, temporum, armorum, equorum, triremium, et ob hæc univerſa collaudatus, tandem exuit veſtem, atque ſtans in medio nudus: Sic, inquit, ego vobis nudus ſto, vos autem armati. Itaque ſi quid a me geſtum eſt intolerabiliter, adhibete contra me ferrum, ignemque, et lapides. Tum acclamavit populus, tanquam optimum ducem collaudans. Qui

ὑπολαβὼν ἔφη, καὶ εἰσαῦθις γοῦν τοιοῦτον στρατηγὸν χειροτονήσατε. πάλιν ὁ δῆμος, ἀλλὰ τοιοῦτον ἄλλον οὐκ ἔχομεν· οὕτως δὴ παρακληθεὶς δεύτερον στρατηγῆσαι, ἀντὶ στρατηγοῦ, Συρακουσίων ἐγένετο τύραννος.

β΄ Γέλων Σικελῶν τύραννος Ἰμίλκωνι βασιλεῖ Καρχηδονίων διαπλεύσαντι ἐπὶ Σικελίαν ἀντιστρατοπεδεύων, μάχῃ μὲν συμβαλεῖν οὐκ ἐθάῤῥει. Πεδίαρχον δὲ τὸν τοξοτῶν ἡγούμενον, ὅμοιον ἑαυτῷ τὴν ἰδίαν ἀμφιέσας τὴν ἑαυτοῦ τυραννικὴν ἐσθῆτα, ἐκέλευσε προελθεῖν τοῦ στρατοπέδου, καὶ θύειν ἐπὶ τῶν βωμῶν. ἕπεσθαι δὲ αὐτῷ τοξότας ἐν ἐσθῆτι λευκῇ, κατέχοντας μυρσίνας, τόξα [30] ὑπὸ τὰς μυρσίνας κρύπτοντας. ἡνίκ' ἂν δὲ ἴδωσιν Ἰμίλκωνα, καὶ αὐτὸν ὁμοίως προελθόντα, καὶ θύοντα τοξεύειν ἐπ' αὐτόν. οὕτω δὴ τούτων πραχθέντων, Ἰμίλκων οὐδὲν ὑπιδόμενος, προελθὼν ἔθυεν. ὃς σπένδων, θύων τε, ἄφνω πολλῶν τοξευμάτων ἐπ' αὐτὸν ἐπελθόντων, ἐτελεύτησεν.

γ΄ Γέλων τὸ Μεγαρικὸν βουλόμενος καταλῦσαι, ἐποίκους μὲν ἐκάλει τοὺς ἐθέλοντας Δωριέων. Διογνήτῳ δὲ τῷ Μεγα-

30 Mſſ. ὑπὸ ταῖς μυρσίναις.

Qui reſpondens inquit: Et in poſterum igitur talem ducem eligite. Iterum populus: At alium talem non habemus. Ita creatus ſecundo dux belli, pro duce tyrannus Syracuſiorum evaſit.

2. Gelon Siculorum tyrannus, Himilconi Carthaginenſium regi expeditionem in Siciliam facienti, e regione caſtris poſitis, prælio decertare non audebat. Sed Pediarchum ſagittariorum præfectum, ſibi forma et aſpectu ſimilem, tyrannica veſte indutum e caſtris progredi, ſacrificiumque in aris facere juſſit, et eum ſequi ſagittarios candidis veſtibus amictos, myrtum ferentes, atque ſub myrto arcus occultantes: cum autem viderent Himilconem etiam ipſum ad eundem modum progredientem, et ſacrificantem, tela in eum conjicere. His ita factis, Himilcon nihil tale ſuſpicatus, progreditur, et divinam rem facit. Ita libans, ſacrificansque, multis in ipſum impetentibus jaculis, vitam finivit.

3 Gelon Megaricum imperium tollere volens, colonos vocabat, qui vellent ex Dorienſibus. Diogneto vero

Μεγαρέων ἄρχοντι, χρήματα παρὰ δύναμιν ἐπέταξεν· ὁ δὲ τοῖς πολίταις. οἱ δὲ, τοῖς τέλεσιν ἀπαγορεύοντες, εἰς τὴν ἀποικίαν τὴν ἐν Συρακούσαις, [31] ὑπείκουσαν, ὑποβαλόντες αὑτοὺς τῇ Γέλωνος δυναστείᾳ.

ΚΕΦ. ΚΗ.

ΘΗΡΩΝ.

Θήρων Καρχηδονίοις παρετάσσετο· τῶν δὲ πολεμίων φευγόντων, οἱ Σικελιῶται ἐμπίπτοντες ἐς τὸ στρατόπεδον ὡς διαρπασόμενοι τὰς σκηνὰς, ὑπὸ τῶν [33] Ἰβήρων παραβοηθούντων ἀνῃροῦντο. Θήρων πολὺν τὸν ὄλεθρον ἰδὼν, ἔπεμψε τοὺς κυκλωσομένους, παραγγείλας ὄπισθεν τὰς σκηνὰς καταπρῆσαι. φλογὸς δὲ πολλῆς αἰρομένης, οὐκ ἔχοντες οἱ πολέμιοι σκηνὰς, ἐπὶ τὰς ναῦς ἔφευγον. οἱ δὲ Σικελιῶται διώκοντες, παρὰ ταῖς ναυσὶ τοὺς πλείστους διέφθειραν.

β′ Θήρων Μιλτιάδου.

Σελινούντιοι Καρχηδονίοις παραταξάμενοι, πολλῶν πεσόντων καὶ ἀτάφων κειμένων, καὶ τῶν πολεμίων ἐπικειμένων, θάψαι

31 Mſſ. ὑπήκουσαν. 32 Mſſ. χαλκηδονίοις. 33 Mſſ. Ἰβηρίων.

ro Megarenſium principi pecunias ſupra vires imperavit: ille civibus. Qui tributis ad deſperationem adacti, in Syracuſanam coloniam conceſſerunt, et ſe Gelonis imperio ac ditioni ſubjecerunt.

CAP. XXVIII.

THERON.

Theron cum Carthaginenſibus pugnabat. Hoſtibus autem terga vertentibus, Siculi irruentes in caſtra, quaſi direpturi tabernacula, ſupervenientibus Iberis interfecti ſunt. Theron cum magnam ſtragem videret, miſit qui circumirent, præcipiens ut a tergo ignem in tabernacula conjicerent. Magna vero oriente flamma, hoſtes non habentes tabernacula, ad naves confugerunt. Quos Siculi perſecuti, plurimos ad ipſas naves morti dederunt.

2 Theron Miltiadis filius. Selinuntiis prælium adverſus Carthaginienſes committentibus, cum multi ex his qui occubuerant inſepulti jacerent, et hoſtes inſtarent, atque

ψαι τοὺς νεκροὺς οὐ θαῤῥοῦντες· οὐ μὴν οὐδὲ ἀτάφους περιορᾶν ὑπομένοντες, ἐβουλεύοντο τί χρὴ πράττειν. Θήρων ὑπέσχετο, εἰ λάβοι τριακοσίους οἰκέτας τοὺς τεμεῖν τὴν ὕλην δυνησομένους, αὐτὸς ἂν σὺν αὐτοῖς προελθὼν, καὶ τὰ σώματα καῦσαι, καὶ πολυάνδριον αὐτῶν ἐγεῖραι. εἰ δὲ οἱ πολέμιοι κρατήσειαν αὐτῶν, οὐδὲν μέγα κινδυνεύεσθαι τῇ πόλει, ἐὰν ἕνα πολίτην ἀπολέσῃ, καὶ τιμὴν ἀνδραπόδων τριακοσίων. ἐπῄνεσαν οἱ Σελινούντιοι τὴν γνώμην, καὶ αὐτῷ συνεχώρησαν οὓς βούλοιτο οἰκέτας αἱρεῖσθαι. ὁ δὲ τοὺς εὐρώστους καὶ ἀκμάζοντας ἐπιλεξάμενος, ἐξήγαγε, δρέπανα καὶ πελέκεις, καὶ ἀξίνας ἔχοντας, ὡς τεμοῦντας ὕλην εἰς πυρκαϊὰν νεκρῶν τοσούτων. ἐπεὶ δὲ ἐξῆλθον, πείσας αὐτοὺς Θήρων ἐπιθέσθαι τοῖς δεσπόταις, βαθείας ἑσπέρας ἐπανῆλθεν εἰς τὴν πόλιν. οἱ δὲ τῶν τειχῶν φύλακες γνωρίσαντες, εἰσεδέξαντο. Θήρων αὐτούς τε τοὺς φύλακας φονεύσας, καὶ τῶν πολιτῶν τοὺς πλείστους ἀποκτείνας καθεύδοντας, κατέλαβε τὴν πόλιν, καὶ τύραννος Σελινουντίων ἐγένετο.

ΚΕΦ. ΚΘ.

atque illi ſepelire mortuos non audentes, neque tamen inſepultos relinquere ſuſtinentes, conſilium, quid agendum foret, caperent: Theron recepit, ſi trecenti ſibi darentur ſervi, qui ligna ſecare poſſent, ſe cum ipſis acceſſurum, et cadavera igni traditurum, ac commune ſepulcrum effecturum. Quod ſi ab hoſtibus ipſi vincerentur, non inde magnum periculum civitati futurum, ſi unum civem amitteret, et trecentorum mancipiorum pretium. Laudarunt Selinuntii ſententiam, eique conceſſerunt, ut ſervos quos vellet ſumeret. Qui robuſtos et florentes deligens, eduxit cum falcibus, bipennibus, et aſciis: ut ad combuſtionem tot mortuorum ligna ſecarent. Cum exiviſſent, perſuadens eis Theron, ut dominis inſidias ſtruerent, ſero veſpere in urbem reverſus eſt. Quos mœniorum cuſtodes agnoſcentes acceperunt. Theron ipſis cuſtodibus trucidatis, et plurimis civibus in lecto interfectis, civitatem occupavit, et Selinuntiorum tyrannus evaſit.

ΚΕΦ. ΚΘ.

ΙΕΡΩΝ.

Ἱέρων ποταμὸν κωλυόμενος διαβῆναι ὑπὸ τῶν πολεμίων, ἐπιστήσας τοὺς ὁπλίτας ἐπὶ τῆς διαβάσεως, ἐκέλευσε τοὺς ἱππεῖς προάγειν ἄνω τοῦ ποταμοῦ ὡς διαβησομένους ἐκεῖθεν, τοὺς δὲ ψιλοὺς ἀνωτέρω τῶν ἱππέων. οἱ μὲν οὖν πολέμιοι ἀντιπαρῆγον ὡς τοὺς ἱππέας καὶ τοὺς ψιλοὺς κωλύοντες. ὁ δὲ Ἱέρων διήγαγε τοὺς ὁπλίτας, βιασάμενος ὀλίγους ὄντας τοὺς καταλελειμμένους τῶν ἐναντίων· καὶ παραχρῆμα σημεῖον ἦρε τοῖς ψιλοῖς καὶ τοῖς ἱππεῦσιν. οἱ δὲ ὑποστρέψαντες διέβησαν, τῶν προδιαβάντων ὁπλιτῶν, τοὺς ὑποστρέψαντας πολεμίους ἀνειργόντων.

β΄ Ἱέρων Ἰταλιώταις πολεμῶν, ὁπότε λάβοι τινὰς αἰχμαλώτους τῶν 34 συγγενῶν, ἢ πλουσίων, οὐκ εὐθὺς ἀπεδίδου τοῖς λυτρουμένοις, ἀλλὰ πολλὰς ἡμέρας κατασχὼν, κοινωνήσας αὐτοῖς ἑστίας, 35 καὶ τιμῆς προεδρίας· τηνικαῦτα προσιέμενος τὰ λύτρα, τοὺς ἄνδρας ἀπεπέμπετο.

34 εὐγενῶν conjeſt. *Caſ.* 35 καὶ τιμῆς, καὶ προεδρίας, *Cantabr.*

CAP. XXIX.

HIERON.

Hieron cum fluvium tranſire prohiberetur ab hoſtibus, armatos in tranſitu conſtituens, juſſit equites juxta fluvium aſcendere, tanquam ibi tranſituros et levis armaturæ milites ſupra equites. Hoſtes vero ſuas copias eduxerunt, ut eos ac levis armaturæ milites tranſitu arcerent. Tum Hieron armatos traduxit, vim adhibens adverſariis, qui pauci reliqui erant, et ſignum repente levis armaturæ militibus et equibus ſuſtulit. Qui reverſi trajecerunt, armatis, qui ante transgreſſi fuerant, redeuntes hoſtes ſuſtinentibus.

2. Hieron bellum cum Italis gerens, ſi quos cepiſſet, qui cognatione aut opibus florerent, non ſtatim ſolventibus reddidit: ſed poſtquam multos dies apud ſe retinuiſſet, et larem honoresque primarios eis conceſſiſſet, tum accepto redemtionis pretio, homines dimit-

τεν. οἱ δὲ ἐπανελθόντες ὕποπτοι παρὰ τοῖς πολίταις ἦσαν, ὡς φιλίας Ἱέρωνι κεκοινωνηκότες.

ΚΕΦ. Λ.

ΘΕΜΙΣΤΟΚΛΗΣ.

Ἀθηναίοις ὁ θεὸς ἔχρησεν,

Ὦ θείη Σαλαμὶς, ἀπολεῖς δὲ σὺ τέκνα γυναικῶν.

Θεμιστοκλῆς, Ἀθηναίων τὸ λόγιον δεδιότων, Κατάγε τῶν πολεμίων ἔφη. οὐ γὰρ ἂν θείην τὴν Σαλαμῖνα ὁ θεὸς ἀνηγόρευσεν, εἰ ἔμελλεν ἀπολλύειν τὰ τέκνα τῶν Ἑλλήνων. τοῦτο λεχθὲν θάρσος Ἀθηναίοις ἔδωκεν. καὶ ἡνίκα τὴν ἐξήγησιν ἐπιστώσατο, τοῦ θεοῦ χρήσαντος,

Τεῖχος Τριτογενεῖ ξύλινον διδοῖ εὐρύοπα Ζεύς·

οἱ μὲν ἄλλοι Ἀθηναῖοι τειχίζειν τὴν ἀκρόπολιν ἠγόρευον· Θεμιστοκλῆς δὲ εἰς τὰς τριήρεις ἐμβαίνειν, ὡς ταύτας οὔσας τὸ ξύλινον τεῖχος τῶν Ἀθηναίων. ἐπείσθησαν, ἐνέβησαν, ἐναυμάχησαν, ἐνίκησαν.

β΄ Θεμι-

dimittebat. At illi redeuntes in ſuſpicionem apud ſuos cives venerunt, quod Hieronis amicitia uſi fuiſſent.

CAP. XXX.

THEMISTOCLES.

Athenienſibus oraculo proditum erat,

O divina Salamis, perdes tu mulierum liberos.

Themiſtocles Athenienſibus vaticinium metuentibus, contra hoſtes facere dicebat. Non enim divinam Salaminem oraculum appellaſſet, ſi Græcorum liberos perditura eſſet. Hoc dictum confidentiam et animos Athenienſibus dedit. Et cum ſuam iſtius oraculi interpretationem civibus probaſſet Apolline hanc ſortem edente,

Muros Minervæ ligneos det late intuens Jupiter,

reliqui Athenienſes arcem muniendam ſtatuerunt, Themiſtocles triremes conſcendendas eſſe dixit, quoniam hæ ſint lignei Athenienſium muri. Obtemperarunt, et ingreſſi, navali pugna decertarunt, victoriamque ſunt adepti.

C 3 2 The-

β' Θεμιστοκλῆς ἐναυλόχει περὶ Σαλαμῖνα· τοῖς Ἕλλησιν ἐδόκει φεύγειν. Θεμιστοκλεῖ ναυμαχεῖν ἐν στενῇ θαλάσσῃ· ὡς δὲ μένειν οὐκ ἔπειθεν, ἦν αὐτῷ Σύκιννος εὐνοῦχος παιδαγωγὸς τοῖν παιδοῖν. νύκτωρ τὸν Σύκιννον τοῦτον ὡς βασιλέα πέμπει, μηνύσοντα κατ' εὔνοιαν δῆθεν, ὅτι ἀποδιδράσκει τὸ Ἑλληνικόν, Ἀλλὰ ναυμάχει. πείθεται ὁ βασιλεὺς, καὶ ναυμαχεῖ. καὶ τὸ πλῆθος τῶν τριήρων συνέστρεψεν ἡ στενὴ θάλασσα. οἱ δὲ Ἕλληνες ἄκοντες ἐνίκησαν τῇ σοφίᾳ τοῦ στρατηγοῦ.

γ' Οἱ Ἕλληνες νικήσαντες ἐν Σαλαμῖνι, βουλεύονται πλεῖν ἐφ' Ἑλλήσποντον, καὶ τὸ ζεῦγμα λύειν, ἵνα βασιλεὺς μὴ φύγῃ. Θεμιστοκλῆς ἀντιβουλεύεται, λέγων· βασιλεὺς ἀποληφθεὶς ἀναμαχεῖται τάχα. πολλάκις δὲ ἀπόνοια δίδωσιν, ὅσα μὴ ἔδωκεν ἀνδρεία· πέμπει δὲ πάλιν ὡς βασιλέα εὐνοῦχον ἄλλον Ἀρσάκην, οὑτωσὶ προσαγορεύοντα· εἰ μὴ φύγοι διὰ τάχους, ἡ γέφυρα τοῦ Ἑλλησπόντου διαλύεται. βασιλεὺς ἔδεισε, καὶ φθάσας τὸ Ἑλληνικὸν, διέβη τὸ ζεῦγμα, καὶ φυγὼν ᾤχετο. Θεμιστοκλῆς δὲ τοῖς Ἕλλησιν ἐφύλαξε τὴν νίκην ἀκίνδυνον.

δ' Ἀθη-

2. Themiſtocles circa Salaminem clam naves habebat. Græcis videbatur fuga capienda eſſe. Themiſtocles navibus ineundum prælium in anguſto mari cenſebat. Cum perſuadere non poſſet, ut manerent: (Sicinus erat ei eunuchus, pædagogus duorum filiorum) eum noctu ad regem mittit, ut indicaret benevolentiæ cauſſa, Græcorum copias fugam moliri: Sed tu navibus, inquit, pugna. Obtemperat rex, et navalem pugnam inſtruit, atque navium multitudinem anguſtia maris in arctum contraxit. Græci vero inviti propter ducis ſapientiam et calliditatem vicerunt.

3. Græci parta ad Salaminem victoria, ſtatuunt in Helleſpontum navigare, et pontem demoliri, ne fugere rex poſſet. Themiſtocles contra ſententiam pronuntiat, dicens regem interceptum pugnam redintegraturum. Sæpe vero deſperationem præſtare, quod effici virtute ac fortitudine non poſſit. Mittit igitur iterum ad regem alium Eunuchum Arſacem, ita ſignificantem, niſi fugiat celerrime, pontem Helleſponti diſſolutum iri. Rex metuens feſtinavit, et præveniens Græcorum exercitum tranſiit pontem, atque fugiens evaſit. Themiſtocles vero Græcis victoriam exſortem periculi conſervavit.

4 Athe-

δ΄ Ἀθηναῖοι τὰ τείχη τοῦ ἄστεος ἤγειραν· Λάκωνες ἐφθόνουν. ἠπάτησεν αὐτοὺς ὁ Θεμιστοκλῆς. ὁ δὲ τρόπος τῆς ἀπάτης ἦν [36] οὗτος· ἀφίκετο εἰς Λακεδαίμονα πρεσβευτὴς, καὶ ἦν πρὸς τοὺς Λάκωνας ἔξαρνος, ἦ μὴν οὐκ ἐγείρεσθαι τὸ τεῖχος. εἰ δὲ ἀπιστεῖτε, ἔφη, τοὺς ἀρίστους ἐκπέμψατε κατασκόπους ἐμὲ κατασχόντες· οἱ μὲν ἔπεμψαν. Θεμιστοκλῆς δὲ κρύφα πέμψας ἐνετείλατο Ἀθηναίοις κατέχειν τοὺς κατασκόπους, ἕως ἂν ἐγείρωσι τὸ τεῖχος· ἐπειδὰν δ᾽ ἐγείρωσι, μὴ πρότερον αὐτοὺς ἀποπέμπειν, εἰ μὴ πρόσθεν αὐτὸν ἀπολάβοιεν. καὶ ταῦτα οὕτως ἐγένετο. ἠγέρθη τὸ τεῖχος, καὶ ἐπανῆλθε Θεμιστοκλῆς. ἀπεδόθησαν οἱ κατάσκοποι, ἐτειχίσθησαν Ἀθῆναι Λακεδαιμονίων ἀκόντων.

ε΄ Θεμιστοκλῆς ἐν τῷ πρὸς Αἰγινήτας πολέμῳ, μελλόντων Ἀθηναίων τὴν ἐκ τῶν ἀργυρείων πρόσοδον ἑκατὸν τάλαντα διανέμεσθαι· κωλύσας, ἔπεισεν ἑκατὸν ἀνδράσι τοῖς πλουσιωτάτοις, ἑκάστῳ, δοῦναι τάλαντον. κἂν μὲν ἀρέσῃ τὸ πραχθησόμενον τῇ πόλει, τὸ ἀνάλωμα λογισθῆναι. ἐὰν δὲ μὴ ἀρέσῃ, τοὺς λαβόντας ἀποδοῦναι. ταῦτα μὲν ἔδοξεν.

36 Non agnoſcunt hanc vocem Mss. neque quod ſequitur ἐς Λακεδαίμονα, nec poſtea ἔφη.

4 Athenienſibus urbis muros erigentibus, Lacones invidebant. Eos decepit hoc pacto Themiſtocles. Legatus ad Lacedæmonios profectus, rem negabat: per ſuam fidem mœnia non erigi. Quod ſi fidem ſibi non habeant, mittant præſtantiſſimos viros, qui perſpiciant et explorent. Illi miſerunt. Themiſtocles vero miſſo clam nuntio mandavit Athenienſibus, ut exploratores retinerent apud ſe, donec mœnia exſtruxiſſent. Poſtquam deinde forent exſtructa mœnia, non prius eos remitterent, quam ipſum recepiſſent. Hæc ita facta ſunt. Exædificata ſunt mœnia, et reverſus eſt Themiſtocles, redditi ſunt exploratores, Athenæque Lacedæmoniis invitis munitæ ſunt.

5 Themiſtocles in bello adverſus Aeginetas, cum Athenienſes vellent reditus ex argentifodinis, centum talenta diſtribuere, interponens ſe perſuaſit populo, ut centum ditiſſimis viris, ſingulis talentum daretur. Et ſi placeret ea res, quæ efficienda eſſet, civitati, ſumtus æſtimaretur. Sin minus, qui accepiſſent, redderent. Hæc approbata ſunt.

ξεν. οἱ δ' ἑκατὸν ἄνδρες ἕκαστος μίαν τριήρη κατέστησεν, σπουδῇ χρησάμενος κάλλους καὶ τάχους. Ἀθηναῖοι καινὸν στόλον ποιήσαντες ἥσθησαν· καὶ οὐ μόνον κατὰ Αἰγινητῶν ταῖς τριήρεσι ταύταις, ἀλλὰ καὶ κατὰ Περσῶν ἐχρήσαντο.

ϛ' Θεμιστοκλῆς, Ἰώνων Ξέρξῃ συμμαχούντων, ἐκέλευσε τοῖς Ἕλλησι καταγράφειν ἐπὶ τοῦ τοίχους, Ἄνδρες Ἴωνες, οὐ δίκαια ποιεῖτε στρατεύοντες ἐπὶ τοὺς πατέρας. τούτων ἀναγινωσκομένων, βασιλεὺς τοὺς Ἴωνας ὑπόπτους ἡγήσατο.

ζ' Θεμιστοκλῆς φεύγων Ἀθηναίους, νεὼς ἐπιβὰς, ἀγνοούμενος ἐκομίζετο τὴν ἐπὶ Ἰωνίας. ἐπεὶ δὲ ἡ ναῦς ὑπὸ χειμῶνος ἐπὶ Νάξον κατεφέρετο πολιορκουμένην ὑπ' Ἀθηναίων, τῷ ναυκλήρῳ φοβηθεὶς ἔφρασεν ὅς τις εἴη. καὶ εἰ μὴ σώσειεν αὐτὸν, κατερεῖν ἠπείλησεν Ἀθηναίοις, ὡς χρήμασι πεισθεὶς αὐτὸν ἄγοι. ὅπως οὖν ἀμφότεροι σωθεῖεν, μηδεὶς ἐκβαινέτω τῆς νεώς. ὁ ναύκληρος φοβηθεὶς, οὔτε ἐκβῆναι συνεχώρησε, καὶ διὰ τάχους ἀναχθῆναι ἔσπευσεν.

ΚΕΦ. ΛΑ.

Centum autem viri ſinguli triremem effecerunt, ſtudium adhibentes pulchritudinis et celeritatis. Athenienſes novam claſſem factam lætabantur, eaque non tantum adverſus Aeginetas, verum etiam contra Perſas uſi ſunt.

6 Themiſtocles cum Iones ſe Xerxi ſocios adiunxiſſent, juſſit Græcos muris inſcribere : Viri Iones, inique facitis, qui contra parentes ac majores veſtros expeditionem ſuſcipiatis. Hiſce lectis, rex Ionas ſuſpectos habere cœpit.

7 Themiſtocles fugiens Athenienſes, conſcenſa navi, imprudens in Ioniam delatus eſt. Quum vero navis a tempeſtate Naxum ferretur, quæ oppugnabatur ab Athenienſibus, metuens nauclero indicavit, quisnam eſſet : et niſi ſe ſervaret, Athenienſibus dicturum minabatur, quod pecuniis adductus ipſum veheret. Ut igitur ambo ſalvi et incolumes manerent, nemo egrederetur e navi. Nauclerus metuens, neque egredi quenquam paſſus eſt, et repente portu ſolvere feſtinavit.

CAP. XXXI.

ΚΕΦ. ΛΑ.

ΑΡΙΣΤΕΙΔΗΣ.

Ἀριστείδης, καὶ Θεμιστοκλῆς ἐχθρότατοι πάντων ὄντες, διεπολιτεύοντο. τοῦ δὲ Πέρσου διαβάντος, ἀλλήλων λαβόμενοι, τῆς πόλεως ἔξω προελθόντες, ἐς ταὐτὸν ἑκάτερος τὴν δεξιὰν χεῖρα καθιέντες συνηγμένων τῶν δακτύλων ἐπιφωνοῦν· τὴν ἔχθραν ἐνταῦθα κατατιθέμεθα, ἕως ἂν πρὸς τὸν Πέρσην διαπολεμήσωμεν. ταῦτ᾽ εἰπόντες ἄραντες τὰς χεῖρας διαλελυμένων τῶν δακτύλων ὡς δή τι κατατεθεικότες, ἔπειτα συγχώσαντες τὸν βόθρον ἐπανῆλθον, καὶ διετέλεσαν παρὰ πάντα τὸν πόλεμον ὁμονοοῦντες. ἡ δὲ τῶν στρατηγῶν ὁμόνοια, μάλιστα δὴ τοὺς βαρβάρους ἐνίκησεν.

ΚΕΦ. ΛΒ.

ΛΕΩΝΙΔΑΣ.

Λεωνίδας ἐν Θερμοπύλαις, παραταξάμενος τῇ στενότητι τοῦ χωρίου, ἀχρεῖον ἐποίησε τὸ πλῆθος τῶν βαρβάρων.

β´ Λεωνίδας, μάχην συνάπτειν μέλλων, ὁρῶν νεφέλας χειμερίους ἀλιζομένας, πρὸς τοὺς ἡγεμόνας ἔφη, οὐ χρὴ θαυ-

CAP. XXXI.

ARISTIDES.

Ariſtides et Themiſtocles infeſtiſſimis odiis laborantes, diverſas in republica factiones ſequebantur. At interveniente Perſa, ſe mutuo apprehendentes, et extra civitatem convenientes, in unum locum uterque dextram manum demiſit, atque complicatis digitis acclamarunt: Inimicitias hic deponimus, donec bellum adverſus Perſam confecerimus. Hæc locuti, manus diſtractis digitis, quaſi re vera aliquid depoſuiſſent, ſuſtulerunt. Deinde ſimul obruta fovea, redierunt, et per totum bellum in concordia permanſerunt. Maxime vero effectum eſt unanimitate ducum, ut Barbari victoriam amitterent.

CAP. XXXII.

LEONIDAS.

Leonidas in Thermopylis prælium committens, anguſtia loci Barbarorum multitudinem inutilem reddidit.

2 Leonidas cum pugnam conſerere vellet, videns procelloſas nubes coire, ad duces converſus, ait: Non debet vobis mirum videri: quod

θαυμάζειν βροντῶν καὶ ἀστραπῶν γινομένων, ἀνάγκη γὰρ αὐτὰ συμβαίνειν, ἄστρα κινουμένα. πολλῶν οὖν διοσημειῶν γιγνομένων, οἱ μὲν τοῦ Λεωνίδου 37 προϊδόντες τὸ μέλλον, θαῤῥοῦντες ἠπείγοντο. οἱ δὲ πολέμιοι ἐκπλαγέντες, ἄθυμοι πρὸς τὸν κίνδυνον ἐγένοντο, καὶ παρὰ τοῦτο ἡττήθησαν.

γ΄ Λεωνίδας ἐμβαλὼν ἐς χώραν πολεμίων, νύκτωρ διαπέμψας ἄλλους ἀλλαχῆ, προσέταξεν, ὅταν αἴρηται τὸ σημεῖον, δένδρα κόπτειν, καὶ τὰς ἐπαύλεις ἐμπιπρᾶναι. ταῦτα ὁρῶντες οἱ κατὰ τὴν πόλιν, καὶ πάμπολυ τὸ πλῆθος εἶναι νομίσαντες οὐκ ἐπεξῆλθον, ἀλλὰ τὴν λείαν ἄγειν αὐτοῖς προσήκαντο.

ΚΕΦ. ΛΓ.

ΛΕΩΤΥΧΙΔΗΣ.

Λεωτυχίδης περὶ Μυκάλην τῶν Ἑλλήνων ναυμαχούντων, καὶ τὸ πλῆθος τῶν βαρβάρων καταπεπληγότων, τῶν δὲ Ἰώνων μηδιζόντων φόβῳ μᾶλλον ἢ γνώμῃ, μετέβαλεν ἁπάντων τὸ φρόνημα· πλασάμενος ἀγγελίαν ἥκειν, ὡς τῶν

37 προειδότες. *Vulg.*

quod fulgura ac tonitrua concitantur. Neceſſe eſt enim ea fieri ex motu ſideris. Multis igitur contingentibus cœlitus ſignis, Leonidæ milites quid futurum eſſet proſpicientes, alacribus animis ad pugnam feſtinarunt. Hoſtes contra perterriti, animis ad ſubeundum periculum defecerunt, et ob eam cauſſam victi ſunt.

3 Leonidas facta noctu in ditionem hoſtium impreſſione, alium in aliam hoſtilis agri partem miſit: deinde mandavit, ubi datum foret ſignum, alii arbores cæderent, alii villas incenderent. Id intuiti qui in urbe erant, immenſum eſſe hoſtium numerum rati, contra non iverunt, ſed prædam ab hoſtibus agi ſiverunt.

CAP. XXXIII.

LEOTYCHIDES.

Leotychides Athenienſibus circa Mycalem navale prælium facientibus, et Barbarorum multitudinem pertimeſcentibus, atque Ionibus Medorum partes ſequentibus, timore magis quam certo conſilio, mentes omnium mutavit: commentus nuntium adferri, quod Per-

τῶν ἐν Πλαταιαῖς Ἑλλήνων τὰς Πέρσας νενικηκότων. οἱ δὲ Ἴωνες ἀκάσαντες ἐθάῤῥησαν, καὶ προσέθεντο τοῖς Ἕλλησιν. ἡ τύχη τὸ Λεωτυχίδα ςρατήγημα ἐποίησεν ἀληθὲς, νίκην παρασχᾶσα τοῖς Ἕλλησιν τῆς ἐν Πλαταιαῖς μάχης.

ΚΕΦ. ΛΔ.

ΚΙΜΩΝ.

Κίμων, ἐπ᾽ Εὐρυμέδοντι ποταμῷ νικᾷ τὰς βασιλέως σατράπας. καὶ πολλὰ σκάφη βαρβαρικὰ ἑλὼν, εἰς ταῦτα τὰς Ἕλληνας ἐμβῆναι κελεύει, καὶ ςολὰς ἐνδῦναι Μηδικὰς, καὶ πλεῖν ἐπὶ Κύπρα. Κύπριοι τῇ ὄψει τὰ βαρβαρικᾶ ἐξαπατώμενοι σχήματος, τὸν ςόλον ὡς φίλιον ὑποδέχονται. οἱ δὲ ἀποβάντες, καὶ σφόδρα γε ἀντὶ βαρβάρων ἐφάνησαν Ἕλληνες, καὶ Κυπρίας ἐνίκησαν, μείζω τὴν ἔκπληξιν τῆς δυνάμεως ἔχοντες.

β Κίμων ἀπὸ Σηςᾶ, καὶ Βυζαντία πολλὰ αἰχμάλωτα, καὶ βαρβαρικὰ εἷλε. καὶ τῶν συμμάχων δεηθέντων, διανομεὺς ἐγένετο. μοῖραν μίαν ἔταξε γυμνὰ τὰ σώματα, μοῖραν ἑτέραν ἀναξυρίδας, κάνδυς, ςρεπτὰ, καὶ ὅσα τοιάδε. οἱ σύμμαχοι αἱρᾶνται τὸν κόσμον. Ἀθηναῖοι γυμνὰ

Perſæ a Græcis ad Platæas devicti ſint. Iones hoc audito reſpirarunt, adque Græcos ſe applicuerunt. Fortuna Leotychidæ ſtrategema verum reddidit, prælii ad Platæas commiſſi victoriam Græcis præbens.

CAP. XXXIV.

CIMON.

Cimon ad Eurymedontem fluvium ſatrapas Regis vincit ac ſuperat, multisque Barbarorum navigiis captis, Græcos ingredi in ea juſſit, et ſtolas Medicas induere, atque naves in Cyprum deducere. Cyprii conſpecto Barbarico habitu decepti, claſſem quaſi ſociam et amicam, exceperunt. At illi egreſſi, plane pro Barbaris Græcos ſe præſtiterunt, ac Cypriis majorem terrorem quam pro copiis injicientes, eos devicerunt.

2 Cimon ex Seſto et Byzantio multa Barbarica per vim cepit, et rogantibus ſociis ea diſtribuit in partes: quarum unam conſtituit nuda corpora, alteram ſubligacula, veſtes, torques, et id genus alia. Socii capiunt ornatum, Athenienſes nuda corpora. Ridetur ab omni-

γυμνὰ τὰ σώματα· γέλων ὀφλισκάνει Κίμων ὡς τὴν μείζω μοῖραν τοῖς συμμάχοις προέμενος. οὐκ ἐς μακρὰν τῶν αἰχμαλώτων οἱ συγγενεῖς ἀπὸ Λυδίας καὶ Φρυγίας καταβάντες μεγάλα λύτρα ὑπὲρ τῶν οἰκείων κατέβαλον. τότε ἡ σοφία Κίμωνος ἐθαυμάζετο. Ἀθηναῖοι δὲ πολλῷ πλείω χρήματα λαβόντες, μάλα δὴ τῶν συμμάχων κατεκερτόμησαν.

ΚΕΦ. ΛΕ.

ΜΥΡΩΝΙΔΗΣ.

Ἀθηναῖοι καὶ Θηβαῖοι παρετάσσοντο. Μυρωνίδης Ἀθηναίοις παρήγγειλεν, ὅταν ὑποσημήνῃ θεῖν ἐπὶ τοὺς πολεμίους, ἀρξαμένους ἀπὸ τοῦ εὐωνύμου. ὁ μὲν ἐσήμηνεν· οἱ δ' ἔθεον. ὡς δὲ βραχὺ προῆλθον, Μυρωνίδης ἐπὶ τὸ δεξιὸν κέρας δραμὼν, μέγα ἐβόα, νικῶμεν κατὰ τὸ εὐώνυμον. Ἀθηναῖοι μὲν τῷ λόγῳ τῆς νίκης ἐπιῤῥωσθέντες, προθυμότερον ἐμβάλλουσι. Θηβαῖοι δὲ τῷ ἀγγέλματι τῆς ἥττης καταπλαγέντες ἔκλιναν εἰς φυγήν.

β' Μυρωνίδης Ἀθηναίους ἦγεν ἐπὶ Θήβας, καὶ προελθὼν εἰς τὸ πεδίον, ἐκέλευσεν αὐτοὺς θεῖναι τὰ ὅπλα, καὶ περι-

omnibus Cimon, qui majorem portionem ſociis prodiderit. Non multo poſt cognati eorum qui capti erant, ex Lydia, Phrygiaque deſcendentes, magna et ſplendida ad ſuos redimendos munera perſolverunt. Ibi tum Cimonis calliditas admirationi cœpit eſſe. Athenienſes autem longe pluribus acceptis pecuniis, ſocios deriſerunt.

CAP. XXXV.

MYRONIDES.

Athenienſes et Thebani ad pugnam inſtruebantur. Myronides Athenienſibus præcepit, ut cum ipſe ſignum dediſſet, excurrerent in hoſtes, initio facto a ſiniſtra. Quo ſignum dante, illi currebant. Cum vero aliquousque eſſent progreſſi, Myronides ad dextrum cornu feſtinans, magna voce clamavit, Vincimus in lævo. Athenienſes victoriæ fama confirmati, promtius et alacrius hoſtes aggrediuntur. Thebani nuntio ſuorum cladis perculſi, ad fugam inclinaverunt.

2 Myronides Athenienſes duxit adverſus Thebas: et progreſſus in campum, juſſit eos arma ponere, atque undi-

περισκοπεῖν ἐν κύκλῳ. τῶν δὲ περισκοπούντων, ὁρᾶτε, ἔφη, τὸ πεδίον ὅσον· ἐν πεδίῳ τόσῳ πολεμίων ἱππέας ἐχόντων εἰ μὲν φεύγωμεν, ἀνάγκη διωκόντων ἱππέων ἁλῶναι. ἢν δὲ μένωμεν, πολλαὶ τοῦ νικᾶν ἐλπίδες. οὕτως ἄρα πείθονται μένειν. καὶ προῆλθε Μυρωνίδης, κρατῶν, μέχρι Φωκίδος, καὶ Λοκρῶν.

ΚΕΦ. Λϛ.

ΠΕΡΙΚΛΗΣ.

Λακεδαιμόνιοι τὴν Ἀττικὴν ἐδῄουν, Περικλῆς ἐξέπεμψε τριήρεις Ἀθηναίων, αἳ δῃώσουσι τὰ παράλια τῆς Λακωνικῆς, ὅπως αὐτοῖς πλείω πάσχειν, ἢ δρᾶν συμβαίη.

β΄ Περικλῆς πλουτῶν χώραν πολλὴν ἐκέκτητο· Ἀρχίδαμος φίλος ὢν αὐτῷ πάλαι, καὶ πρόξενος δῃῶν ἐνέβαλε τὴν Ἀττικήν· Περικλῆς προειδόμενος, ὡς ἄρα τιμῶν Ἀρχίδαμος τὴν προξενίαν, τῶν αὐτοῦ χωρίων ἀποσχήσοιτο, ἵνα μὴ γένοιτο Ἀθηναίοις ὕποπτος, φθάσας τὴν δῄωσιν, ἐς ἐκκλησίαν προελθὼν, ἐχαρίσατο τῇ πόλει τὴν γῆν ὅσην ἐκέκτητο.

ΚΕΦ. ΛΖ.

undique circumſpicere. Quibus circumſpicientibus: Videtis, inquit, quantus ſit campus, in tanto campo, hoſtibus equos habentibus, ſi fugiamus, neceſſe eſt nos ab equitibus perſequentibus capi. Sin maneamus, multiplex vincendi ſpes eſt. Ita, ut manerent, perſuaſi ſunt, et Myronides victor usque ad Phocidem et Locros proceſſit.

CAP. XXXVI.

PERICLES.

Lacedæmoniis Atticam vaſtantibus, Pericles miſit cum triremibus Athenienſes, qui maritimam oram Laconicæ popularentur, ut ipſi majus damnum acciperent, quam inferrent.

2 Pericles cum eſſet locuples, multum terræ poſſidebat. Archidamus, cum quo vetus ei amicitia et hoſpitium intercedebat, populabundus in Atticam impreſſionem fecit. Pericles proſpiciens, Archidamum hoſpitii religione ac honore, ſuis agris parſurum, ne in ſuſpicionem Athenienſibus veniret, ante vaſtationem in concionem progreſſus, omnem terram quam poſſidebat, Reipublicæ donavit.

CAP. XXXVII.

ΚΕΦ. ΛΖ.

ΚΛΕΩΝ.

* Κλέων Ἀβυδηνοῖς Σηστὸν παρέδωκεν, οὐ φανερᾷ μάχῃ ἀλλ' ἀφανεῖ τέχνῃ. Θεόδωρος φρουρῶν, Σηστὸν, ἑταῖρος Κλέωνος, μοιχεύων ἐν προαστείῳ γύναιον, τῆς ὑδρορρόης διὰ τοῦ τείχους στενῆς φερομένης, ἕνα λίθον ἐξαίρων διὰ νυκτὸς ἐξιὼν, καὶ εἰσιὼν τὸν λίθον ἐναρμόττων, καὶ τοῦτο λανθάνων, τῷ Κλέωνι τὸ πραττόμενον ὡμολόγησεν ὡς παίγνιον. ὁ δὲ τοῖς Ἀβυδηνοῖς τὸ ἀπόρρητον ἐξαγορεύσας, ἀσέληνον νύκτα παρατηρήσας κατὰ τὴν ὑδρορρόην, τοῦ Θεοδώρου τὸν λίθον ἐξῃρηκότος, καὶ περὶ τὴν μοιχείαν ἀσχολουμένου, τοὺς στρατιώτας ὑπεισήγαγεν· οἱ τοὺς φύλακας ἀνηλόντες, τὰς πύλας ἔνδοθεν ἀνοίξαντες, πᾶσαν δεξάμενοι τὴν δύναμιν, τῆς Σηστοῦ ῥᾳδίως ἐκράτησαν.

ΚΕΦ. ΛΗ.

ΒΡΑΣΙΔΑΣ.

Βρασίδας περὶ Ἀμφίπολιν ἐπολιορκεῖτο, ἐπὶ λόφου κρατεροῦ προσβαλλόντων ἐν κύκλῳ τῶν πολεμίων. οἱ μὲν δὴ δεδιό-

CAP. XXXVII.

CLEON.

Cleon Abydenis Seſtum tradidit, non aperto prælio, ſed obſcuro dolo. Theodorus cuſtodiens Seſtum, amicus Cleonis, rem cum quadam muliere habens in ſuburbio, aquæductu per muros anguſto penetrante, lapidem unum evellens, ſub noctem exibat, et intrans, lapidem reponebat, idque clam, quam rem Cleoni faſſus eſt, quaſi ludicrum. At ille proferens et enuntians Abydenis arcanum, noctemque expertem lunæ obſervans, per aquæductum, cum lapidem Theodorus revelliſſet, et adulterio diſtrictus eſſet, milites clam introduxit: qui cuſtodibus interfectis, et portis intus reſeratis, omnes copias acceperunt, atque Seſtum facile obtinuerunt.

CPA. XXXVIII.

BRASIDAS.

Braſidas juxta Amphipolim oppugnabatur, in difficili & aſpero colle circumcirca hoſtibus aggredientibus.

δεδιότες μὴ νύκτωρ ἀποδραίη, λίθοις τὸν λόφον περιετείχισαν, καὶ τεῖχος ὑψηλὸν ἤγειρον. οἱ δὲ Λάκωνες ἠγανάκτουν ὅτι μὴ προῆγεν αὐτοὺς ἐς μάχην, ἀλλὰ περιτειχισθέντες αἴσχιστα λιμῷ ἁλώσοιντο. Βρασίδας αὐτὸς ἔφη τὸν καιρὸν τῆς μάχης εἰδέναι. ἐπεὶ δὲ τὸ πλεῖστον τοῦ λόφου περιετετείχιστο, λοιπὸν δὲ ἦν ἀτείχιστον ὅσον πλέθρον αὔταρκες, τοῖς μετ' αὐτοῦ πρὸς μάχην παρήγγειλε τοῦτον εἶναι τὸν καιρὸν, ὁρμῶσιν ἐπὶ τὴν ἔξοδον. καὶ δὴ ὁρμήσαντες, πολλοὺς τῶν πολεμίων διαφθείραντες διεσώθησαν, ἡ γὰρ στενοχωρία ἐλάττονας ὄντας οὐκ ἔβλαψεν. ὁ δὲ περιτειχισμὸς ὠφέλησε, 38 καὶ μᾶλλον κωλύσας μηδένα κατὰ νώτου πολέμιον αὐτῶν γενέσθαι. ὥς τε τῷ τείχει τῶν ἐναντίων, τὸ μὲν ἐκείνων πλῆθος, ἀχρεῖον· ἡ δὲ ἔξοδος ἀσφαλεστέρα τοῖς Λάκωσιν ἐγένετο.

β' Βρασίδας Ἀμφίπολιν προδοθεῖσαν εἷλε. καὶ τοῖς προδόταις κελεύει κλεῖσαι τὰς πύλας, καὶ λαβὼν τὰς βαλανάγρας ἔῤῥιψεν ὑπὲρ τὸ τεῖχος, ὅπως ἂν ἀμύναιντο τοὺς πολεμίους, εἰ καὶ κλίμακας προσθέντες βιάζοιντο.

γ' Βρα-

38 a Mſſ. abeſt καὶ μᾶλλον.

bus. Qui veriti ne per noctem aufugeret, collem lapidibus circumvallabant, et ſublimem murum exſtruebant. Lacones male habebat, quod eos non in pugnam educeret, ſed circumvallati turpiſſime fame caperentur. Braſidas ſe noſſe opportunum ajebat tempus pugnæ. Poſteaquam maximam collis partem munierant, et reliquum foret ſpatium immunitum inſtar magni jugeri, ſuis ut ad pugnam ſe inſtruerent præcepit. Hoc inquiens eſſe tempus exeundi Qui facto impetu, multis hoſtibus interfectis, ſalvi evaſerunt. Nam locus anguſtus paucioribus non erat impedimento. Circumductus autem murus faciebat, ne quod ipſis eſſet a tergo periculum. Itaque hoſtium munitio ipſis multitudinem inutilem reddidit: exitum vero Laconibus tutiorem.

2 Braſidas Amphipolim proditione cepit, et proditoribus mandavit, ut portas clauderent: atque acceptis clavibus projecit eas ſupra murum, ut ab hoſtibus etiam ſe defenderent, ſi ſcalis appoſitis urgerent.

3 Bra-

γʹ Βρασίδας ἐπ' Ἀμφίπολιν ἐλθὼν λάθρα, καὶ συνιδὼν ταραχὴν τῶν ἔνδον, ὀυχ ἡγούμενος ἀσφαλῆ τὴν ἐξ ἀπονοίας μάχην, ἐκήρυξεν Ἀθηναίοις μὲν ἄδειαν ὑποσπόνδοις ἀπιοῦσι, καὶ τὰ σφῶν αὐτῶν ἔχουσιν. Ἀμφιπολίταις δὲ αὐτόνομον τὴν πατρίδα, εἰ σύμμαχοι Λακεδαιμονίων γένοιντο. τῷ κηρύγματι πεισθέντες, Ἀθηναῖοι μὲν ἀπαλλάσσονται, Ἀμφιπολῖται δὲ Λακεδαιμονίοις προσέθεντο. Βρασίδας δὲ Ἀμφίπολιν καθ' ὁμολογίαν προσεκτήσατο.

δʹ Βρασίδας νυκτὸς ἐπιπλέων Σικυῶνι, τριήρη φιλίαν προπλεῖν ἔταξεν. αὐτὸς δὲ ἐν ὑπηρετικῷ κατόπιν εἵπετο· ὅπως εἰ μέν τι μεῖζον τοῦ ὑπηρετικοῦ πολέμιον σκάφος ἐπιφανῇ, ἡ τριήρης ἀμύνοι. εἰ δὲ ἀντίπαλος ἄλλη τριήρης, ἐν ὅσῳ πρὸς ἐκείνην διαγωνίζεται, αὐτὸς ἐν τῷ ὑπηρετικῷ διασωθῆναι φθάσειεν.

εʹ Βρασίδας ἐν τόπῳ στενῷ προσκειμένων κατὰ τὴν οὐραγίαν τῶν πολεμίων, ἐκέλευσεν ἀπὸ λόφου κόπτοντας ἐν μέρει ξύλα κομίζειν. τὴν δὲ ὕλην πῦρ ἐμβαλὼν ἐνέπρησεν, ὥς τε πολλῆς φλογὸς αἰρομένης, οἱ πολέμιοι κατὰ τὴν οὐραγίαν

3 Braſidas cum ad Amphipolim clam exercitum admoviſſet, cognita civium perturbatione, parum tutam ratus ex deſperatione ſuſceptam pugnam, Athenienſibus ſecuritatem promulgavit, ut fœdere facto diſcederent, et ſua poſſiderent: Amphipolitanis vero libertatem patriæ, ſi cum Lacedæmoniis belli ſocietatem coirent. Obedientes promulgationi Athenienſes quidem diſcedunt, Amphipolitani vero ſocietatem cum Lacedæmoniis fecerunt, Braſidasque Amphipolim ſuis per fœdus adjunxit.

4 Braſidas noctu Sicyonem verſus navigans, triremem amicam prænavigare juſſit. Ipſe vero in expedita ad miniſteria bellica ſequebatur, ut ſi quod majus fortaſſis expedito navigium hoſtile apparuiſſet, triremis auxilio veniret. Sin æqualis altera triremis, dum cum ea confligeret, ipſe in expedita ſalvus et incolumis evaderet.

5 Braſidas cum in anguſto loco extremo agmini hoſtes inſtarent, juſſit a colle ligna ſecare, et per vices apportare. Materiam deinde, injiciens ignem incendit, ita ut copioſa multaque flamma ſub-

γίαν προσπίπτειν ἐκωλύοντο. αὐτὸς δὲ ἀσφαλῶς τὴν ἀναχώρησιν ἐποιήσατο.

ΚΕΦ. ΛΘ.

ΝΙΚΙΑΣ.

Νικίας ἐπιπλεύσας τῇ Κορινθίᾳ νύκτωρ, ἔνθα ὁ Σολύγης λόφος, ἀποβιβάσας Ἀθηναίων ὁπλίτας, καὶ χιλίους ἄλλους ἀλλαχῆ λοχῆσαι τάξας ἀπέπλευσεν· ἐπεὶ δὲ ἐπηύγαζεν, ὡς πάλιν αὖ φανερῶς ἐπέπλευσεν. οἱ μὲν Κορίνθιοι σπουδῇ ἐκβοηθοῦντες ἔθεον, κωλύσοντες ἐκβαίνειν. οἱ δὲ ἐν ταῖς ἐνέδραις ἐπανιστάμενοι, τοὺς πλείστους αὐτῶν διέφθειραν.

β' Νικίας στρατοπεδευόντων Ἀθηναίων περὶ τὸ Ὀλύμπιον, εἰς τὸ πρὸ τοῦ στρατοπέδου χωρίον ὁμαλὸν ὄν, ἐκέλευσε νύκτωρ τριβόλους καταπεῖραι. ἐπεὶ δὲ τῆς ὑστεραίας Ἔκφαντος ὁ Συρακουσίων ἵππαρχος προήγαγε τοὺς ἱππεῖς, ἦν αὐτῶν αἰσχρὰ φυγή, τῶν τριβόλων ἐμπηγνυμένων ἐν τοῖς ποσὶ τῶν ἵππων. πολλοὶ δ' αὐτῶν οὐδὲ προβαίνειν οἷοί τε ἦσαν. ἀλλ' ὑπὸ τῶν πελταστῶν στερεὰ ὑποδήματα ἐχόντων διεφθείροντο.

γ' Νι-

ſublata, hoſtes in agmen extremum impreſſionem facere prohiberentur, ipſe vero ſine periculo diſcederet

CAP. XXXIX.

NICIAS.

Nicias ſub noctem adnavigans Corinthum, ubi Solyges collis eſt, ibi egredi juſſis Athenienſium armatis, et mille aliis alibi in inſidiis collocatis, abnavigavit. Rurſus altero die ſub primam lucem in conſpectu omnium adnavigavit. Corinthii ſummo ſtudio excurrentes, prohibere voluerunt ne egrederentur. At qui in inſidiis latebant conſurgentes, maximam partem ex illis occiderunt.

2 Nicias caſtrametantibus Athenienſibus circa Olympium, in planitiem quæ pro caſtris erat, muricesnoctu juſſit ſpargere. Cum poſtridie dux equeſtris Syracuſiorum Ecphantus equites produceret, in turpem fugam converſi ſunt, muricibus in equorum pedibus infixis. Ita ut multi ex ipſis ne progredi quidem poſſent, et a ſcutatis ſolidos calceos indutis interficerentur,

3 Ni-

γʹ Νικίας ἐν τῷ κύκλῳ τοῦ τείχους ἀπελείφθη μετ᾽ ὀλίγων στρατιωτῶν, τῆς ἄλλης δυνάμεως περὶ Θάψον οὔσης. τῶν δὲ Συρακουσίων τὸ προπύργιον τοῦ κύκλου λαβόντων, ἐν ᾧ ξύλα πολλὰ ἦν, οὐχ᾽ ἱκανὸς ὢν ἀμύνασθαι, τὰ ξύλα ἐνέπρησεν· ἡ δὲ φλὸξ ἐπὶ μέγα αἰρομένη τοὺς πολεμίους ἀπεκρούετο. ἐν τῷ τέως ἡ ἀπὸ Θάψου δύναμις ἐπελθοῦσα προσεβοήθησεν.

δʹ Νικίας ὑπὸ Γυλίππου διωκόμενος, ἤδη καταλαμβανόμενος, ἔπεμψε κήρυκα πρὸς αὐτὸν, φάσκων πάντα ποιήσειν τὰ προσαττόμενα· καὶ ὡς ἤδη τινὰ χρὴ πέμπειν τὸν δώσοντα ὅρκους καὶ ληψόμενον.. Γύλιππος τῷ κήρυκι πιστεύσας κατεστρατοπέδευσε· καὶ τοῦ διώκειν ἀποσχόμενος, τῷ κήρυκι τῷ ἀπὸ Νικίου συνέπεμψε τὸν συνθησόμενον. ἐν δὲ τῷ τέως Νικίας τῶν ὀχυρωτέρων λαβόμενος, πάλιν ἐπολέμει, τὴν ἀποχώρησιν, τῇ διὰ τοῦ κήρυκος ἀπάτῃ, στρατηγήσας.

ΚΕΦ. Μ.

ΑΛΚΙΒΙΑΔΗΣ.

Ἀλκιβιάδης δοκιμασίαν φίλων τοιάνδε ποιεῖται. εἴδωλον ἀνδρὸς ἐν οἰκίσκῳ σκοτεινῷ καθεῖρξε, καὶ τῶν φίλων ἑκα-

3 Nicias in mœniorum circuitu cum paucis militibus remanebat, cum reliqua manus eſſet ad Thapſum. Syracuſiis autem exteriorem in circuitu turrim occupantibus, in qua magna copia lignorum erat, cum defenſare non poſſet, ligna incendit. At flamma in copioſum ignem excreſcens hoſtes repulit. Interea exercitus a Thapſo reverſus, auxilium tulit.

4 Nicias cum Gylippum perſequentem fugeret, interceptus, miſit præconem ad eum, dicens: Omnia facturum ſe quæ imperaret, modo aliquem mitteret ad dandum, accipiendumque jusjurandum. Gylippus fidem habens præconi, caſtrametabatur: et a perſequendo deſiſtens, cum præcone Niciæ miſit, qui fœdus componeret. Interea Nicias occupato firmiore ac tutiore loco, rurſus bellum gerebat, cum per fallaciam præconis evaſiſſet.

CAP. XL.

ALCIBIADES.

Alcibiades ejusmodi probationem amicorum inſtituit. Simulacrum hominis in obſcuro et tenebricoſo loco

ἕκαστον εἰσάγων ἐδείκνυεν, ὡς ἄνδρα δὴ πεφονευμένον· καὶ παρεκάλει συμπράττειν, ὅπως ἂν τὸ δεινὸν λάθοι. οἱ μὲν δὴ ἄλλοι κοινωνῆσαι τοῦ μιάσματος ἔφυγον. Καλλίας δὲ ὁ Ἱππονίκου προσήκατο τὸ εἴδωλον, ὃ ἔδειξεν ἐπὶ δοκιμασίᾳ φίλων πεποιημένον· πιστὸν φίλον ἡγεῖται Καλλίαν, καὶ τὰ πάντα ἦν Ἀλκιβιάδῃ Καλλίας

β΄ Ἀλκιβιάδης προσπλεύσας πολεμίᾳ πόλει τοὺς στρατιώτας ἀποβιβάσας νύκτωρ, καὶ ἡμέραν ἀναμείνας, τῶν πολεμίων οὐκ ἐξιόντων, ἐνέδραν ἐγκαταστήσας, καὶ τὰς σκηνὰς ἐμπρήσας, ἀνήχθη. οἱ δ᾽ ἐκ τῆς πόλεως ἀνηγμένον ἰδόντες, θαῤῥήσαντες, ἐξελθόντες, ἀνεσκεδάννυντο ἀνὰ τὴν χώραν. οἱ λοχῶντες ἐπαναστάντες οὐκ ὀλίγα σώματα εἷλον, καὶ λείαν ἄφθονον. Ἀλκιβιάδης πάλιν προσπλεύσας, καὶ ἀναλαβὼν αὐτὰ τὰ ληφθέντα, καὶ τοὺς λαβόντας ἀπέπλευσεν.

γ΄ Ἀλκιβιάδης πολιορκούντων τὰς Ἀθήνας τῶν Λακεδαιμονίων, βουλόμενος τοὺς φύλακας τοῦ ἄστεος καὶ τοῦ Πειραιῶς, καὶ τῶν σκελῶν τῶν ἄχρι θαλάσσης ἀγρύπνους περὶ τὴν φυλακὴν κατασκευάσαι, προηγόρευσεν, ὡς αὐτὸς ἀπὸ τῆς

loco concluſit, atque amicorum quemlibet introducens oſtendebat, tanquam hominem occiſum: et rogabat, ut ſuam operam conferrent, ut facinus latere poſſet. Reliqui ſceleris communicationem refugerunt. Solus Callias filius Hipponici libenter ſimulacrum admiſit, quod oſtendit ad probandos amicos factum. Itaque fidelem amicum judicavit Calliam, et in poſterum Alcibiadi Callias fuit cariſſimus.

2 Alcibiades adnavigans hoſtili oppido, noctu milites egredi juſſit: et diem expectans, hoſtibus non exeuntibus, poſitis inſidiis tabernacula incendit, et abnavigavit. Qui in urbe erant, cum eum ſolviſſe cernerent, collectis animis procedebant, et per terram undique ſpargebantur. Inſidiatores conſurgentes ceperunt non paucos homines, prædamque copioſam. Alcibiades cum navibus reverſus, aſſumtis tum captis, tum iis qui ceperant, abnavigavit.

3 Alcibiades Lacedæmoniis Athenas oppugnantibus, volens cuſtodes urbis et Piræi atque murorum longorum pertinentium usque ad mare vigiles, et diligentes in agendis excubiis efficere, promulgavit, ſe ter

 per

τῆς ἀκροπόλεως νύκτωρ τρὶς ἀνασχήσοι τὸν λαμπτῆρα· ὃς δ' ἂν μὴ ἀνάσχοι, ὡς φυλακὴν ἐκλιπὼν κολασθήσεται. οὕτω δὴ πάντες ἀγρυπνοῦντες ἐφύλαττον. ἵν' αἴροντος τοῦ στρατηγοῦ τὸ πῦρ, ἀνταίρειν δύναιντο. σημαίνοντες, ὡς ἐγρηγορότες φυλάττοιεν.

δ' Ἀλκιβιάδης πλέων ἐπὶ Σικελίαν ἐλθὼν ἐς Κέρκυραν, πολλὴν οὖσαν τὴν δύναμιν τριχῇ διεῖλεν. ἵνα τῶν ἐπιτηδείων μᾶλλον εὐποροῖεν κατὰ μέρος ταῖς πόλεσι προσβάλλοντες· ἐπεὶ δὲ 39 κατῆρεν εἰς Κατάνην, οὐ δεχομένων αὐτὸν Καταναίων, ἐπρεσβεύσατο, βουλόμενος μόνος παρελθὼν εἰπεῖν αὐτοῖς τὰ συμφέροντα· τῶν δὲ ἐπιτρεψάντων, καὶ θεόντων ἐς ἐκκλησίαν συνέταξεν ὅσαι 40 τῶν τοίχων ἦσαν πυλίδες, ἐνῳκοδομημέναι σαθρῶς, ταύτας ἐξελόντας εἴσω παρελθεῖν. ὁμοῦ δὴ συνέβαινεν Ἀλκιβιάδην μὲν ἄρχεσθαι δημηγορεῖν, Ἀθηναίους δὲ Κατάνην ἔχειν.

ε' Ἀλκιβιάδης κατασχὼν ἄνδρα Καταναῖον πιστὸν αὐτῷ, Συρακουσίοις γνώριμον, καθῆκεν ἐς Συρακούσας, ὡς πεμφθέντα ὑπὸ τῶν ἐν Κατάνῃ φίλων ὄντων αὐτοῖς, ὧν τὰ ὀνο-

39 κατέσχεν ἐς Κατάνην Mss. 40 τῶν τειχῶν *Cant.*

per noctem facem ex arce ſublaturum eſſe: Qui vero non ſuſtulerit, quaſi ſtationem deſeruerit, ita punitum iri. Sic omnes vigilantes obſervabant arcem, ut tollente ignem duce, contra tollere poſſent, indicantes ſe vigilare, et excubias agere.

4 Alcibiades navigans in Siciliam, cum veniſſet ad Corcyram, exercitum multum et infinitum in tres partes diviſit, ut commeatus facilius ſuppeteret, ſi ſingulæ partes ad urbes adventarent. Poſtquam vero ad Catanem appropinquavit, non accipientibus eum Catanenſibus, legationem miſit petens, ut ſibi ſoli accedere, et in commune conſulere liceret. Quibus permittentibus, et in concionem concurrentibus, præcepit ſuis, ut quotquot eſſent mœniorum portæ minus firmiter ædificatæ, per eas effractas irrumperent. Et ſimul accidit, ut Alcibiades concionari inciperet, et Athenienſes Catanem tenerent.

5 Alcibiades habens quendam Catanenſem ſibi fidelem, Syracuſiis notum, miſit eum Syracuſas tanquam a Catanenſibus miſſum,

ὀνόματα γιγνώσκοιεν. οὗτος ἤγγειλεν Ἀθηναίους καταλιπόντας τὸ στρατόπεδον, ἀόπλους εἴσω Κατάνης αὐλίζεσθαι. εἰ δὲ αὐτοὶ ἅμα ἕω καταλάβοιεν τῶν Ἀθηναίων τὸ στρατόπεδον, δύνασθαι τοὺς ἐν τῇ πόλει γυμνοὺς ἀποκλεισθέντας ἁλῶναι ῥᾳδίως· ἐπίστευσαν οἱ στρατηγοὶ τῶν Συρακουσίων, καὶ παρήγγειλαν ἐξιέναι πανδημεὶ τὴν ἐπὶ Κατάνης. καὶ προσελθόντες ἐστρατοπεδεύσαντο πρὸς τῷ Συμαίθῳ ποταμῷ. Ἀλκιβιάδης προσιόντας αὐτοὺς ὡς ᾔσθετο, τὰς τριήρεις πληρώσας σπουδῇ, προσέπλευσεν τῇ πόλει τῶν Συρακουσίων κενῇ καὶ οὐδενὸς εἴργοντος. τὸ δὲ κατὰ πλευρὰν αὐτῶν προτείχισμα ἐξελὼν διήρπασεν.

ϛʹ Ἀλκιβιάδης ἀπὸ Σικελίας ἀναχθεὶς ἐπὶ τὴν κρίσιν τὴν περὶ τῶν Ἑρμῶν, καὶ τῶν Μυστηρίων, στρογγύλης νεὼς ἐπιβὰς, ἐς Λακεδαίμονα κομίζεται. καὶ πείθει τὴν ταχίστην πέμψαι Συρακουσίοις βοήθειαν. καὶ Δεκέλειαν αὐτοῖς ἐπιτειχίσαι, ὡς οὐκ ἂν ἔτι σχόντων οὔτε τὰς ἀπὸ τῆς χώρας προσόδους, οὔτε τὰς ἀπὸ τῶν ἀργυρείων. ἀλλὰ μὴν καὶ οἱ νησιῶται πολιορκουμένους αὐτοὺς ἰδόντες αὐτομολήσουσι. τούτων γενομένων, ἐψηφίσαντο Ἀθηναῖοι κάθοδον Ἀλκιβιάδῃ.

ζʹ Ἀλ-

ſum, cum quibus amicitia ac ſocietas eis intercedebat, quorum nomina tenerent: et ſic nuntiavit. Athenienſes relictis caſtris inermes Catanæ verſari. Quod ſi ipſi ſummo mane caſtra Athenienſium caperent, poſſe illos in urbe clauſos et inermes nullo negotio opprimi. Crediderunt Syracuſiorum duces: et præceperunt, ut univerſis viribus Catanam petituri exirent: atque appropinquantes ad Symmethium fluvium caſtra poſuerunt. Alcibiades cum ſenſiſſet eos adventare, triremibus inſtructis ſummo ſtudio ad urbem Syracuſiorum contendit vacuam, et nemine prohibente, eorumque propugnaculum ab latere convulſum diripuit.

6 Alcibiades a Sicilia ſolvens, ad judicium de Mercurialibus ſtatuis, et Myſteriis, rotundam navem ingreſſus, Lacedæmonem defertur, ac ſuadet, ut repente Syracuſiis opem mittant, et Deceliam muniant, ſic ipſis non amplius fore neque terræ neque ex metallis reditus. Sed Inſulanos quoque, ſi viderint eos oppugnari, tranſituros. His ita geſtis, Athenienſes Alcibiadi reditum ab exilio decreverunt.

7 Alci-

ζ' Ἀλκιβιάδης παρετάττετο Συρακουσίοις· ἦν μεταξὺ τῶν στρατοπέδων, πτερὶς ξηρὰ, δαψιλής· ἀνέμου προσπεσόντος παμμεγέθους, ὃς ἦν κατὰ νώτου τοῖς Ἀθηναίοις, τοῖς δὲ πολεμίοις [41] κατὰ πρόσωπον...... ταῖς ὄψεσι τῶν Συρακουσίων τροπὴν αὐτῶν ἰσχυρὰν εἰργάσατο.

η' Ἀλκιβιάδης Τυρίβαζον ἔφυγεν. ὁδὸς ἦν μία. Τυρίβαζος μένοντι μὲν οὐκ ἐμάχετο, φεύγοντι δὲ ἐπέκειτο. Ἀλκιβιάδης νύκτα μένας, ξύλα πολλὰ κόψας, ταῦτα νήσας, καὶ πῦρ ἐμβαλὼν, ἀπιὼν ᾤχετο. οἱ βάρβαροι τὴν αὐγὴν τοῦ πυρὸς ὁρῶντες, ᾤοντο μένειν τοὺς Ἕλληνας. ἐπεὶ δὲ ἔγνωσαν, διώκειν ὁρμήσαντες, τὴν ὁδὸν πεφραγμένην ὑπὸ τοῦ πυρὸς διελθεῖν οὐ δυνηθέντες, τῆς διώξεως ἐπαύσαντο.

θ' Ἀλκιβιάδης περὶ Κύζικον Θηραμένην, καὶ Θρασύβουλον ἔπεμψε μετὰ πλειόνων νεῶν, ὅπως τοὺς ἐς τὴν πόλιν ἀποχωρήσαντας πολεμίους ἀνείργοιεν. αὐτὸς δὲ μετὰ ὀλίγων τριήρων ἐπὶ τὴν ναυμαχίαν ἀνήγετο. Μίνδαρος καταφρονήσας μετὰ πλειόνων ἀνήχθη. ὡς δὲ πλησίον ἦσαν, οἱ

41 Quæ desunt, ita supplet *Caſ.* ἀνῆψε τὴν πτέριν. τοῦ δὲ καπνοῦ καὶ τοῦ πυρὸς προσπίπτοντος ταῖς ὄψεσι κ. τ. λ.

7 Alcibiades contra Syracuſios aciem inſtruebat. Erat inter exercitus filix arida, copioſaque. Vento ingruente procelloſo, qui Athenienſibus a tergo ſpirabat, hoſtibus a facie, incenſa filice, fumoque et igni in Syracuſiorum oculos delato, magnam eorum fugam effecit.

8 Alcibiades Tyribazum fugiebat. Via erat una. Tyribazus cum manente manum non conſerebat, fugienti inſtabat. Alcibiades noctu manens, et multa ligna ſecans, ea reliquit injecto igni, atque diſceſſit. Barbari cernentes ignis fulgorem, Græcos manere putabant. Poſtquam vero rem cognoverunt, impetu facto, cum viam igni interſeptam penetrare non poſſent, a perſequendo deſtiterunt.

9 Alcibiades Cyzicum Theramenem et Thraſybulum miſit cum plurimis navibus, ut hoſtes in urbem confugere prohiberent: Ipſe vero cum paucis triremibus ad navale prælium committendum ſolvit. Mindarus deſpecta paucitate, cum pluribus ſolvebat. Cum appro-

οἱ μὲν περὶ τὸν Ἀλκιβιάδην προσεποιήσαντο φεύγειν. οἱ δὲ περὶ τὸν Μίνδαρον, περιχαρεῖς ὡς νικῶντες, ἐδίωκον. ἐπεὶ δ᾽ ἐγγὺς τῶν περὶ τὸν Θηραμένην, καὶ Θρασύβουλον ἐγένοντο, Ἀλκιβιάδης μὲν τὸ σημεῖον ἄρας ἐπέστρεψε τὰς ναῦς ἀντιπρώρους. Μινδάρου δὲ ἀποστρέψαντος περὶ τὴν πόλιν, οἱ περὶ τὸν Θηραμένην ἀπήντησαν ἀποκλείοντες. ὁ δὲ ἐπὶ τοὺς Κλήρους καλουμένους τῆς Κυζικηνῶν γῆς ἀποχωρεῖν ἐπειρᾶτο. ἀλλὰ κἀκεῖ Φαρναβάζου στρατόπεδον ἐκβαίνειν ἐκώλυεν. Ἀλκιβιάδης δὲ διώκων, τὰς μὲν μετεώρους τῶν νεῶν ἐμβολαῖς ἀνερρήγνυε· τὰς δὲ προσορμιζούσας τῇ γῇ, χειρῶν σιδηρῶν ἐπιβολαῖς ἐφεῖλκε· τοὺς δὲ ἀποβαίνοντας ἀπέκοπτον οἱ Φαρναβάζου. τέλος δὲ Μίνδαρος πεσὼν, Ἀλκιβιάδῃ λαμπροτάτην νίκην ἔδωκεν.

ΚΕΦ. ΜΑ.

ΑΡΧΙΔΑΜΟΣ.

Ἀρχίδαμος, ἐν Ἀρκαδίᾳ μέλλων παρατάσσεσθαι τῇ ὑστεραίᾳ, ἐπέρρωσε τοὺς Σπαρτιάτας διὰ νυκτὸς, βωμὸν ἱδρυσάμενος, καὶ κοσμήσας ὅπλοις λαμπροτάτοις, καὶ ἵππους δύο περιάγων. ἐπεὶ δὲ ἦν ἕως, οἱ λοχαγοὶ, καὶ οἱ ταξί-

propinquaſſent, Alcibiades fugam ſimulabat. Mindarus exultans, quaſi victos inſequebatur. Poſtquam vero prope ad Theramenem et Thraſybulum venerunt, Alcibiades ſublato ſigno convertit naves in adverſarios. Mindarum declinantem ad urbem, Theramenes obviam factus excluſit. Ille Cleros quos vocant Cyzicenorum terræ, diſcedere conabatur. Sed ibi quoque Pharnabazi exercitus egredi vetuit. Alcibiades autem perſequens, naves in altum provectas ſuarum roſtris frangebat. Appellentes terræ, manibus ferreis injectis retrahebat. egredientes vero Pharnabazus arcuit. Tandem cadens Mindarus, clariſſimam Alcibiadi victoriam conceſſit.

CAP. XLI.

ARCHIDAMUS.

Archidamus cum in Arcadia pugnam committere vellet poſtero die, Spartiatas confirmavit, noctu ſtatuens aram, eamque armis ſplendidiſſimis ornans, et equos duos circumagens: cum illuxiſſet, manipulares duces

ταξίαρχοι καινὰ ὅπλα, καὶ δυοῖν ἵπποιν ἴχνη, καὶ βωμὸν αὐτόματον ἰδόντες, διήγγειλαν, ὡς οἱ Διόσκεροι συμμαχήσοντες ἥκοιεν. οἱ στρατιῶται θαῤῥήσαντες, καὶ τὰς γνώμας ἔνθεοι γενόμενοι, γενναίως ἠγωνίσαντο, καὶ τὰς Ἀρκάδας ἐνίκησαν.

β΄ Ἀρχίδαμος ἐπολιόρκει Κόρινθον. ἦν ἐν τῇ πόλει στάσις τῶν πλεσίων, καὶ τῶν πενήτων· τῶν μὲν ὡς ὀλιγαρχίαν πραττόντων, τῶν δὲ ὡς προδοσίαν. ταῦτα μαθὼν Ἀρχίδαμος ἀνῆκε τὸ σφοδρὸν τῆς πολιορκίας· ἐκ ἔτι μηχανήματα προσῆγεν, ἐκ ἔτι περιεστάφρευσεν, ἐκ ἔτι τὴν χώραν ἔτεμνεν. οἱ πλέσιοι φοβηθέντες ὡς ἄρα τοῖς πένησι προδιδέσι χαρίζοιτο, φθάσαντες ἐπεκηρυκεύσαντο, καὶ τὴν πόλιν ἐνέδωκαν Ἀρχιδάμῳ, οἱ εἰσαῦθις ἀσφαλῶς πρὸς αὐτὸν συνθέμενοι.

γ΄ Λακεδαιμονίων ἡ πόλις ἐσείσθη· καὶ πέντε μόναι διεσώθησαν οἰκίαι. Ἀρχίδαμος ὁρῶν τὰς ἀνθρώπες ἐπὶ τὸ σώζειν τὰ ἐν ταῖς οἰκίαις τραπομένες, δείσας μὴ πάντες ἀπολειφθέντες ἀπόλοιντο, τῇ σάλπιγγι πολεμίων ἐσήμαινεν ἔφοδον. πιστεύσαντες οἱ Λάκωνες, πρὸς αὐτὸν

duces et centuriones, nova conſpicientes arma, et duorum equorum veſtigia, atque forte natam aram, divulgaverunt Dioſcuros auxilium laturos. Milites ſumtis animis, et religione commoti, ſtrenue pugnarunt, atque Arcadas vicerunt.

2 Archidamus Corinthum oppugnabat. Erat in urbe ſeditio inter divites et pauperes, quod illi oligarchiam, hi proditionem moliri viderentur. His cognitis, Archidamus remiſit aliquantum de vi ac vehementia oppugnationis: non machinas amplius admovit, non amplius foſſas egit, non amplius terram vaſtabat. Divites metuentes ne pauperibus civitatem prodentibus gratificaretur, prævertentes legationem miſerunt, et urbem Archidamo dediderunt, etiam his (pauperibus) ſecuritatis gratia fœdus cum eo facientibus.

3 Lacedæmoniorum urbs terræmotu concutiebatur, ita ut quinque ſolum ædes manerent ſuperſtites. Archidamus, videns homines ad ſervanda ea, quæ in ædibus habebant, accurrere, veritus ne omnes intercepti perirent, tuba hoſtium adventum ſignificavit. Lacones credentes ad eum concur-

αὐτὸν συνέδραμον. αἱ μὲν οἰκίαι συνέπεσον· αὐτοὶ δὲ οὕτως ἐσώθησαν.

δ΄ Ἀρχίδαμος, κρατούντων Ἀρκάδων, αὐτὸς ἤδη παρειμένος ὑπὸ τραύματος φθάσας ἐπεκηρυκεύσατο περὶ νεκρῶν ἀναιρέσεως, ὅπως μὴ καὶ οἱ λοιποὶ προσαπόλοιντο.

ε΄ Ἀρχίδαμος νύκτωρ τοὺς στρατιώτας ἦγεν ἐπὶ Κάρας. ὁδὸς ἦν ἄνυδρος, τραχεῖα, πολλή. καὶ ἠγανάκτουν οἱ στρατιῶται τῷ πόνῳ. παρεμυθεῖτο αὐτοὺς Ἀρχίδαμος, ὡς οἷόν τε ἦν, καὶ παρεκάλει μηδαμῶς ἐνδιδόναι. ἐπεὶ δὲ ἄφνω προσπεσόντες, καὶ πολλοὺς τῶν πολεμίων κτείναντες, ἐξεῖλον τὸ χωρίον, οἱ μὲν ἐδειπνοποιοῦντο, ἐπὶ τῇ νίκῃ γεγηθότες. Ἀρχίδαμος δὲ ἤρετο, πηνίκα δοκοῦσιν ἁλῶναι τὴν πόλιν; λεγόντων δὲ, τῶν μὲν, ἡνίκα προσεβάλομεν· τῶν δὲ, ἡνίκα ἐτοξεύομεν· οὐδαμῶς, ἔφη αὐτός, ἀλλ᾽ ὅτε τὴν πολλὴν καὶ ἄνυδρον ὁδὸν ἐπορευόμεθα. τὸ γὰρ βούλεσθαι πονεῖν, πάντων κρατεῖν πέφυκεν.

ΚΕΦ. ΜΒ.

ΓΥΛΙΠΠΟΣ.

Γύλιππος βουλόμενος αὐτοκράτωρ γενέσθαι τῆς ἐν Συρακούσαις δυνάμεως, συναγαγὼν τοὺς στρατηγοὺς τῶν Συρακου-

currebant; ædificia quidem corruerunt, ipſi vero ſic ſalvi evaſerunt.

4 Archidamus, victoria potitis Arcadibus, ipſe debilis ex vulnere, ſtatim legationem miſit de ſepeliendis mortuis, ne reliqui etiam perirent.

5 Archidamus noctu milites duxit ad Caras per viam aquis carentem, aſperam, ac longam. Milites vero labore defatigatos & indignantes, conſolabatur Archidamus, quantum poterat, et ne deficerent hortabatur. Poſtquam vero repente irruentes plurimis hoſtibus interfectis, oppidum exſcidiſſent, cœnam parantes, atque exultantes victoria, rogavit Archidamus, quando ſibi urbem cepiſſe viderentur. Reſpondentibus aliis, cum impreſſionem faceremus: aliis, cum jacula mitteremus: nequaquam, ait ille, ſed cum per viam longam et aquis carentem contenderemus. Nam voluntas ad laborem propenſa, cuncta vincere ac ſuperare conſuevit.

CAP. XLII.

GYLIPPUS.

Gylippus, ut imperator Syracuſani exercitus crearetur, congregatis Syracuſanorum ducibus, ait oportere

ῥακυσίων εἶπεν, ὡς χρὴ λόφον τινὰ μεταξὺ τῆς πόλεως, καὶ τοῦ στρατοπέδου τῶν Ἀθηναίων τειχίσαι. τῶν δὲ πεισθέντων, νύκτωρ αὐτὸς ἔπεμψεν αὐτόμολον ἀγγέλλοντα τοῖς πολεμίοις τὰ δεδογμένα. οἱ μὲν δὴ μαθόντες, αὐτοὶ προκατέσχον τὸν λόφον. Γύλιππος δὲ ἐσχετλίαζεν ὡς τῶν ἀποῤῥήτων ἐξαγγελλομένων. ὅπως οὖν εἰσαῦθις τοῦτο μὴ γένοιτο, οἱ προὔχοντες τῶν Συρακουσίων ἑνὶ καὶ μόνῳ Γυλίππῳ τὴν ἀρχὴν τοῦ πολέμου ἐπέτρεψαν.

β′ Γύλιππος τὸν προκατεσχημένον λόφον, ὑπὸ Ἀθηναίων αὐτὸς βουλόμενος κατασχεῖν, ἀπὸ τῶν τριήρων πολλῶν οὐσῶν, εἴκοσι πληρώσας, πυκνὰς τὰς μελέτας ἐποιεῖτο. τῶν δὲ πληρωμάτων συγκροτηθέντων, νυκτὸς ἀφῆκεν αὐτὰς εἰς τὸ πέλαγος, παραγγείλας καταπλεῖν ἀρχομένης ἡμέρας. ὡς δὲ οἱ πολέμιοι καταπλεούσας εἶδον, ἐπ' αὐτὰς ἀνήχθησαν. τῶν δὲ μεταβαλλομένων εἰς φυγὴν, οἱ μὲν Ἀθηναῖοι μετὰ σπουδῆς ἐδίωκον. ὁ δὲ Γύλιππος τὰς ὑπολοίπους ναῦς πληρώσας, ἐπανήγετο. ἐν τῷ καιρῷ τούτῳ περὶ τὴν ναυμαχίαν τῶν Ἀθηναίων ἀσχολουμένων, οἱ πεζοὶ Γυλίππου συνταχθέντες ῥᾷστα κατέσχον τὸν λόφον, τοὺς φύλακας τῶν Ἀθηναίων ἐκβαλόντες.

ΚΕΦ. ΜΓ.

tere collem quendam inter urbem et Athenienſium caſtra munire. Quibus morem gerentibus, noctu transfugam ad hoſtes mittit, qui decreta nuntiaret. Illi re cognita, collem occupaverunt. Gylippus autem indignabatur, tanquam arcanis proditis ac promulgatis. Ut igitur in poſterum ne fieret hoc amplius, principes Syracuſanorum ſummam belli uni et ſoli Gylippo detulerunt.

2 Gylippus, ut præoccupatum ab Athenienſibus collem reciperet, ex multis triremibus, implens viginti, crebras exercitationes obibat. Collectis claſſiariis, noctu eas in pelagus dimiſit, imperans ut oriente die adnavigarent. Cum hoſtes adnavigantes cernerent, contra ſolverunt. Illis vero in fugam converſis, ſummo ſtudio Athenienſes inſequebantur. At Gylippus reliquis navibus impletis ſolvebat. Interea temporis Athenienſibus in navali certamine occupatis, pedites Gylippi inſtructa acie, dejectis Athenienſium cuſtodibus, nullo negotio collem obtinuerunt.

CAP. XLIII.

ΚΕΦ. ΜΓ.

ΕΡΜΟΚΡΑΤΗΣ.

Ἑρμοκράτης τῶν ἐν Συρακούσαις ἐπαναστάντων, καὶ χειρὸς πολλῆς οἰκετικῆς ἠθροισμένης, πρὸς τὸν ἡγούμενον αὐτῶν Σωσίστρατον ἔπεμψε πρεσβευτὴν, ἕνα τῶν ἱππάρχων Δαίμαχον, ὃς ἦν αὐτῷ συνήθης καὶ φίλος, ἀγγέλλοντα τὰ παρὰ τῶν στρατηγῶν· ὡς ἄρα τὸ φρόνημα αὐτοῦ θαυμάζοντες, πάντας μὲν ἐλευθέρους ἀφίασι, πάντας δὲ ὁπλιοῦσι, καὶ σιτηρέσιον δώσουσι τὸ ἴσον· αὐτὸν δὲ τὸν Σωσίστρατον συνάρχοντα ἀποφαίνουσι, καὶ ἤδη γε ἥκειν βουλευσόμενον μετὰ τῶν στρατηγῶν, ὅσα τὸ πολιτικὸν κατεπείγοι. ὁ δὲ Σωσίστρατος τῇ φιλίᾳ τοῦ Δαϊμάχου πιστεύσας, παραλαβὼν εἴκοσι τοὺς ἡγεμονικωτάτους τῶν δούλων, ἧκε πρὸς αὐτούς· οὗτοι μὲν συλληφθέντες ἐδέθησαν· Ἑρμοκράτης δὲ μετὰ ἑξακισχιλίων ὁπλιτῶν ἐξελθὼν, καὶ τοὺς δούλους λαβὼν, ὤμοσεν, ἦ μὴν μηδὲν αὐτοῖς δεινὸν ἂν γενέσθαι, πρὸς τὸν αὐτοῦ δεσπότην ἕκαστος εἰ ἐπανέλθοι· πεισθέντες ἐπανῆλθον· ὅτι μὴ μόνοι τριακόσιοι πρὸς Ἀθηναίους ηὐτομόλησαν.

β΄ Ἀθη-

CAP. XLIII.

HERMOCRATES.

Hermocrates Syracuſiis factionem moventibus, magna ſervorum manu collecta, ad ducem ipſorum Soſiſtratum miſit legatum, unum ex præfectis equitum Daimachum, cum quo intercedebat ei uſus et amicitia, nuntiantem duces admirantes fortitudinem ipſius, in animo habere omnes liberos dimittere, omnibusque arma et æqualem commeatum tribuere. Ipſum vero Soſiſtratum in ducum conſortium aſſumere, atque jam veniret, conſilium cum ducibus de communibus rebus capturus. Soſiſtratus amicitia Daimachi fretus, aſſumtis viginti ſervis præſtantiſſimis, venit ad ipſos. Quibus comprehenſis, et in vincula conjectis, Hermocrates cum ſexcentis armatis egreſſus, cum ſervos cepiſſet, eis juravit per ſuam fidem, nihil ipſis periculi futurum, ſi quilbet ad ſuum dominum rediiſſet. Perſuaſi redierunt. Exceptis trecentis, qui ad Athenienſes transfugerunt.

2 Athe-

β' Ἀθηναῖοι τὴν ὑστάτην ἐν Σικελίᾳ ναυμαχίαν, ἡσσῶνται· καὶ νύκτωρ φεύγειν ἔδοξαν· Συρακούσιοι θύσαντες ἐπινίκια ὑπὸ μέθης ἀνεπαύοντο. Ἑρμοκράτης μεθύοντας καὶ καθεύδοντας ἐπὶ μάχην ὅπως μὴ ἐξάγοι, αὐτόμολον πέμπει φράσοντα πρὸς Νικίαν, ὡς μέχρι νῦν 42 πάντες οἱ μηνύοντες φίλοι προαγορεύουσιν, ἢν ἀποκινήσῃς νύκτωρ, ἐνέδραις ἐμπίπτεις, καὶ λόχοις· πιστεύει Νικίας· καὶ 43 ἀναμείνας ἕως ὄρθρου, τὸ στρατόπεδον οὐκ ἐκίνησεν· Ἑρμοκράτης τοὺς Συρακουσίους ἅλις ἔχοντας ὕπνου, ἀνέστησεν ἐυρώστους· οἱ δὲ προκαταλαβόντες τὰς διαβάσεις τῶν ποταμῶν καὶ τὰς γεφύρας, πανωλεθρίᾳ τοὺς Ἀθηναίους διέφθειραν.

ΚΕΦ. ΜΔ.
ΕΤΕΩΝΙΚΟΣ.

Ἐτεώνικον Λάκωνα ἐν τῇ Μιτυλήνῃ Κόνων Ἀθηναῖος ἐπολιόρκει· κέλης ὑπηρετικὸς ἧκεν ἀγγέλλων, Καλλικρατίδας ὁ ναύαρχος Λακεδαιμονίων ἐν Ἀργινούσαις οἴχεται ἡττη-

42 *πάντα* legi vult *Caſ.* quod etiam in verſione expreſſimus. 43 Mssc. non habent ὄρθρου. Sed legendum tunc *ἀναμείνας ἕω. Maſv.*

2 Athenienſes poſtremo in Sicilia certamine navali ſuperati ſunt, et noctu fugere decreverunt. Syracuſii ſacrificantes ob partam victoriam, et inebriati vino, ſe quieti dederunt. Hermocrates, ne ebrios et ſomnolentos in pugnam educeret, transfugam mittit, qui diceret Niciæ, amici tui, ſoliti hucusque omnia tibi ſignificare, præmonent jam te: Si moveris noctu, in inſidias incides, et dolum. Credidit Nicias, et diem præſtolatus, caſtra non movit. Hermocrates Syracuſanos, cum ſatis jam crapulam edormiviſſent, valentes ac robuſtos ſuſcitat, qui interceptis fluviorum vadis, et pontibus, occidione Athenienſes occiderunt.

CAP. XLIV.
ETEONICUS.

Eteonicum Laconem in urbe Mitylenenſium Conon Athenienſis oppugnabat: celox ad miniſteria bellica venit nuntians, Callicratidam Lacedæmoniorum nauarchum ad Ar-

ἡττημένος. Ἐτεώνικος τὰς ἀγγέλους ἐκέλευσε νύκτωρ ὑπεξελθεῖν, καὶ μεθ' ἡμέραν ἐς Μιτυλήνην ἐστεφανωμένους, καὶ παιανίζοντας, νίκην ἀγγέλλοντας ἥκειν. Ἐτεώνικος μὲν ἔθυεν εὐαγγέλια· Κόνων δὲ καὶ τὸ Ἀττικὸν ἐξεπλάγη καὶ ἡσύχαζεν· οὐ μὴν ἡσύχαζεν Ἐτεώνικος. ἀλλὰ τὸ μὲν ναυτικὸν εἰς Χίον ἐξέπεμψε. τὸ δὲ στρατιωτικὸν ἐς Μήθυμναν, φίλην πόλιν ἐξήγαγεν.

ΚΕΦ. ΜΕ.

ΛΥΣΑΝΔΡΟΣ.

Λύσανδρος τοῖς ἐν Μιλήτῳ φίλοις ὑποσχόμενος τὸν δῆμον συγκαταλύειν, ἧκεν εἰς Μίλητον· καὶ τοῖς μὲν νεωτερίζουσι λόγῳ χαλεπὸς ἦν· τοῖς δὲ δημόταις ἐλευθερίαν συμπράττειν 44 ἐπηγγέλλετο. πιστεύσας ὁ δῆμος Λυσάνδρῳ χρηστὰ λέγοντι, ἀπαράσκευος ἤλπιζε τὰ βελτίονα. οἱ φίλοι κοινῷ συνθήματι ἐπανίσταντα, καὶ τῷ δήμῳ προσπεσόντες, πολλοὺς κτείνουσι, καὶ ἡ Μίλητος ἦν ὑπὸ τοῖς φίλοις Λυσάνδρου.

β Ἐν

44 ἐπηγγείλατο *Vulg.*

Arginuſas periiſſe ſuperatum. Eteonicus ſub noctem clam egredi nuntios juſſit, et interdiu Mitylenas coronatos, et gratulabundos venire, ac victoriam nuntiare. Eteonicus quidem ſolemnia ob rei feliciter geſtæ nuntium ſacra fecit: Conon, et Atticus exercitus conſternatus, quietum ſe tenuit. At non Eteonicus quievit, ſed mox claſſem in Chium miſit. Pedeſtres vero copias Methymnam, in civitatem ſociam & amicam deduxit.

CAP. XLV.

LYSANDER.

Lyſander amicis ſuis, quos Mileti habebat, pollicitus ſe ad populum evertendum et opprimendum eis adjumento futurum, venit Miletum. Et in eos qui novas res molirentur, acerbiſſime verbis invehebatur, populo vero ſuam operam ad tuendam libertatem promittebat. Credens populus Lyſandro bona in ſpeciem dicenti, cum imparatus meliora ſperaret, amici communi ſigno conſurgunt, et in plebem impetum facientes, multos cædunt, atque ſic Miletus in amicorum Lyſandri poteſtatem venit.

2 In

β΄ Ἐν Αἰγὸς ποταμοῖς οἱ Ἀθηναῖοι τετράκις ἀνήχθησαν, ἐφ᾽ ᾧ τε ναυμαχεῖν· Λύσανδρος ὁ Λάκων οὐκ ἀντανήγετο. οἱ μὲν οὖν ἀποπλέουσι γαννύμενοι, παιᾶνας ᾄδοντες· Λύσανδρος δὲ κατόπιν πέμπει δύο τριήρεις. οἱ τριήραρχοι τοὺς Ἀθηναίους ἐκβάντας ὡς εἶδον, σημεῖον μετέωρον αἴρουσι χαλκῆν ἀσπίδα· Λύσανδρος αὐτίκα ὑπεσήμαινεν ἐπίπλουν· καὶ οἱ Λάκωνες εἰρεσίᾳ πολλῇ ἐπιπλέουσι· καὶ τοὺς Ἀθηναίους καταλαμβάνουσιν ἄρτι ἐκβάντας· ὧν οἱ μὲν ἀνεπαύοντο· οἱ δὲ, ἄλλος ἄλλό τι ἔδρα γυμνοὶ πάντες. οἱ Λάκωνες ἄφνω προσπεσόντες ὡπλισμένοι γυμνοῖς, συντεταγμένοι ἀσυντάκτοις, ἐνίκησαν· [45] αἱροῦσιν οὖν ἄνδρας αἰχμαλώτους καὶ τὰς τριήρεις ἁπάσας· ὅτι μὴ μία ἡ πάραλος ἔφυγεν Ἀθήναζε μόνη τῆς ἥττης ἄγγελος.

γ΄ Λύσανδρος παρήγγειλεν, ἐξαπατᾷν χρῆναι παῖδας μὲν ἀστραγάλοις, πολεμίους δὲ ὅρκοις.

δ΄ Λύσανδρος ἐκράτησε Θασίων, παρ᾽ οἷς ἦσαν ἀττικίζοντες πολλοὶ, [46] κρυπτόμενοι τοῦ Λάκωνος φόβῳ· ὁ δὲ

τοὺς

45 Mss. omittunt οὖν ἄνδρας ut etiam Interpres. 46 Mss. absque φόβῳ.

2 In Aegos flumine perſæpe Athenienſes ſolverunt ad navale certamen ineundum: cum Lyſander ex adverſo non ſolveret, illi gaudio pleni, præanasque canentes abnavigant. Lyſander a tergo duas mittit triremes. Triremium præfecti cum egreſſos eſſe Athenienſes cernerent, ſublime tollunt ſignum æneum ſcutum. Lyſandro ſtatim ſignum dante, ut adnavigarent, Lacones contenta remigatione advolant, atque Athenienſes recens egreſſos deprehendunt: quorum alii quieti ſe dederant, alius aliam rem agebat, inermes omnes. Inermes armati ex improviſo obruentes Lacones, et inordinatos inſtructi, victoria potiti ſunt, in captivitatem redigentes naves univerſas, niſi quod una curſoria Athenas aufugit, quæ cladem nuntiare poſſet.

3 Lyſander pueros teſſeris, hoſtes jurejurando fallendos eſſe dicebat.

4 Lyſander Thaſios ſuperavit, apud quos erant multi, qui Athenienſium partes ſecuti fuerant. Ii ſe ab Lacone metuentes occultabant: qui convocatis

Tha-

τοὺς Θασίους ἐς τὸ τοῦ Ἡρακλέους ἱερὸν συναγαγὼν, φιλανθρώπους λόγους διεξῆλθεν· ὡς δέον συγγνώμην ἔχειν τοῖς κρυπτομένοις ἐν τῇ μεταβολῇ τῶν πραγμάτων, 47 καὶ θαῤῥεῖν αὐτοὺς προσῆκεν, ὡς μηδὲν δεινὸν πεισομένους, τῶν λόγων ἐν ἱερῷ γινομένων, καὶ ταῦτα ἐν Ἡρακλέους πόλει τοῦ πατρῴου. οἱ μὲν οὖν κεκρυμμένοι τῶν Θασίων πιστεύσαντες τῇ φιλανθρωπίᾳ τῶν λόγων προῆλθον· Λύσανδρος δὲ διαλιπὼν ὀλίγας ἡμέρας, ὅπως ἀδεέστεροι γένοιντο, προσέταξε συναρπασθέντας ἀποσφαγῆναι.

ε' Λύσανδρος τὰς Ἀθήνας κατασκάπτειν βουλομένων τῶν Λακεδαιμονίων, καὶ τῶν συμμάχων, ἔφη μηδαμῶς συμφέρειν· τὴν γὰρ Θηβαίων πόλιν ἐγγὺς οἰκουμένην, ἰσχυροτέραν, καὶ μείζονα κατ' αὐτῶν γενήσεσθαι· ἐὰν δὲ διὰ τυράννων κατέχωσι τὰς Ἀθήνας, ἐγγύθεν παραφυλάξειν τοὺς Θηβαίους, καὶ διὰ παντὸς ἕξειν ὑποδεεστέρους· ἄριστα λέγειν δόξας Λύσανδρος, ἔπεισε τὰς Ἀθήνας μὴ κατασκάψαι.

ΚΕΦ. Μϛ.

47 Legendum καὶ ὅτι θαῤῥεῖν αὐτοῖς προσῆκεν.

Thaſiis in templum Herculis, humaniſſimam orationem habuit, oportere veniam dare his qui laterent in commutatione rerum, et eos bonum animum gerere juſſit: nihil enim accepturos damni, quippe cum eam orationem in templo haberet, idque in civitate Herculis patrii. Occulti igitur ex Thaſiis fidem habentes orationis benignitati, prodierunt. Lyſander intermiſſis paucis diebus, quo ſecuriores fierent, correptos interfici juſſit.

5 Lyſander Athenas exſcindere volentibus Lacedæmoniis et ſociis, Non, inquit, conducit. Thebanorum enim urbem in propinquo ſitam, validiores et majores contra ipſos vires collecturam. Sin per tyrannos Athenas in officio contineant, ex propinquo poſſe eos eadem opera Thebanos obſervare, foreque eorum rès ſemper deteriores. Lyſander optime viſus dicere, perſuaſit, ne Athenas exſcinderent.

CAP. XLVI.

ΚΕΦ. Μϛ.

Α Γ Ι Σ.

Ἄγις Πελοποννησίων Λακεδαιμονίοις πολεμούντων ἐν λιμῷ γνώμην ἠγόρευεν, παρὰ μίαν ἡμέραν ἀσιτεῖν. φοβῆσαι δὲ τοὺς πολεμίους βουλόμενος, αὐτομόλους ἔπεμψεν ἀγγελοῦντας, ὡς μεγάλη συμμαχία τῇ μελλούσῃ νυκτὶ τοῖς Λάκωσι ἀφίξεται. τῶν μὲν κτηνῶν τὰ ϛόματα ἔδησε δι' ὅλης τῆς ἡμέρας, νυκτὸς δὲ ἀρχομένης ἔλυσεν· ὥς τε τὰ κτήνη πεινῶντα, τῶν δεσμῶν ἀπολυθέντα, πόας καὶ νομῆς λαβόμενα, ἀνεσκίρτα καὶ ἐφρυάττετο, καὶ ψόφον ἤγειρε πολύν· συνεπήχουν δὲ καὶ τῶν ὀρῶν αἱ φάραγγες· τοὺς δὲ ϛρατιώτας ἐκέλευσεν ἄλλον ἀλλαχοῦ σκεδασθέντας, διπλᾶ καὶ τριπλᾶ πυρὰ ἀνακαῦσαι· οἱ Πελοποννήσιοι τῷ πλήθει τῆς κραυγῆς, καὶ τῷ μεγέθει τοῦ ψόφου φενακισθέντες, ὡς μεγάλης ἐπικουρίας ἡκούσης, αὐτίκα φεύγοντες ᾤχοντο.

ΚΕΦ. ΜΖ.

CAP. XLVI.

A G I S.

Agis Peloponneſiis adverſus Lacedæmonios bellum gerentibus fame urgente, conſilium dedit, ut alternis diebus cibo abſtinerent. Metum autem hoſtibus inferre volens, transfugas miſit, qui nuntiarent, magnum auxilium Laconibus proxima nocte venturum. Jumentorum ora per integrum diem ligavit. Initio vero noctis vincula ſolvit: itaque jumenta fame confecta, et vinculis ſoluta, cum nacta fuiſſent herbas et paſcua, exſilierunt et infremuerunt, magnumque ſtrepitum moverunt, atque ſimul clamorem exceptum valles referebant. Milites autem juſſit, alium alibi diſperſos, duplices aut triplices ignes facere. Peloponneſii multitudine clamoris, et ſtrepitus magnitudine decepti, quaſi magnis copiis ad opem contra ſe ferendam advenientibus, repente fugam capeſſiverunt.

CAP. XLVII.

ΚΕΦ. ΜΖ.

ΘΡΑΣΥΛΛΟΣ.

Θράσυλλος βουλόμενος τοῖς πολεμίοις φανῆναι ὀλίγας τριήρεις ἔχων, προσέταξε τοῖς κυβερνήταις ἐς δύο τὰς ναῦς καταστῆσαι, καὶ τῆς μὲν ἑτέρας ἄρασθαι τὰ ἱστία, τὴν δὲ πρὸς τὸν ζυγὸν καλωδίοις προσλαβεῖν, τῇ θεούσῃ παραθέουσαν, καὶ μὴ φαινομένων μετεώρων τῶν ἱστίων τῆς ἑτέρας τριήρους. τούτῳ τῷ τρόπῳ τὰς ἡμισείας τῶν νεῶν ἀπεκρύψατο.

β' Θράσυλλος, καὶ οἱ περὶ αὐτὸν στρατηγοὶ, 48 Βυζαντίοις ἐπέκειντο περὶ ναξίαν· οἱ στρατηγοὶ Βυζαντίων δείσαντες μὴ κατὰ κράτος ἡ πόλις ἁλῷ, συνέθεντο χρόνον, ἐν ᾧ παραδώσουσι τὸ Βυζάντιον, καὶ τῆς συνθήκης ὁμήρους ἔδωκαν· οἱ περὶ Θράσυλλον ἀνήχθησαν μὲν ἐπὶ τούτοις τὴν ἐπ' Ἰωνίας· αὐτῆς δὲ νυκτὸς ἀναστρέψαντες κατελάβοντο τὴν τῶν Βυζαντίων πόλιν ἀφύλακτον.

48 MſΓ. Βυζαντίοις ἐπέκειντο. οἱ περὶ ἀναξίαν οἱ στρατ.

CAP. XLVII.

THRASYLLUS.

Thraſyllus, ut paucas triremes habere hoſtibus videretur, juſſit, ut nautæ binas naves in unam redigerent, et alterius vela tollerent: alteram ad jugum funiculis aſtringerent, ut currenti adhæreret, ne alterius vela ſublata conſpicerentur. Hoc pacto dimidiam partem navium occultavit.

2 Thraſyllus cum reliquis ducibus inſtabat Byzantiis. Duces Byzantiorum veriti, ne per vim urbs caperetur, tempus conſtituerunt, intra quod Byzantium traderent, et in eam rem obſides dederunt. Thraſyllus poſthæc ſolvit verſus Ioniam. Ipſa vero nocte reverſus, cepit urbem Byzantiorum incuſtoditam.

ΚΕΦ. ΜΗ.

ΚΩΝΩΝ.

Κόνων καταλιπόμενος ὑπὸ τῶν συμμάχων, αὐτόμολον ἔπεμψε, φράσοντα τοῖς πολεμίοις ὡς μέλλοιεν ἀποδιδράσκειν, καὶ ὅθεν, καὶ ἡνίκα. οἱ μὲν δὴ ἐνεδρεύοντες παρεφύλαττον. Κόνων δὲ προεῖπε τοῖς συμμάχοις, ἀσφαλέστερον ἀναχωρεῖν, ὡς ἐνέδραν προπεπυσμένος· οἱ δὲ ἀναχωροῦντες προαισθανόμενοι τῆς ἐνέδρας ἀνέστρεψαν, καὶ παραμείναντες μέχρι νίκης αὐτῷ διεπολέμησαν.

β' Κόνων Καλλικρατίδαν διπλασίας ἔχοντα τριήρεις ὑπέφευγεν ἐν τῇ θαλάττῃ· καὶ ἤδη πλησίον Μιτυλήνης ἦν· τῶν δὲ Λακωνικῶν νεῶν ἐν τῇ διώξει διεσπασμένων, ἐπῆρε τὴν φοινικίδα· ἦν δὲ ἄρα μάχης σύνθημα τοῖς κυβερνήταις· οἱ δὲ ἐπιστρέψαντες ἀντιπρώρους τὰς ναῦς ἐμβάλλουσι ταῖς Λακωνικαῖς. αἱ δὲ ἀσύντακτοι καὶ τεταραγμέναι τὸ παράλογον τῆς ἐπιστροφῆς ἐκπλαγεῖσαι, πολλαὶ μὲν ἀνερράγησαν. πολλαὶ δὲ κατέδυσαν. Κόνων δὲ τοῦ παντὸς ἔργου τὴν νίκην ἀπηνέγκατο.

γ' Κό-

CAP. XLVIII.

CONON.

Conon relictus a ſociis, transfugam miſit, qui diceret hoſtibus, eos fugam parare, item ex quo loco, et quo tempore. Qui inſidiantes, obſervabant. At Conon ſociis promulgavit, ut ſecure diſcederent, quippe qui antea de inſidiis certum cognoverat. Qui diſcedentes, cum præſenſiſſent inſidias, redierunt, et permanentes uſque ad victoriam cum eo bellum geſſerunt.

2 Conon Callicratidem duplo plures habentem triremes, in mari fugiens, cum jam prope Mitylenen eſſet, Laconicis navibus inter inſequendum diſtractis, ſuſtulit ſagum, quod erat pugnæ ſignum gubernatoribus. Qui converſis proris, in Laconicas naves impreſſionem faciunt. At illæ inordinatæ atque perturbatæ, inopinata converſione perculſæ, magna ex parte fractæ ſunt, multæ etiam ſubmerſæ. Conon vero ſummæ rerum victoriam deportavit

3 Co

γʹ Κόνων Φαρναβάζῳ συμμαχῶν, Ἀγησιλάου τὴν Ἀσίαν πορθοῦντος, ἔπεισε τὸν Πέρσην χρυσίον πέμψαι τοῖς δημαγωγοῖς τῶν πόλεων τῆς Ἑλλάδος· οἱ λαβόντες πείσουσι τὰς πατρίδας ἐκφέρειν τὸν πρὸς Λακεδαιμονίους πόλεμον· οἱ μὲν βιασθέντες ἔπεισαν· καὶ συνέστη πόλεμος Κορινθιακός· οἱ δὲ Σπαρτιάται τὸν Ἀγησίλαον ἐκ τῆς Ἀσίας ἀνεκαλέσαντο.

δʹ Κόνων ἐν Μιτυλήνῃ κατακεκλεισμένος ὑπὸ Λακεδαιμονίων, σπεύδων Ἀθηναίοις μηνῦσαι τὴν πολιορκίαν, λαθεῖν τοὺς ἐφορμοῦντας οὐχ οἷός τε ὤν, κατασπάσας δύο τὰς ταχυναυτούσας τῶν νεῶν, καὶ τοὺς ἀρίστους ἀπὸ τῶν πληρωμάτων ἐρέτας ἐμβιβάσας, ὅσα χρὴ ἐξειργασμένους, κελεύσας ἐν τοῖς σκάφεσιν ἡσυχάζειν, ἑσπέρας προϊούσης θεασάμενος τοὺς παραφυλάσσοντας ἀνὰ τὴν γῆν ἐσκεδασμένους· οἱ μὲν σώματα ἐτημέλουν· οἱ δὲ πῦρ ἀνέκαιον· οἱ δὲ πυρὰν ἀνεσκεύαζον· καὶ δὴ καὶ τότε ἀφῆκε τὰ σκάφη, παραγγείλας πλεῖν δρόμον ἀλλήλοις ἐναντίον· ἵν', εἰ καὶ θάτερον ἁλίσκειτο, τὸ θάτερον γοῦν σωθῆναι δυνηθῇ, ἄμφω

3 Conon auxilium Pharnabazo ferens, Ageſilao populante Aſiam, ſuaſit Perſæ, ut pecunias mitteret oratoribus civitatum Græciæ, qua corrupti perſuaderent ſuis civitatibus, ut bellum Lacedæmoniis inferrent. Qui inducti perſuaſerunt, et bellum exortum eſt Corinthiacum. Sic factum eſt, ut Lacedæmonii Ageſilaum ex Aſia revocarent.

4 Conon in urbe Mitylenenſium concluſus, et obſeſſus a Lacedæmoniis, cum Athenienſibus oppugnationem indicare ſumme cuperet, neque poſſet mittere clam iis, qui appellerent, deductis duabus celocibus, præſtantiſſimos ex claſſiariis remiges impoſuit, quantum opus erat exercitatis, eosque juſſit in navigiis otium agere. Procedente veſpera conſpicatus per terram diſperſos cuſtodes, cum alii corpora curarent, alii ignem incenderent, alii pyram exſtruerent. Tum vero dimiſit navigia, mandans ut curſum ſibi mutuo contrarium tenerent, ut, etiamſi alterum caperetur, alterum ſaltem evadere poſ-

E 2 ſet.

ἄμφω δὲ ἐσώθη, τῶν πολεμίων διὰ τὴν ἀσχολίαν διῶξαι βραδυνάντων.

έ Κόνων ναυμαχεῖν μέλλων, ἀγγείλαντος αὐτομόλου, ὡς αἱ τῶν πολεμίων ἄρισται τριήρεις πεποίηνται σκοπὸν ἑλεῖν τὴν Κόνωνος ναῦν· κατασκευάσας ὁμοίαν τριήρη τῇ ἑαυτοῦ; καὶ τὸν στρατηγικὸν κόσμον περιθεὶς, ἔταξεν ἐπὶ τὸ δεξιὸν κέρας· καὶ προσέταξεν ἀπὸ ταύτης ἆραι τὸ σημεῖον τῷ παντὶ στόλῳ· οἱ μὲν πολέμιοι ταῦτα ἰδόντες, ὅσοι τὰς ἀρίστας ναῦς εἶχον, εὐθέως ἐπὶ τὴν στρατηγίδα ὥρμησαν· Κόνων δὲ τῷ λοιπῷ στόλῳ προσπεσὼν, τὰς μὲν κατέδυσε, τάς δὲ κατεδίωξεν.

ΚΕΦ. ΜΘ.

ΞΕΝΟΦΩΝ.

Ξενοφῶν ἐπανῆγε τοὺς μυρίους. τῶν περὶ Τισσαφέρνην ἱππέων ἐνοχλούντων τὰ σκευοφόρα, γνώμην ἀγορεύσας τὰς μὲν ἁμάξας καὶ τὰ περισσὰ τῆς 49 σκευῆς. . . . . ὅπως μὴ

49 Lacunam poſt σκευῆς occurrentem ſupplet *Caſ.* addendo καταλείπειν.

ſet. Utrumque vero ſervatum eſt, hoſtibus per otium et ignaviam perſequi cunctantibus.

5 Conon navale prælium initurus, nuntiante transfuga, triremes optimas hoſtium ad Cononis navem capiendam intendere, apparavit ſuæ ſimilem, et ducis ornamentis inſtruxit, atque ad dextrum cornu diſpoſuit, ab eaque univerſæ claſſi ſignum dari juſſit. Hoſtes cum id vidiſſent, qui optimas naves habebant, repente ad imperatoriam contendunt. At Conon reliquam claſſem invadens, alias ſubmerſit, alias in fugam convertit.

CAP. XLIX.

XENOPHON.

Xenophon decem millia domum reducens, equitibus Tiſſaphernis jumenta invadentibus, conſilium dedit, ut currus et ſuperfluum apparatum. impedimentorum

μὴ συμβαίνῃ τοῖς Ἕλλησι περὶ ταῦτα μαχομένοις τελευτᾷν, καὶ κωλύεσθαι προσωτέρω βαδίζειν.

β´ Ξενοφῶν τῶν βαρβάρων κατὰ τὴν πορείαν ἐπικειμένων, τάξας ἀμφίστομον τὴν φάλαγγα, ὅσα ἦν ἀναγκαῖα σκευοφόρα λαβὼν ἐντὸς, ἐπορεύετο, καταστήσας ἐπὶ τῆς οὐραγίας ἱππεῖς, ἀκοντιστὰς, πελταστάς· οἳ τοὺς προσπίπτοντας τῶν βαρβάρων ἀπεκρούοντο.

γ´ Ξενοφῶν τῶν βαρβάρων προκαταλαβόντων στενὸν τόπον, ᾗ τὴν πάροδον ἀναγκαῖον ποιεῖσθαι τοῖς Ἕλλησιν ἦν, συνιδὼν ἀπό τινος ὄρους ἔφοδον ὄντα τὸν λόφον, ἐφ᾽ οὗ τὴν φυλακὴν εἶχον οἱ βάρβαροι. παραλαβὼν Ἕλληνας ὅσους ὑπελάμβανεν ἱκανοὺς εἶναι, τὴν πορείαν ἐπὶ τοῦτο ἐποιεῖτο, κατὰ κεφαλῆς αὐτῶν βουλόμενος γενέσθαι· οἱ μὲν βάρβαροι τοὺς πολεμίους ὑπεράνω γιγνομένους ἰδόντες ἔφυγον, Ξενοφῶν δὲ ἀσφαλῶς διῆγε τοὺς Ἕλληνας.

δ´ Ξενοφῶν ποταμὸν πειρώμενος διαβαίνειν, ὑπὸ τῶν βαρβάρων ἀντικαθημένων κωλυόμενος, τῶν Ἑλλήνων χιλίους ἐπιλέξας ἔπεμψε καθ᾽ ἑτέραν διάβασιν· αὐτὸς δὲ κατὰ στό-

rum relinquerent, ne Græci pro his pugnantes mortem oppeterent, et progredi ulterius prohiberentur.

2 Xenophon inſtantibus in itinere barbaris, ancipiti acie inſtructa, omnique neceſſario commeatu inter eam concluſo proficiſcebatur: collocatis in extremo agmine equitibus, jaculatoribus et ſcutatis, qui barbarorum impetum propulſarent.

3 Xenophon, cum barbari locum anguſtum intercepiſſent, qua tranſire Græcos neceſſe erat, conſpicatus a quodam monte acceſſum in collem, in quo barbari præſidium impoſitum habebant, aſſumtis Græcis, quot ad eam rem ſufficere exiſtimavit, iter ad illum direxit, ut in ſummum cacumen ſupra ipſos evaderet. Barbari ſupra ſe hoſtes conſpicati, fugam ceperunt. Xenophon autem Græcos ſine periculo traduxit.

4 Xenophon tranſire fluvium conatus, cum a Barbaris in adverſa ripa ſedentibus prohiberetur, mille Græcos delegit, eosque miſit, ut alio loco trajicerent. Ipſe vero ex adverſo per vim

στόμα· προάγων, διαβαίνειν ἐβιάζετο. τῶν πεμφθέντων διαβάντων ἐπὶ τοὺς ἀντικαθισαμένους, καὶ γενομένων ὑπὲρ κεφαλῆς πολλάς τε πληγὰς ἐμβαλλόντων αὐτοῖς, οἱ μετὰ τοῦ Ξενοφῶντος ἀκινδύνως διέβησαν.

Τέλος τοῦ ά βιβλίου τῶν Πολυαίνου Στρατηγημάτων.

vim tranſire nitebatur. Cum hi, qui miſſi fuerant, transmiſiſſent contra repugnantes hoſtes, et ſupra caput evaſiſſent, multisque eos plagis afficerent: Xenophon cum ſuis absque periculo tranſivit.

Ταδ

Τάδε ἔνεστιν ἐν τῷ δευτέρῳ βιβλίῳ τῶν

ΠΟΛΥΑΙΝΟΥ

ΣΤΡΑΤΗΓΗΜΑΤΩΝ.

HAEC INSUNT IN SECUNDO LIBRO

POLYAENI

STRATEGEMATUM.

Ἀγησίλαος, στρατηγήματα	λβ	Ageſilaus Strateg.	32
Κλέαρχος	ι	Clearchus	10
Ἐπαμινώνδας	ιε	Epaminondas	15
Πελοπίδας	γ	Pelopidas	3
Γοργίας	β	Gorgias	2
Δερκυλλίδας	α	Dercyllidas	1
Ἀλκέτας	α	Alcetas	1
Ἀρξιλαΐδας	α	Arxilaidas	1
Ἰσάδας	α	Iſadas	1
Κλεανδρίδας	ε	Cleandridas	5
Φαρακίδας	α	Pharacidas	1
Δηϊφόντης	α	Deiphontes	1
Εὐρυτίων	α	Eurytion	1
Ἔφοροι	β	Ephori	2
Ἱππόδαμος	α	Hippodamas	1
Γάστρων	α	Gaſtron	1

Μεγακλείδας	α	Megaclidas	1
Ἁρμοστής	α	Harmoſtes	1
Θίβρων	α	Tibron	1
Δημάρατος	α	Dèmaratus	1
Ἡριππίδας	α	Erippidas	1
Ἰσχόλαος	δ	Iſcholaus	4
Μνασιππίδας	α	Mnaſippidas	1
Ἀνταλκίδας	α	Antalcidas	1
Ἀγησίπολις	α	Ageſipolis	1
Σθένιππος	α	Sthenippus	1
Καλλικρατίδας Κυρηναῖος	β	Callicratidas Cyren.	2
Μάγας	β	Magas	2
Κλεώνυμος	β	Cleonymus	2
Κλέαρχος τύραννος	γ	Clearchus tyrannus	3
Ἀριστομένης	δ	Ariſtomenes	4
Κινέας	α	Cineas	1
Ἡγητορίδης	α	Hegetorides	1
Δεινίας	α	Dinias	1
Νίκων	α	Nicon	1
Διοίτας	α	Diœtas	1
Τησαμενός	α	Teſamenus	1
Ὀνόμαρχος	β	Onomarchus	2

Τέλος τοῦ Πίνακος.

ΠΟΛΥ-

ΠΟΛΥΑΙΝΟΥ
ΣΤΡΑΤΗΓΗΜΑΤΩΝ.
βιβλίον δεύτερον.

ΠΡΟΟΙΜΙΟΝ.

Καὶ τόδε ὑμῖν δεύτερον βιβλίον, ἱερώτατοι βασιλεῖς Ἀντωνῖνε καὶ Οὐῆρε, προσφέρω τῶν Στρατηγημάτων. καὶ αὐτοῖς δήπου συνιέναι δυναμένοις ἀφ᾽ ὅσης ἱστορίας, καὶ ὅσῳ πόνῳ τάδε συλλεξάμενος, ὠφέλειαν σύντομον ὑμῖν δίδωμι· καὶ ταῦτα, σχολὴν οὐκ ἄγων, ἀλλὰ καὶ δίκας ἐφ᾽ ὑμῶν λέγων.

ΚΕΦ. Α.
ΑΓΗΣΙΛΑΟΣ.

Ἀγησίλαος Ἀκαρνᾶσιν ἐπολέμει, καὶ προσῄει· ὅτε τὴν γῆν σπείρειν ἐχρῆν, οἱ Λάκωνες ἐβουλεύοντο τοὺς πολεμίους εἴργειν· Ἀγησίλαος ὑπέστρεψεν, ὡς μᾶλλον εἰρήνης ἐπι-

POLYAENI
STRATEGEMATUM
LIBER SECUNDUS.

PROOEMIUM.

ETIAM hunc ſecundum Strategematum librum, ſanctiſſimi imperatores Antonine et Vere, vobis offero: qui etiam ipſi facile poteſtis conjicere, ex quot hiſtoriis et quanto cum labore his collectis, utilitatem brevem et compendioſam vobis præſtiterim: idque non in otio, ſed etiam cauſſas apud vos dicens.

CAP. I.
AGESILAUS.

Ageſilaus cum Acarnanibus bellum gerebat, et eo tempore exercitum admoverat: cum tempus ſerendi eſſet, Lacones ſtatuerunt hoſtes impedire. Ageſilaus reverſus

ἐπιθυμήσοντας εἰ καρποὺς ἔχοιεν ὑπὲρ ὧν φοβήσοιντο· εἰ δὲ εἰρήνης μὴ γλίχοιντο, ἡμῖν ἄρα, ἔφη, εἶεν ἂν ἐσπαρκότες.

β' Λακεδαιμόνιοι Θηβαίοις καὶ Ἀθηναίοις ὁμοῦ παρετάσσοντο. τὸ μὲν δὴ κοῦφον καὶ πελταστικὸν τοῖς Λάκωσιν ἀχρεῖον ἦν· τὴν δὲ φάλαγγα ὅλην ἐπάγειν ἔδοξεν Ἀγησιλάῳ. Χαβρίας Ἀθηναίοις, Γοργίδας Θηβαίοις παραγγέλλουσι μὴ προδραμεῖν, ἀλλὰ μένειν ἡσυχῇ, τὰ μὲν δόρατα ὀρθὰ προτειναμένους· τὰς δ' ἀσπίδας ἐς γόνυ προσερεισαμένους. Ἀγησίλαος καταπλαγεὶς τὸ στάσιμον σχῆμα τῆς μάχης, ἀνεχώρησε, στρατηγικὸν ἡγούμενος, πολεμίων ῥώμην φυλάξασθαι.

γ' Ἀγησίλαος περὶ Κορώνειαν ὅσον οὔπω παρετάσσετο· ἧκέ τις ἀγγέλλων· τέθνηκε Πείσανδρος ὁ ναύαρχος Λακεδαιμονίων ἡττηθεὶς ὑπὸ Φαρναβάζου. ὅπως οὖν ἀθυμία καὶ φόβος μηδαμῶς ἐμπέσοι τῷ στρατεύματι, Ἀγησίλαος προστάσσει τοῖς ἀγγέλοις, τἀναντία πρὸς τοὺς στρατιώτας ἀγγέλλειν· Λακεδαιμόνιοι νικῶσιν ἐν τῇ θαλάττῃ. ἀλλὰ μὴν καὶ αὐτὸς προῆλθεν ἐστεφανωμένος, ἔθυσεν εὐαγγέλια, διέπεμψε τοῖς φίλοις μερίδας ἀπὸ τῶν ἱερείων. οἱ στρατιῶ-

ſus eſt, quoniam tum magis pacem eſſent expetituri, cum fruges haberent, quibus metuerent. Quod ſi pacem non cupient, nobis, inquit, ſeminaverint.

2 Lacedæmonii contra Thebanos et Athenienſes ſimul pugnabant. Levis quidem armaturæ milites et ſcutati, Lacedæmoniis non erant uſui. Sed totam phalangem adducere viſum eſt Ageſilao. Chabrias Athenienſibus, Gorgidas Thebanis mandat, ne procurrant, ſed maneant quieti, et lanceas rectas protendant. Scuta vero ad genua inclinent. Ageſilaus pertimeſcens ſtabilem pugnæ formam receſſit: prudentis ducis eſſe exiſtimans, hoſtium vires ac robur cavere.

3 Ageſilaus ad Coroneam tantum non ad pugnam inſtruebatur. venit quidam nuntians: Piſander Lacedæmoniorum nauarchus occubuit, ſuperatus a Pharnabazo. Ne igitur dolor et metus inceſſeret exercitum, Ageſilaus præcepit nuntiis, ut contraria militibus nuntiarent: Lacedæmonii mari vicerunt. Sed et ipſe proceſſit coronatus, et ob lætum nuntium ſacrificavit, miſitque amicis portiones de victimis. Milites his auditis

τιῶται ταῦτα ἀκούσαντες, καὶ ὁρῶντες, πλέον θαῤῥήσαντες, μετὰ μείζονος προθυμίας ἐν τῇ Κορωνείᾳ παρετάξαντο.

δʹ Ἀγησίλαος ἐν Κορωνείᾳ Ἀθηναίους ἐνίκησεν· ἤγγειλέ τις, οἱ πολέμιοι συμφεύγουσιν εἰς τὸν νεὼν τῆς Ἀθηνᾶς· ὁ δὲ προσέταξεν, ἐᾶν αὐτοὺς οἷ καὶ βούλοιντο ἀπιέναι· ὡς ἄρα εἴη σφαλερὸν συμπλέκεσθαι τοῖς ἐξ ἀπονοίας ἀναμαχομένοις.

εʹ Ἀγησίλαος ἐπὶ τῆς Ἀσίας τοὺς στρατιώτας ἔπεισε καταφρονεῖν τῶν βαρβάρων, οὓς τέως ἐδεδοίκεσαν, αἰχμαλώτους Πέρσας ἀποδύσας, καὶ τοῖς Ἕλλησιν ἐπιδείξας, τὰ μὲν σώματα αὐτῶν ἀσθενῆ, καὶ λευκὰ διὰ τὴν τρυφὴν, τὸν δὲ κόσμον καὶ τὴν ἐσθῆτα πολυτελῆ, κἀκεῖνο Λακωνικῶς εἶπε, πρὸς οὓς μὲν τὸν ἀγῶνα ἔχομεν, εἰσὶν οὗτοι, ὑπὲρ ὧν δὲ, ταῦτα.

ϛʹ Ἀγησίλαος τοῖς φεύγουσιν τῶν πολεμίων δίοδον διδόναι παρήγγειλεν.

ζʹ Οἱ σύμμαχοι Λακεδαιμονίους ᾐτιῶντο, αὐτοὶ μὲν στρατευόμεθα πολλοὶ, Λάκωνες δ' ὀλίγοι· Ἀγησίλαος ἐν πεδίῳ προσέταξεν ἰδίᾳ μὲν καθίσαι τοὺς Λάκωνας, ἰδίᾳ δὲ

ditis et viſis plus audaciæ colligentes, majori alacritate ac lætitia ad Coroneam prælium faciebant.

4 Ageſilaus Athenienſibus ad Coroneam ſuperatis, nuntiante quodam, hoſtes in templum confugiſſe Minervæ: juſſit eos abire quocunque vellent, quod eſſet periculoſum cum illis manum conſerere, qui ex deſperatione pugnam redintegrarent.

5 Ageſilaus in Aſia militibus perſuaſit, ut contemnerent barbaros, quos hucusque timuiſſent, captivos Perſas exuens, et Græcis oſtendens illorum corpora imbecilla et luxu albentia, ornatum vero et veſtes pretioſas, illud Laconice dixit: Cum quibus nobis bellum eſt, hi ſunt: pro quibus vero, hæc.

6 Ageſilaus fugientibus hoſtibus viam patefacere monebat.

7 Sociis Lacedæmonios accuſantibus, Nos magno numero pugnamus, Lacones exiguo: Ageſilaus mandavit, ut in planitie ſeorſim conſiderent Lacones, et ſeorſim

δὲ τοὺς συμμάχους· [1] οἱ μὲν δὴ κριθέντες ἐκάθηντο. κήρυξ δὲ ἠγόρευεν· ἀναστάντων οἱ κεραμεῖς· ἀνέστησαν ἀπὸ τῶν συμμάχων οὐκ ὀλίγοι. δεύτεροι οἱ χαλκεῖς· ἀνέστησαν πολλοί. τρίτοι οἱ τέκτονες· ἀνέστησαν πλείονες· καὶ τοὺς ἄλλους βαναύσους, καὶ τεχνίτας ἐφεξῆς κατέλεξεν. ὡς τε ὀλίγου δεῖν πάντες ἀνέστησαν οἱ σύμμαχοι· Λακεδαιμονίων δὲ οὐδείς· ἀπείρητο γὰρ αὐτοῖς τέχνην βάναυσον ἐργάζεσθαι. οὕτως ἄρα ἐδιδάχθησαν οἱ σύμμαχοι, πλείονας αὐτῶν εἶναι στρατιώτας τοὺς Λάκωνας.

η′ Ἀγησίλαος εἰς Ἀσίαν ὅτε διέβη, καὶ τὴν βασιλέως ἐλυμαίνετο, Τισαφέρνης ἀνοχὰς συνέθετο. αἱ δὲ ἀνοχαί, [2] τρεῖς μῆνες, ἐφ᾽ ᾧ τε βασιλέα πεῖσαι, ὅσαι πόλεις Ἑλληνίδες ἐν Ἀσίᾳ, [3] καὶ δὴ αὐτονόμους ἀφεῖναι· οἱ μὲν Ἕλληνες ἀνέμενον τὴν προθεσμίαν· ὁ δὲ Πέρσης πολλὴν χεῖρα συλλέξας, ἐπέθετο τοῖς Ἕλλησιν. [4] ὀρρωδία καὶ φόβος· · Ἀγησίλαος δὲ φαιδρὸς τὴν ὄψιν, μάλα δὴ γανύμενος ἐστρατήγησε, λέγων; χάριν οἶδα Τισαφέρνῃ τῆς ἐπιορκίας· ἑαυτῷ μὲν γὰρ πολεμίους τοὺς θεοὺς ἐποίησεν· ἡμῖν

1 *Vulg.* οἱ μὲν διακριθέντες. 2 MſT. τρεῖς μῆνας Codd. *Caſ.* εἰς τρεῖς μῆνας. 3 Voces καὶ δὴ a Vulgata abſunt. 4 Supple, ἐγένετο. *Caſ.*

ſim in alio loco ſocii. Illis ſic ſeorſum ſedentibus, præco clamavit, Surgant figuli. ſurrexerunt a ſociorum parte non pauci. Secundo fabri ferrarii, ſurrexerunt multi. Tertio fabri lignarii, ſurrexerunt plures. et alios opifices, et artifices ordine vocavit, ita ut propemodum omnes ſocii conſurgerent, Lacedæmoniorum nemo. Prohibitum enim erat eis, illiberalem artem exercere. Sic didicerunt ſocii, plures eſſe Laconum milites quam ſuorum.

8 Cum Ageſilaus in Aſiam tranſiret, et regis ditionem vaſtaret, Tiſſaphernes inducias fecit. Induciæ vero in tres menſes erant conſtitutæ, quo regi perſuaderet, ut, quotquot eſſent Græcæ civitates in Aſia, liberas dimitteret. Græci præfinitum diem expectabant. At Perſa magna manu collecta, Græcos aggrediebatur. Oritur ſtupor et metus. Ageſilaus vero læto vultu, gaudioque elatus império præfuit atque inquit: Gratiam habeo Tiſſapherni pro perjurio. Sibi enim Deos hoſtes reddidit, nobis vero ſocios. Eamus igitur

ὑμῶν δὲ συμμάχους. ἴωμεν δὴ θαῤῥοῦντες ὡς μαχούμενοι μετὰ τηλικούτων συμμάχων· ἀντεθάῤῥησαν οἱ Ἕλληνες τῷ λόγῳ τοῦ στρατηγοῦ, καὶ συμβαλόντες τοὺς βαρβάρους ἐνίκησαν.

θ΄ Ἀγησίλαος ἐπὶ τὰς Σάρδεις ἐλαύνων καθῆκε λογοποιοὺς, ὡς ἐξαπατῶν Τισαφέρνην· στέλλεται μὲν γὰρ φανερῶς ἐπὶ Λυδίας, τρέπεται δὲ ἀφανῶς ἐπὶ Καρίας. ἠγγέλθη ταῦτα Τισαφέρνῃ· ὁ μὲν Πέρσης ὥρμησε Καρίαν φυλάττειν. ὁ δὲ Λάκων κατέδραμε Λυδίαν, καὶ λείαν πολλὴν κατέσυρεν.

ι΄ Ἀγησίλαος ἐς τὴν Ἀκαρνάνων εἰσέβαλε· τῶν δὲ ἀναφυγόντων εἰς τὰ ὄρη, οὐκ ὀξεῖαν τὴν ἐπιδρομὴν ἐποιήσατο· ἀλλ᾽ ἐς τὰ πλάγια τῆς χώρας διαπέμπων ἐκέλευσεν ἐκ ῥιζῶν ἀνασπᾷν τὰ δένδρα· οἱ δὲ Ἀκαρνᾶνες καταφρονήσαντες αὐτοῦ τῆς βραδυτῆτος, καὶ τῆς περὶ τὰ δένδρα ἀσχολίας, ἐκ τῶν ὀρῶν κατέβησαν ἐς τὰς πόλεις, τὰς ἐν τοῖς πεδίοις. ὁ δὲ ρ ξ΄ στάδια ὀλίγῳ μέρει τῆς νυκτὸς διαδραμὼν, ἀρχομένης ἕω, καταλαβὼν ἐν τῷ πεδίῳ τοὺς Ἀκαρνᾶνας, πολὺ πλῆθος ἀνθρώπων καὶ βοσκημάτων, καὶ τῶν ἄλλων κτημάτων λαφυραγωγήσας, ἀνέζευξεν.

ια΄ Ἀγη-

igitur confidentibus animis, quoniam tam potentibus ſociis nobiscum facientibus ſumus pugnaturi. Receperunt animos Græci oratione ducis, et collatis ſignis barbaros vicerunt.

9 Ageſilaus Sardes adventans miſit, qui rumorem ſpargerent, eum ad decipiendum Tiſſaphernem aperte quidem et manifeſtò ad Lydiam contendere, clam vero et occulte ad Cariam verti. Nuntiata ſunt hæc Tiſſapherni. Perſa operam dedit, ut Cariæ præſidium imponeret. Lacon vero Lydiam incurſionibus infeſtavit, et copioſam prædam fecit.

10 Ageſilaus in Acarnanum regionem impreſſionem fecit. Illis vero in montes refugientibus, non repentinam incurſionem fecit, ſed ad obliquas regionis oras tranſmittens, juſſit radicitus arbores evellere. Acarnanes contemta ejus tarditate, et circa arbores occupatione, deſcenderunt ex montibus in urbes, quæ ſitæ erant in planitie. At ille noctu centum ſexaginta ſtadiis raptim percurſis, ſummo mane, deprehendens in planitie Acarnanes, magnam hominum et pecorum, aliarumque rerum multitudinem prædatus diſceſſit.

11 Age-

ια΄ Ἀγησίλαος πυθόμενος Θηβαίους τὴν κατὰ Σκῶλον φυλάττειν πάροδον, πάσας τὰς ἀπὸ τῶν Ἑλλήνων πρεσβείας ἐν Θεσπιαῖς ἀναμένειν συνέταξεν. ἀλλὰ μὴν καὶ τὰ σιτία τῆς στρατιᾶς συγκομίζειν ἐκεῖσε. Θηβαῖοι ταῦτα πυθόμενοι, μετῆλθον ἐπὶ τὴν κατὰ Θεσπιὰς πάροδον, καὶ ταύτῃ παρεφύλαττον. Ἀγησίλαος δυοῖν ἡμερῶν ὁδὸν ἀνύσας ἡμέραις δύο, τὴν κατὰ Σκῶλον πάροδον ἐρήμην εὑρὼν, ἄνευ μάχης διῆλθεν.

ιβ΄ Ἀγησίλαος ἐπόρθει τὴν Θηβαΐδα. οἱ δὲ κατέλαβον τὸν λόφον ὑπὲρ τῆς ὁδοῦ δύσβατον, [5] καλέσας Ῥέας ἕδος, ὥς τε ἦν καὶ τὸ παρατάσσεσθαι δύσμαχον, καὶ τὸ προσχωρεῖν ἀδύνατον· προσποιεῖται δὴ λοξώσας τὴν στρατιὰν, ἄγειν ἐπὶ τὸ ἄστυ τῶν Θηβῶν· καὶ γὰρ ἦν ἔρημον ἐξεστρατευκότων ἁπάντων· Θηβαῖοι περὶ τῇ πόλει δείσαντες, τὸν λόφον καταλιπόντες, ἠπείγοντο ἐς τὸ ἄστυ. Ἀγησίλαος τὸν λόφον ἀκωλύτως διῆλθεν.

ιγ΄ Ἐν Λεύκτροις Λακεδαιμονίων πολλῶν ῥιψάντων τὰ ὅπλα, καὶ λιπόντων τὴν τάξιν, ἵνα μὴ πολὺ πλῆθος ἄτιμον γίνοιτο, ἠξίωσεν ἀποδειχθῆναι νομοθέτης, ἐπειδὴ ἀπεδείχθη

5 καλούμενον conject. *Caſ.*

11 Ageſilaus cum audiviſſet Thebanos ad Scolum tranſitum obſidere, omnes legationes a Græcis miſſas Theſpiis remanere juſſit. Quinetiam commeatum exercitus eodem comportare. Thebani his auditis, traduxerunt copias ad tranſitum contra Theſpias, atque ibi viam obſederunt. Ageſilaus duorum dierum itinere per biduum confecto, tranſitum ad Scolum inanem ac vacuum inveniens, ſine pugna tranſgreſſus eſt.

12 Ageſilaus Thebaidem vaſtabat. Illi collem ſupra viam inacceſſum occupaverunt, qui dicitur Rheæ ſedes: ſic, ut et pugnare ſine ſummo damno nequiret, et tamen ulterius procedere non poſſet. Quare deflectens agmen, ſimulabat ſe ad Thebanorum urbem ducturum. Etenim erat inanis, quoniam omnes excurrerant. Thebani civitati metuentes, collemque deſerentes, ad urbem citato curſu ferebantur. Sic Ageſilaus nullo impediente, collem tranſiit.

13 In Leuctris multis Lacedæmoniis abjicientibus arma, et aciem deſerentibus, ne magna multitudo infamia notaretur, effecit, ut legislator deſignaretur. De-

δείχθη, οὐ καινοὺς νόμους ἔγραψεν· [6] ἀλλὰ τοὺς παλαιοὺς ἰσχύειν μετὰ τὴν ἐν Λεύκτροις μάχην.

ιδʹ Ἀγησίλαος ἐν τῇ Σπάρτῃ στάσεως γενομένης ὥς τε τῶν ὁπλιτῶν οἱ πολλοὶ κατελάβοντο λόφον ἱερὸν Ἀρτέμιδος [7] Ἰσσωρίας ἐγγὺς Πιτάνης· ἐνέκειντο δὲ Βοιωτοὶ καὶ Ἀρκάδες ἐμβεβληκότες· καὶ δέος ἦν ἀμήχανον [8] ἐν τῷ πολέμῳ καὶ στάσις· οὐ μὴν αὐτὸς ἔδεισεν· ἀλλὰ τὸ μὲν ὅπλοις βιάζεσθαι τοὺς ἐπὶ τοῦ λόφου σφαλερὸν, τὸ δὲ ἱκετεύειν [9] ταπεινὸν παρῆκεν. αὐτὸς δὲ μόνος ἄοπλος ἀτρέπτῳ καὶ [10] πολλῷ τῷ προσώπῳ πρὸς τὸν λόφον ἐλθὼν, οὐκ ἐνταῦθα, ἔφη, ὦ νεανίαι ὑμᾶς ἔταξα· ἀλλ' ὑμεῖς μὲν ἐς τόνδε τὸν λόφον, ἕτερον δείξας, ὑμεῖς δὲ ἐς τόδε τὸ χωρίον ἄπιτε, καὶ φρουρεῖτε· οἱ δὲ Λάκωνες, ὡς ἀγνοοῦντος τὴν διάνοιαν αὐτῶν τῆς ἀποστάσεως κατηδέσθησαν· [11] καὶ οἷς προσέταξεν εὐπειθῶς [12] ἀνεχώρησαν· νύκτωρ δὲ τοὺς ἐξάρχους τῆς στάσεως ἄνδρας δώδεκα ἄλλον ἄλλῃ ὑπεξάγων ἔπαυσε τὴν στάσιν.

ιεʹ Ἀγη-

6 Supple ἔγραψε vel deeſt ἐκέλευσε *Caſ.* 7 *Vulg.* Ὀρθείας. Mſſ. Ἐσωρίας. 8 ἐν τῷ τε πολέμῳ καὶ στάσει. Codd. *Caſ.* 9 ταπεινὸν ὄν. *Vulg.* 10 φαιδρῷ Codd. *Caſ.* 11 Legendum cenſet οἷ *Caſ.* 12 συνεχώρησαν. Codd. *Caſ.*

Deſignatus, non ſcripſit novas leges, ſed veteres poſt Leuctricam pugnam valere juſſit.

14 Ageſilaus orta ſeditione Spartæ, cum multi armati occuparent collem ſacrum Dianæ Eſoriæ prope Pitanam, inſtarent autem Bœotii et Arcades impreſſione facta, atque metus eſſet expers omnis conſilii in bello atque tumultu, ſolus ipſe non metuit: ſed cum armis vim adhibere iis qui collem obſidebant periculoſum, rogare et ſupplicare humile eſſet, omiſit. Ipſe vero ſolus inermis conſtanti et imperturbato vultu accedens ad collem, Non hic, inquit, juvenes vos poſui, ſed vos in illum collem, alium oſtendens. Vos autem in iſtum locum diſcedite, et eum cuſtodite. Lacones vero quaſi ignarum ſui conſilii deficiendi, reveriti ſunt, et quo præcepit, obedienter parentes diſceſſerunt. Noctu vero principes et auctores factionis numero duodecim, alium alio ſubducens, tumultum ſedavit.

15 Age-

ιε΄ Ἀγησίλαος πολλῶν αὐτομολούντων, καὶ τῆς στρατιᾶς περιδεῶς ἐχούσης, ἵνα λανθάνοιεν τοὺς μένοντας οἱ ἀποδιδράσκοντες, περιπέμπων ἐν ταῖς νυξὶν, ἀνὰ τὰς στιβάδας, καὶ τὰ συσσίτια, τὰς ἐρριμμένας ἀσπίδας, ἐκέλευε συλλέγειν, καὶ ὡς αὐτὸν κομίζειν· ἵνα μὴ κειμένης ἀσπίδος ὁ δεσπότης ζητοῖτο. οὐ τοίνυν οἱ αὐτομολοῦντες ἔτι ἐγινώσκοντο, τῶν ὅπλων οὐ φαινομένων.

ιϛ΄ Ἀγησίλαος ἐπολιόρκει Φωκέας χρόνῳ μακρῷ· καὶ οὔτε τὴν πόλιν ἑλεῖν ἴσχυε, καὶ τοῦ χρόνου τὴν τριβὴν οὐκ ἔφερε, πολλῷ γε μὴν μᾶλλον ἐταλαιπώρουν οἱ τῶν Φωκέων σύμμαχοι· ὁ δὲ διαλύσας τὴν πολιορκίαν ἀνεχώρησεν· ἀσμένοι δὴ καὶ οἱ τῶν Φωκέων σύμμαχοι, τῶν πολεμίων ἀπελθόντων ἀπηλλάγησαν. τότε Ἀγησίλαος ἐπιστρέφει, καὶ συμμάχων ἔρημον τὸ Φωκέων ἄστυ κατελάβετο

ιζ΄ Ἀγησίλαος, Μακεδονίαν διοδεύων ἔπεμπε πρὸς Ἀέροπον βασιλέα Μακεδόνων, ἐπὶ τῇ διόδῳ σπενδόμενος. Ἀέροπος οὐκ ἐσπείσατο, αὐτὸς φήσας ἀπαντήσειν, τὸ ἱππικὸν ἔταττε, πυθόμενος ὀλίγους ἱππέας εἶναι τῷ Λάκωνι· ὁ δὲ, ἵνα δόξειε τῶν ὄντων πλείονας ἱππέας ἔχειν, τὰ μὲν πεζὰ τέλη προέταξεν· ὄπισθεν δὲ τοὺς ἱππέας ὅσους εἶχεν

ἐς

15 Ageſilaus multis transfugientibus, et exercitu in maximo metu hærente, ut manentes lateret transeuntium fuga. mittens ſingulis noctibus per ſtrata et contubernia projecta ſcuta juſſit colligere, et ad ſe deferre : ne ſi ſcutum jaceret, ejus dominus requireretur. Non igitur amplius liquebat, qui transfugiſſent, cum arma non apparerent.

16 Ageſilaus oppugnabat Phocenſes longo tempore, et neque urbem capere valebat, neque temporis moram perferre poterat. Multo vero magis cruciabantur Phocenſium ſocii. Ille ſoluta obſidione diſceſſit, et Phocenſium ſocii ſublato bello lubentes abierunt. Tum Ageſilaus ſe convertit, atque vacuum ſociis oppidum Phocenſium capit.

17 Ageſilaus per Macedoniam iter faciens, miſit ad Aëropum Macedonum regem legatos, ut tranſitum paciſceretur. Aëropus conditiones non accepit, quare ſe obviam iturum ait, cum audiſſet paucos equites eſſe Laconi, ſuum equitatum inſtruxit. Hic vero ut plures, quam revera eſſent, equites habere videretur, copias pedeſtres in prima acie collocavit, in poſterio-

ri

ἐς διφαλαγγίαν ἐπιστήσας [13] ἀνέμεινεν ὄνους, καὶ ἡμιόνους, καὶ τῶν ἵππων ὅσοι διὰ γῆρας ἀχθοφοροῦντες εἵποντο. τούτων ἐποχούμενοι ἄνδρες ὅπλισιν ἱππικὴν ἔχοντες, φαντασίαν παρέσχον ἱππικοῦ πολλοῦ. Ἀέροπος καταπλαγεὶς τὴν δίοδον ἐσπείσατο.

ιη' Ἀγησίλαος ἐν Βοιωτίᾳ ἐστρατοπέδευε. τῶν συμμάχων συνάψαι μάχην δεδιότων, λάθρα δὲ ἐς Ὀρχομενὸν φίλην πόλιν ὑποῤῥεόντων, [14] ἐμφανῶς πέμψας πρὸς Ὀρχομενίους, ἐκέλευσε μηδένα χωρὶς αὐτοῦ σύμμαχον δέχεσθαι· οὐ τοίνυν ἔχοντες ποῖ τρέποιντο οἱ σύμμαχοι, οὐκ ἔτι περὶ φυγῆς, ἀλλὰ περὶ νίκης ἐβουλεύοντο.

ιθ' Ἀγησίλαος Θηβαίοις παρετάσσετο· οἱ δὲ τὴν Λακωνικὴν φάλαγγα ῥῆξαι βουλόμενοι, καὶ διεξελθεῖν, καρτερῶς ἠγωνίζοντο. καὶ φόνος ἀμφοτέρων πολύς. Ἀγησίλαος παρήγγειλε· παυσάμενοι τῆς θυμομαχίας διαστῶμεν· οἱ μὲν διέστησαν. Θηβαῖοι δὲ διαδραμόντες ἔφυγον. Ἀγη-

13 Interpres legiſſe videtur ἀνένειμεν, quod melius eſt.
14 Mſſ. et Interpres ἀφανῶς. Vulgatum tamen *Caſaub.* præfert.

ri equites quotquot habebat in duplicem phalangem diſtribuens: addiditque aſinos, mulos, et ex equis quotquot propter ſenectutem onera ferentes ſequerentur. His inſidentes viri equeſtribus armis præditi, conſpectum præbuerunt magni equitatus. Aeropus igitur perterritus tranſitum conceſſit.

18 Ageſilaus in Bœotia caſtra metabatur. Sociis pugnam conſerere metuentibus, et clam Orchomenum in ſociam atque amicam civitatem ſe ſubducentibus, occulte miſſis ad Orchomenios legatis juſſit, ut neminem ſociorum ſe inſcio reciperent. Cum igitur non haberent quo ſe verterent, non amplius de fuga, ſed de victoria conſilium ceperunt.

19 Ageſilaus cum Thebanis prælium faciebat. Qui, ut Laconicam phalangem disjicerent et perrumperent, fortiter pugnabant, et utrimque magna ſtrages edebatur. Ageſilaus præcepit ſuis: Deſinentes a furioſa pugna, in diverſas partes disjungamur. Quibus diſcedentibus, Thebani perrumpentes fugam capeſſebant.

Age-

Ἀγησίλαος κατὰ τὴν οὐραγίαν αὐτοῖς ἐπέκειτο· καὶ οὐκ ἔτι φόνος ἦν ἀμφοτέρων, ἀλλὰ μόνων τῶν φευγόντων.

κ' Ἀγησίλαος παραταξάμενος, ἰδὼν ἐθελοκακοῦντας τοὺς συμμάχους, ἀνεχώρησεν· ἦν δὲ ἡ ἀναχώρησις διὰ στενῶν ὀρῶν, ἐν οἷς προσεδόκα τοὺς Βοιωτοὺς ἐπιχειρήσειν· ἔταξεν οὖν τοὺς μὲν Λακεδαιμονίους προηγεῖσθαι, τοὺς δὲ συμμάχους οὐραγεῖν, ἵνα τῶν πολεμίων κατὰ τὴν οὐραγίαν προσκειμένων ἀνάγκην ἔχοιεν ἀνδρείως ἀγωνίζεσθαι.

κα' Ἀγησίλαος ἐμβαλὼν ἐς Βοιωτίαν, δηοῦν καὶ δενδροτομεῖν τὴν χώραν ἐκέλευσε τοῖς συμμάχοις. τῶν δὲ ὀκνούντων, παρήγγειλε ἀπέχεσθαι δηώσεως· τὰς μέν τοι μεταστάσεις τοῦ στρατοπέδου δὶς καὶ τρὶς τῆς ἡμέρας ἐποιεῖτο· ἀναγκαίως οὖν τὰς καλύβας ἐγείροντες ἔτεμνον τὰ δένδρα διὰ τὴν αὑτῶν χρείαν, οὐ διὰ τὴν τῶν πολεμίων βλάβην· ἴσον δὲ ἦν τοῖς πολεμίοις τὸ βλάπτεσθαι.

κβ' Ἀγησίλαος ἐν Αἰγύπτῳ Νεκτανεβῷ συμμαχῶν ἐπὶ χωρίον κατακλεισθεὶς περιετειχίζετο. τοῦ δὲ Αἰγυπτίου τὸν περιτειχισμὸν οὐ φέροντος, ἀλλὰ διακινδυνεύειν ἀξιοῦντος οὐκ ἐπείσθη, ἀλλ' ἐνέμενεν, ἕως περιεταφρεύθη, καὶ

Ageſilaus in extrèmo agmine ipſis inſtabat, neque amplius cædes edebatur utrimque, ſed tantum fugientium.

20 Ageſilaus inſtructa acie cum videret ſocios dedita opera tergiverſari, diſceſſit. Diſceſſio autem fuit per montes anguſtos, in quibus arbitrabatur Bœotios aggreſſuros eſſe. Conſtituit igitur, ut Lacedæmonii præcederent, ſocii extremum agmen tenerent, ut hoſtibus a tergo aggredientibus, neceſſitas eos cogeret viriliter ac ſtrenue pugnare.

21 Ageſilaus in Bœotiam impreſſione facta, regionem depopulari, et arbores dejicere ſocios juſſit. Quibus per ignaviam eam rem negligenter adminiſtrantibus mandavit, ut abſtinerent a populatione. Verum caſtr ter aut quater quotidie mo vit. Neceſſario igitur a exſtruenda tabernacula i ſuum uſum ligna ſecaban non ut damnum hoſtibu inferrent. Attamen id pa detrimento hoſtes afficieba

22 Ageſilaus in Aegypt Nectanebi ſocius, in caſte lum quoddam incluſus ci cumvallabatur. Ægypti munitionem non ferenti, periculum adire volent non obtemperavit; ſed ma ſit, donec muro circumd tus eſſet, incluſus autem

c

καὶ περιετειχίσθη τὸ πᾶν, πλὴν ὀλίγου τοῦδε, ὃ στόμα καὶ δίοδος ἦν τοῦ τείχους. Ἀγησίλαος ἀνεβόησεν· οὗτος τῆς ἀλκῆς ὁ καιρός· καὶ διὰ τοῦ στόματος ἐξώρμησε, οὐκ ὀλίγους τῶν πολεμίων ἐν τῇ στενότητι φονεύων, καὶ τὸ περιβεβλημένον τεῖχος ἔρυμα ἔχων πρὸς τὸ κυκλωθῆναι μὴ δύνασθαι.

κγʹ Ἀγησίλαος πρὸς τοὺς Βοιωτοὺς παρετάξατο· ἦν ἀμφίῤῥοπος ἡ νίκη. νὺξ γὰρ διέλυσε τὴν μάχην· ὁ δὲ μέσης νυκτὸς τοὺς πιστοτάτους διέπεμψε, κελεύσας οὓς δύναιντο γνωρίσαι Σπαρτιάτας νεκροὺς, ἐπαμησαμένους κόνιν ἀποκρύψαι· οἱ μὲν τοῦτο πράξαντες πρὸ ἡμέρας ἀνεχώρησαν· οἱ πολέμιοι, ἡμέρας γενομένης, τοὺς αὐτῶν νεκροὺς ἰδόντες ἅπαντας κειμένους, τοὺς δὲ τῶν Σπαρτιατῶν ὀλίγους, ἄθυμοι καὶ δειλότεροι ταῖς γνώμαις ἐγένοντο, ὡς Λακεδαιμονίων τὴν νίκην ἐχόντων.

κδʹ Ἀγησίλαος ἀπὸ τῆς Ἀσίας ἐπανιὼν διὰ Βοιωτίας ἐπορεύετο· Θηβαῖοι προκατελάβοντο τὰ στενὰ δι' ὧν ἐχρῆν πορεύεσθαι· ὁ δὲ ἐπιμηκύνας τὴν φάλαγγα, ἦγεν ἐπὶ δύο [15] τάξεις παραγγείλας φανερῶς ὁρμᾷν ἐπὶ τὴν πόλιν·

15 *Cant.* τάξας, quod præfert *Caſ.*

circumcirca excepto admodum exiguo ſpatio, per quod oſtium et tranſitus muri fuit. Ageſilaus exclamavit, Hoc tempus robur ac vires poſtulat: et per oſtium erupit, non paucos hoſtes in anguſtia cædens, et circumdatum murum, quaſi munimentum habens, ut circumdari ab hoſtibus non poſſet.

23 Ageſilaus adverſus Bœotos præliabatur. Erat anceps victoria. Nox enim prælium diremit: ille media nocte fideliſſimos miſit, dato præcepto, ut quos Spartiatas mortuos agnoſcerent, pulvere contegentes occultarent. Qui hoc facto, ante diem redierunt. Hoſtes autem orto die, cum ſuos mortuos omnes proſtratos jacere cernerent, Spartiatarum vero paucos, triſtius et timidius animis affecti ſunt, quaſi Lacedæmoniis victoriam habentibus.

24 Ageſilaus ab Aſia reverſus, per Bœotiam iter faciebat. Thebani præoccupabant anguſtias, per quas proficiſcendum eſſet. At ille in longitudinem porrectum agmen duxit, ut bini iter facerent, præcipiens ut ad urbem iter præ ſe ferrent.

λιν· Θηβαῖοι δείσαντες μὴ καταλάβοιντο τὰς Θήβας ἔξω τῆς δυνάμεως ἔσης· ἀπολιπόντες τὰ στενὰ, διὰ τάχους ἐπανῆλθον ἐς τὴν πόλιν. Ἀγησίλαος δὲ ἀσφαλῶς τὸ στράτευμα διεπόρευσεν.

κε´ Ἀγησίλαος ἐς Θήβας ἐνέβαλεν· Θηβαῖοι τὸ πεδίον διετάφρευσαν, καὶ ἀπεχαράκωσαν· τοῦ χαρακώματος ἑκατέρωθεν δύο πάροδοι στεναί· βουλόμενος Ἀγησίλαος παρελθεῖν, πλινθίον τάξας κοῖλον, προῆγεν ἐπὶ τὴν πάροδον τὴν κατὰ τὸ εὐώνυμον, Θηβαίων ἐνταῦθα πάντων ἀντιταξαμένων. ὁ δὲ μεταβαλλόμενος ἀπ᾽ οὐρᾶς ἐπὶ τὴν ἑτέραν πάροδον τοὺς εἴργοντας οὐκ ἔχουσαν, εἴσω παρελθὼν, τὴν χώραν τεμὼν, ἐπανῆλθεν οὐδενὸς ἀντιστάντος.

κϛ´ Ἀγησίλαος ἐστρατοπεδεύσατο Λαμψάκου πλησίον· ἧκον τινὲς ἐκ τῶν μετάλλων ἐκπεπηδηκότες Ἕλληνες, ἀγγέλλοντες ὡς ἄρα Λαμψακηνοὶ 16 πάντες μεταλλεύουσιν οὓς ἂν λάβωσι· τὸ στράτευμα ἠγανάκτησε· καὶ πρὸς τὸ τεῖχος ὥρμησεν διαρπασόμενον τὴν πόλιν. Ἀγησίλαος κωλῦσαι μὴ δυνάμενος, σῶσαι δὲ τὴν πόλιν βουλόμενος, ὡς ὑπεραγανακτῶν δὴ, ἐκέλευσεν αὐτοὺς δραμόντας ἐκκόψαι τὰς

16 Scribe πάντας. *Caſ.*

rent. Thebani metuentes, ne Thebas exercitu foris exiſtente caperent, relictis anguſtiis ſumma celeritate in urbem redierunt. Ageſilaus vero ſine periculo agmen traduxit.

25 Ageſilaus in Thebanum agrum irruptionem fecit. Thebani campum foſſa circumducebant, et vallum muniebant. Utrimque duo tranſitus anguſti. Volens Ageſilaus tranſire, quadrato agmine, cavoque, proceſſit ad tranſitum ab læva ſitum. Thebanis hic omnibus reſiſtentibus, ille extremo agmine duxit ad alterum tranſitum, ubi nemo erat qui arceret. Ingreſſus, regionemque depopulatus, nemine reſiſtente, iteſum diſceſſit.

26 Ageſilaus prope La[...] pſacum caſtra metaba[...] Veniebant quidam ex [...] tallorum fodinis exilien[...] Græci, qui nuntiabant, La[...] pſacenos omnes quære[...] metallis deſtinare quoscu[...] que caperent. Exercitus [...] dignatus, ad mœnia incu[...] ſionem fecit, civitate[...] repturus. Ageſilaus [...] impedire non poſſet, [...] men urbem ſervatam ve[...] quaſi ſumma ira incita[...] juſſit, ut celeriter prin[...]

vin[...]

τὰς ἀμπέλους πρώτας. εἶναι γὰρ τῶν πρώτων Λαμψακηνῶν· οἱ δὲ πρὸς τὸ ἐκκόπτειν ἐτράποντο· ὁ δὲ καιρὸν ἔσχε πέμψας μηνῦσαι Λαμψακηνοῖς, ὡς χρὴ τὴν πόλιν ἀσφαλῶς φυλάττειν.

λζ' Ἀγησίλαος ἀντικαθημένων Λακεδαιμονίων καὶ Θηβαίων, μέσου ποταμοῦ διείργοντος, ὁρῶν τοὺς Λακεδαιμονίους διαβαίνειν τὸν Εὐρώταν προθυμουμένους, δεδοικὼς πλείονας τοὺς Θηβαίους ὄντας μετὰ τῶν συμμάχων, λογοποιοὺς καθῆκεν. ὡς ἄρα χρησμὸς εἴη, τοὺς προτέρους τὸν ποταμὸν διαβάντας ἡττᾶσθαι. οὕτω μὲν δὴ τοὺς Λακεδαιμονίους ἐπισχὼν, ὀλίγους τῶν συμμάχων ἐγγὺς τοῦ ποταμοῦ καταλιπὼν, καὶ στρατηγὸν ἐπ' αὐτῶν τὸν Θάσιον Σύμμαχον, ἐντειλάμενος Θηβαίων τὸν ποταμὸν διαβάντων αὐτοὺς φεύγειν ὅτι τάχος, ἄλλους τινὰς ἐς ἐνέδραν κατέκρυψεν ἐν τοῖς κοίλοις χωρίοις· 17 αὐτοὺς δὲ τοὺς στρατιώτας ἐς ὀχυρὸν καὶ δασὺ χωρίον ἀγαγὼν ὑπέστησεν· Θηβαῖοι δὲ τοὺς περὶ Σύμμαχον ὀλίγους ὄντας ἰδόντες, θαῤῥοῦντες, διαβάντες, φεύγοντας διώκοντες, ἐς τὴν ἐνέδραν ἐμπεσόντες, ἀνῃρέθησαν ἑξακόσιοι.

κη' Ἀγη-

17 Lege *αὐτὸς δὲ τ. Caſ.*

vineas exſcinderent. Etenim eſſe optimatium Lampſacenorum. Quibus ad exſcindendas vites ſeſe convertentibus, ipſe nactus occaſionem mittendi ad Lampſacenos, indicavit, ut bene urbem cuſtodirent atque defenderent.

27 Ageſilaus ex adverſo caſtra habentibus Lacedæmoniis et Thebanis, medium intercipiente fluvio, cum videret Lacedæmonios Eurotam cupere tranſire, metuens, ne plures Thebani cum ſociis eſſent, emiſit qui rumorem divulgarent, oraculum prodidiſſe, eos qui primi fluvium tranſiiſſent victum iri. Ita retentis Lacedæmoniis, paucos relinquens ſocios prope fluvium, atque ducem ipſorum Thaſium Symmachum, mandavit, ut Thebanis fluvium trajicientibus, ipſi celerrime fugam caperent, et alios quosdam in locis concavis ad ſtruendas inſidias abſcondit. Ipſe vero, cum milites in munitum et aſperum locum duxiſſet, ibi ſubſtitit. Thebani paucitatem eorum, qui cum Symmacho erant animadvertentes, animos ſumſerunt, trajecerunt: et dum fugientes inſequuntur, in inſidias incidunt, et eorum interficiuntur ſexcenti.

28 Age-

κη' Ἀγησίλαος ἐς τὴν Μεσσηνίαν ἐμβαλὼν ἔπεμψε κατάσκοπον· τοῦ δὲ ἀγγείλαντος, ὡς οὐ μόνον οἱ Μεσσήνιοι τῆς πόλεως ἔξω προΐασιν· ἀλλὰ καὶ αἱ γυναῖκες αὐτῶν, καὶ τὰ τέκνα, καὶ τὰ ἐλεύθερα σώματα, ἀνέζευξεν, ὡς ἀπεγνωκότων τοῦ ζῆν, καὶ διὰ τοῦτο ἀνδρειοτέρως μαχησομένων.

κθ' Ἀγησίλαος ἐπειδὴ Λακεδαιμόνιοι κατακλεισθέντες εἴσω τῆς Σπάρτης ὑπὸ Θηβαίων, οὐκ ἔφερον τὸ τειχήρεις μετὰ τῶν γυναικῶν φρουρεῖσθαι, ἀλλ' ἐπεξελθόντες, γενναῖόν τι δρῶντες, ἢ κρατεῖν, ἢ ἀποθνήσκειν ᾑροῦντο· 18 ἀπέστρεψεν αὐτοὺς ἀναμνήσας, ὅτι καὶ ἡμεῖς ποτὲ Ἀθηναίους τειχήρεις ἐποιήσαμεν· οἱ δὲ οὐκ ἠξίωσαν ἐπεξελθόντες αὐτοὺς ἀναλῶσαι πάντας, ἀλλὰ τῆς πόλεως καὶ τῶν τειχῶν φύλακας καταστησάμενοι, αὐτοὺς διεσώσαντο, τῶν πολιορκηθέντων πονηθέντων τῷ χρόνῳ, καὶ αὐτῶν ἑκόντων ἀποστάντων.

λ' Ἀγησίλαος ἐν Ἀσίᾳ λείαν ἦγε πολλήν, τῶν βαρβάρων ἐπικειμένων, καὶ τοξευόντων, καὶ ἀκοντιζόντων. ὁ δὲ ὅσους εἶχε τῶν αἰχμαλώτων βαρβάρους δεδεμένους μόνους προϊ-

18 ἀπέτρεψεν Cant.

28 Ageſilaus in Meſſeniam exercitum ducens, miſit exploratorem. Quo nuntiante, non ſolum ipſos Meſſenios ex urbe prodire, ſed etiam uxores ipſorum et liberos, atque ſervos in libertatem vocatos, diſceſſit, quod eos de vita deſperaſſe videret, atque idcirco fortius pugnaturos.

29 Ageſilaus cum Lacedæmonii incluſi in urbem a Thebanis, non ferrent ſe intra mœnia cum uxoribus teneri, ſed exeuntes, atque generoſi quid facientes, aut vincere aut mori ſtatuerent, dehortatus eſt monens ac dicens: Nos etiam Athenienſes aliquando intra mœnia concluſimus. At illi nolebant ad pugnam exeundo ſe omnes perdere: ſed conſtitutis urbis et mœniorum cuſtodibus, ſalutem ſibi pariebant, defatigatis oppugnatoribus diuturnitate temporis, et ipſis ultro deſiſtentibus.

30 Ageſilaus in Aſia magnam prædam egit. barbaris urgentibus, et ſagittas atque tela mittentibus, ille quotquot habebat captivos barbaros, in vinculis a ceteris

προέταξε τοῦ στρατοπέδου· οἱ προσκείμενοι γνωρίσαντες τοὺς οἰκείους, ἐπαύσαντο ἀφιέντες τὰ βέλη.

λα´ Ἀγησίλαος εἰς Μένδαν ἀττικίζουσαν, λάθρα νυκτὸς παρελθὼν, τὸ καρτερώτατον τῆς πόλεως κατασχὼν, τῶν Μενδαίων ἀγανακτούντων, καὶ σπουδῇ συνελθόντων εἰς ἐκκλησίαν, ἐπιστὰς, τί, ἔφη, θορυβεῖσθε; οἱ γὰρ ἡμίσεις ὑμῶν κοινωνοῦσι τῆς προδοσίας, τῶν ἐμοὶ καταλαβεῖν τὴν πόλιν κατασχόντων. οἱ Μενδαῖοι ἀλλήλους ὑπόπτους ἡγησάμενοι, τῆς ταραχῆς ἐπαύσαντο.

λβ´ Ἀγησίλαος τοὺς ἐνδόξους καὶ πολυφίλους αἰχμαλώτους ἄνευ λύτρων ἀπεδίδου, ποιῶν αὐτοὺς ἀπίστους παρὰ τοῖς πολίταις.

λγ´ Ἀγησίλαος ἐν ταῖς διαπρεσβείαις, ἠξίου τῶν πολεμίων τοὺς μάλιστα δυνατοὺς πέμπεσθαι πρὸς αὐτὸν, οἷς διαλέξηται περὶ τῶν κοινῇ συμφερόντων· τούτοις ἐπὶ πλεῖστον συγγινόμενος, καὶ κοινωνῶν ἑστίας, καὶ [19] σπονδῶν, ταῖς πόλεσιν στάσιν ἐνεποίει διὰ τὰς τῶν πολλῶν ὑποψίας.

ΚΕΦ.

19 Fl. σπουδῶν.

teris ſejunctos ante exercitum collocavit. inſtantes, agnitis ſuis, tela mittere deſierunt.

31 Ageſilaus cum Mendam, quæ Atticorum partibus adhærebat, clam noctu veniſſet, munitiſſima urbis parte occupata, cum Menденſes indignarentur, et in concionem ſummo ſtudio convenirent, aſtans: Quid, inquit, tumultuamini? Dimidia enim pars veſtrum proditionis eſt particeps, qui mihi civitatem occupandam tradiderunt. Medenſes cum ſe mutuo ſuſpectos haberent, a tumultu deſtiterunt.

32 Ageſilaus ſpectatos et multorum amicitiis præditos captivos, ſine pretio ſuis reddere ſolebat, ut ipſis fidem apud ſuos cives derogaret.

33 Ageſilaus in legationibus petebat ab hoſtibus, ut maxime potentes ad ſe mitterent, cum quibus de communi utilitate ſermones conferret. Cum his plurimum habens conſuetudinis, et communicans focum ac libamina, ſeditiones in urbibus excitabat, propter vulgi ſuſpiciones.

ΚΕΦ. Β.

ΚΛΕΑΡΧΟΣ.

Κλέαρχος πολλὴν ϛρατιὰν ἄγων ἦλθεν ἐπὶ ποταμὸν, τῇ μὲν ἐυδιάβατον, ἄχρι κνήμης· τῇ δὲ βαθὺν ἄχρι μαςοῦ· πρῶτον μὲν ἐπειρᾶτο κατὰ τὸ εὐδιάβατον ἄγειν· τῶν δὲ πολεμίων ἀπωτέρω τοῦ ποταμοῦ σφενδονούντων, καὶ τοξευόντων, καὶ τοὺς διαβαίνοντας ἀνειργόντων, ὁ Κλέαρχος τοὺς ὁπλίτας ἤγαγε διὰ τοῦ βαθυτέρου. ἵνα τὸ μὲν πολὺ τοῦ σώματος ὑπὸ τοῦ ποταμοῦ κρύπτοιτο, τὰ δὲ ὑπερέχοντα τοῦ ὕδατος τῇ ἀσπίδι φυλάσσοιτο· οἱ μὲν ὁπλῖται ἀσφαλῶς διαβαίνοντες ἀνέκρουσαν τοὺς πολεμίους· ἡ δὲ λοιπὴ ϛρατιὰ κατὰ τὸ εὔπορον τοῦ ποταμοῦ διῆλθεν ἀκωλύτως:

β′ Κλέαρχος, Κύρου πεσόντος, ἀναχωρῶν μετὰ τῶν Ἑλλήνων, ἐϛρατοπέδευσεν ἐν κώμῃ τροφὴν ἄφθονον ἐχούσῃ. Τισαφέρνης πρέσβεις πέμψας ἠξίου μένειν αὐτόθι τοὺς Ἕλληνας παραδόντας αὐτῷ τὰ ὅπλα· Κλέαρχος ὑπεκρίνετο προσιέσθαι τοὺς λόγους· ὅπως Τισαφέρνης ἐλπίδι σπον-

CAP. II.

CLEARCHUS.

Clearchus magnum exercitum ducens, pervenit ad fluvium, alibi tranſitu facilem usque ad tibias, alibi profundum usque ad mamillas. primo conabatur ibi, ubi facilis tranſitus erat, traducere. At hoſtibus procul a fluvio fundis ſuos petentibus et ſagittas mittentibus, atque tranſitu prohibentibus, Clearchus per eam partem, quæ profundior erat, armatos duxit, ut maxima corporis pars ſub fluvio abſconderetur: quæ vero emineret, ſcuto protegeretur. Armati ſine periculo transgreſſi, hoſtes repulerunt. Reliquus deinde exercitus nemine impediente, faciliori parte fluvii tranſiit.

2 Clearchus mortuo in pugna Cyro, revertens cum Græcis, in vico quodam abunde commeatum habente caſtra ponebat. Tiſſaphernes miſſis legatis poſtulavit, ut Græci traditis armis ibi manerent. Clearchus fingebat ſe orationem admittere, ut Tiſſaphernes fretus

σπονδῶν, εἰς τὰς] κώμας διαπέμψειε τοὺς πολλοὺς τῶν Περσῶν. ὁ μὲν δὴ νομίσας εἶξαι τὸν Κλέαρχον διέλυσε τὴν δύναμιν. ὁ δὲ νύκτωρ τοὺς Ἕλληνας ἐξαγαγὼν, τῇ πορείᾳ προέλαβεν ἡμέραν ὅλην καὶ νύκτα, τοῦ Τισαφέρνου βραδέως τοὺς διαλυθέντας συναγαγόντος.

γʹ Κλέαρχος Κύρῳ μὲν συνεβούλευεν, αὐτὸν μὲν μὴ κινδυνεύειν, ἀλλ' ἐφορᾷν τὴν μάχην· μαχόμενον γὰρ, μηδὲν μέγα συμπρᾶξαι τῷ σώματι· παθόντα δὲ, πάντας ἀπολέσαι τοὺς μετ' αὐτοῦ. τὴν δὲ φάλαγγα τῶν Ἑλλήνων κατ' ἀρχὰς μὲν βάδην ἦγε, τῇ εὐταξίᾳ τοὺς βαρβάρους ἐκπλήττων· ὡς δὲ βέλους ἐντὸς ἤμελλεν εἶναι, δρόμῳ χρῆσθαι παρήγγειλεν· ὅπως μηδὲν ὑπὸ τῶν βελῶν βλάπτοιντο. καὶ δὴ τὸ Ἑλληνικὸν κατὰ τοῦτο τὸ μέρος τοὺς Πέρσας ἐνίκησεν.

δʹ Κλέαρχος μετὰ τὸν Κύρου θάνατον, τῶν Ἑλλήνων κατασχόντων χώραν πολλὴν καὶ ἀγαθήν· ποταμὸς ἐκυκλοῦτο τὴν χώραν ἐλαχίστῳ διειργόμενος ἰσθμῷ [20] μὴ νῆσον εἶναι· κωλύων ἔνδον στρατοπεδεύειν· [21] ὡς οὐκ ἔπειθε, πεπλασμένον αὐτόμολον καθῆκεν ἀπαγγέλλοντα, βασιλεὺς τὸν

20 μὴ νῆσος εἶναι. *Vulg.* 21 ὡς δ' οὐκ ἔπειθε *Cant.*

fretus ſpe fœderis, multitudinem Perſarum undique in vicos dimitteret. Qui ratus Clearchum ſe ſubmittere, dimiſit exercitum. At ille ſub noctem eductis Græcis, itinere totum diem et noctem occupavit: Tiſſapherne ſero eos quos dimiſerat iterum colligente.

3 Clearchus Cyro dedit conſilium, ne ipſe ſe periculo offerret, ſed inſpectorem pugnæ ageret. Pugnantem enim corpore nihil magnum efficere. Si vero quid damni acceperit, omnes eum perditurum eos quos ſecum haberet. Agmen autem Græcorum ab initio quidem tarde duxit, compoſito ordine perterrens barbaros. Cum vero in eo eſſent, ut intra teli jactum venirent, curſu citato in barbaros ferri juſſit, ne a telis læderentur. Et hac ſane re Græci Perſas vicerunt.

4 Clearchus poſt Cyri mortem, Græcis regionem magnam et bonam obtinentibus (fluvius regionem circumdabat, minimo iſthmo prohibitus, ne inſula eſſet) vetans ne intus caſtrametarentur, cum perſuadere non poſſet, fictum transfugam miſit nuntiantem, Rex mu-

re-

τὸν ἰσθμὸν ἀπειλεῖ ἀποτειχίσαι. τοῦτο ἀκούσαντες οἱ Ἕλληνες, καὶ πεισθέντες Κλεάρχῳ, στρατοπεδεύουσιν ἐκτὸς ἰσθμοῦ.

ε′ Κλέαρχος, λείαν ἄγων πολλὴν, 22 ἐπὶ λόφον καταληφθεὶς, περιχαρακευόμενος ὑπὸ τῶν πολεμίων, δεομένων τῶν ἡγεμόνων διακινδυνεύειν πρὶν ἅπαντα περιχαρακωθῆναι τὸν λόφον, θαῤῥεῖν αὐτοὺς ἐκέλευσεν, ὡς πρὸς ὀλίγους ἐσομένης διὰ τὸ χαράκωμα τῆς μάχης. ἑσπέρας δὲ 23 προσιούσης, καταλιπὼν τὴν λείαν, κατὰ τὸ διαλεῖπον τοῦ χάρακος 24 διεξεπέσατο, τοὺς ἀπαντῶντας ἐν στενῷ κατακόπτων.

ϛ′ Κλέαρχος ληηλατήσας Θρᾴκην, μὴ φθάσας ἐπανελθεῖν εἰς Βυζάντιον· ἐστρατοπέδευσε πλησίον ὄρους Θρακίου. τῶν δὲ Θρᾳκῶν ἀθροιζομένων, εἰδὼς ὅτι 25 σωθέντες ἐκ τῶν ὀρῶν ὁρμώμενοι, νύκτωρ ἐπιθήσονται, προσέταξεν ἐν τοῖς ὅπλοις διατελεῖν, καὶ τὰς ἐγέρσεις ποιεῖσθαι πυκνάς· αὐτὸς δὲ, νυκτὸς οὔσης ἀφεγγοῦς, λαβὼν μέρος τοῦ στρατεύματος ἐπεφαίνετο τύπτων τὰ ὅπλα 26 τὸν

22 ἐπί λόφου *Cant.* 23 προϊούσης *Vulg.* 24 διεσπάσατο *Vulg.* 25 Mſſ. οἰνωθέντες. *Gronovius* ex conjectura σινωθέντες latronum more.

ro circumdaturum ſe Iſthmum minatur. Hoc audito Græci, morem Clearcho gerentes, extra Iſthmum caſtra ponunt.

5 Clearchus prædam copioſam agens, in colle interceptus, cum ab hoſtibus circumvallaretur, rogantibus ducibus ut periculum adirent, antequam totus collis circumdaretur: bonum animum eos habere juſſit, quoniam per vallum cum paucis eſſet futura pugna. Veſpera autem accedente, relicta præda in deficiente valli parte erupit, obvios in anguſtia trucidavit.

6 Clearchus cum ex Thracia prædam egiſſet, neque redire Byzantium poſſet, caſtrametatus eſt prope montem Thracium. Coëuntibus autem Thracibus, ſciens eos qui evaſerant, ex montibus noctu impetum facturos, mandavit ſuis ut in armis perſeverarent, et crebro ſurgerent. Ipſe vero cum nox eſſet tenebricoſa, aſſumta parte exercitus apparebat ſuis, verberans arma

[26] τὸν Θράκειον τρόπον· οἱ δὲ ὡς τῶν πολεμίων ἐπιφαινομένων ἦσαν ἕτοιμοι πρὸς μάχην· ἐν τούτῳ καὶ οἱ Θρᾶκες ἐπεφάνησαν, ὡς καθεύδοντας αἱρήσοντες· οἱ δὲ ἐγρηγορότες, καὶ ὡπλισμένοι δεξάμενοι τοὺς ἐπιδραμόντας πλείστους αὐτῶν ἀπέκτειναν.

ζ Κλέαρχος ἀποστάντων Βυζαντίων ζημιωθεὶς ὑπὸ τῶν ἐφόρων, εἰς Λάμψακον κατέπλευσε. ναῦς ἔχων τέσσαρας· καὶ διέτριβεν ἐνταῦθα μεθύειν καὶ κωμάζειν προσποιούμενος· ἐπολιορκοῦντο ὑπὸ Θρακῶν Βυζάντιοι· καὶ δὴ ἔπεμψαν τοὺς στρατηγοὺς δεησομένους τῆς ὑπὸ Κλεάρχου βοηθείας· ὁ δὲ ὡς ἀδυνάτως ἔχων διὰ τὴν οἰνοφλυγίαν ἐντυχεῖν αὐτοῖς, ἡμέρᾳ τρίτῃ προσήκατο· καὶ δεηθέντας [27] οἰκτείρειν φάσκων, ὑπέσχετο συμμαχήσειν· πληρώσας δὲ ναῦς δύο πρὸς ταῖς τέτταρσι, κατέπλευσεν εἰς Βυζάντιον· καὶ συναγαγὼν ἐκκλησίαν, συνεβούλευσε πάντας τοὺς ἱππέας, καὶ τοὺς ὁπλίτας ἐπιβῆναι τῶν νεῶν. ὡς ἐπιθησομένους ὄπισθεν τοῖς Θραξί. τοὺς δὲ κυβερνήτας ἀναχθέντας ἐπ' ἀγκυρῶν σαλεύειν, ὅταν ἴδωσιν αἰρόμενον ὑπ' αὐτοῦ τὸ σημεῖον

τῆς

62 τὸν θράκιον τύπον. *Vulg.* 27 οἰκτεῖραι Mſſ.

arma more Thracio. Qui tanquam hoſtibus apparentibus, ad pugnam erant inſtructi. Interea Thraces etiam apparebant, ut dormientes caperent. At illi vigilantes et armati exceperunt incurrentes, et plurimos ex ipſis interfecerunt.

7 Clearchus cum defeciſſent Byzantii, mulctatus ab Ephoris Lampſacum cum quatuor navibus pervenit, atque ibi vitam egit, temulentiam et commiſſationem præ ſe ferens. Oppugnabantur a Thracibus Byzantii, qui miſerunt duces ad Clearchum petendi auxilii cauſſa. Ipſe vero quaſi crapula impeditus non poſſet in eorum congreſſum venire, tertio demum die eos admiſit, et ſe precantium miſereri inquiens, opem addixit. Impletis igitur duabus navibus præter illas quatuor, navigavit Byzantium, et convocata concione ſuaſit, ut omnes equites et armati naves conſcenderent, aque tergo impetum in Thraces facerent: gubernatores vero omnes in altum provectos in ancoris naves tenerent, ſi pugnæ ſignum ab ipſo tolleretur. Cum ita in altum provecti

eſſent

τῆς μάχης. οὕτω δὴ πάντων ἀναχθέντων, ὁ Κλέαρχος διψῆν ἔφη πρὸς τοὺς στρατηγούς· καὶ πλησίον ἰδὼν καπηλεῖον, μετ᾽ αὐτῶν εἰσελθὼν, φυλακὴν καταστήσας, ἔνδον ἀπέκτεινεν ἀμφοτέρους· καὶ συγκλείσας τὸ καπηλεῖον, καὶ κελεύσας τῷ καπήλῳ σιωπᾷν, τῶν στρατηγῶν ἀνῃρημένων, τῶν πολιτῶν ἀνηγμένων, αὐτὸς τοὺς αὐτοῦ στρατιώτας διὰ τάχους εἰσαγαγὼν, κατέσχε τὸ Βυζάντιον.

η´ Κλέαρχος ἐλεηλάτει τὴν Θρᾴκην, καὶ πολλοὺς ἔκτεινε Θρᾳκῶν· οἱ δὲ πρέσβεις ἔπεμψαν δεησομένους διαλύσασθαι τὸν πόλεμον· ὁ δὲ τὴν εἰρήνην ἐπιζήμιον ἡγούμενος, ἐκέλευσεν ἐκ τῶν Θρᾳκῶν νεκρῶν σώματα δύο ἢ τρία διατεμόντας τοὺς ὀψοποιοὺς ἀνακρεμάσαι· εἰ δὲ οἱ Θρᾷκες ἰδόντες ἔροιντο τὴν αἰτίαν, προσέταξε λέγειν, Κλεάρχῳ δεῖπνον παρασκευάζεται, ταῦτα οἱ πρέσβεις τῶν Θρᾳκῶν ἰδόντες, φρίξαντες ἀνεχώρησαν, μηδὲν περὶ τῶν διαλύσεων εἰπεῖν ἔτι τολμήσαντες.

θ´ Κλέαρχος ὁπλίτας ἔχων ἐν πεδίῳ, προσκειμένων πολεμίων ἱππέων, καὶ ἱπποκρατούντων, συνέταξε τὸ στρατόπεδον ὀκτὼ τὸ βάθος· καὶ κατέστησεν ἀραιοτέρους, ἢ κατὰ σχῆμα πλινθίου. καὶ παρήγγειλε τὸ ἐγχειρίδιον καθιέν-

eſſent omnes, Clearchus ſitire ſe dicens ad duces, et prope videns cauponam, ingreſſus cum ipſis, impoſito præſidio intus interfecit utroſque: et claudens cauponam, et, impoſito cauponi ſilentio, interfectis ducibus, in altum provectis civibus ipſe, ſuis militibus repente introductis, Byzantium obtinuit.

8 Clearchus Thraciam deprædabatur, multoſque Thraces occidit. Illi legagatos miſerunt, qui rogarent, ut bellum componeret. Qui pacem damnoſam ratus, juſſit ex Thracibus mortuis corpora duo vel tria diſſecta coquos ſuſpendere. Quod ſi Thraces videntes rogarent cauſſam, juſſit dicere, Clearcho cœna paratur. Hæc cum Thracum legati cernerent, perhorreſcentes diſceſſerunt, nihil amplius de fœderibus auſi dicere.

9 Clearchus armatos ducens in campo, incumbentibus hoſtium equitibus, et equeſtri prælio vincentibus, inſtruxit exercitum octonis in profunditatem diſpoſitis, et rariores quam pro figura agminis quadrati collocavit, at-

θέντας ὑπὸ τὴν ἀσπίδα βαθύτατον ὀρύξαι βόθρον· οἱ μὲν ὤρυξαν· ὁ δὲ τοὺς ὁπλίτας ἐπανήγαγεν [28] ἐκ τῶν ὀρυγμάτων ἐς τὸ πρόσω τοῦ πεδίου. τῶν δὲ πολεμίων ἱππέων ἐμπεσόντων, ἀναχωρεῖν ἐπὶ πόδα παρήγγειλεν ἕως τῶν ὀρυγμάτων· οἱ δὲ πολέμιοι μηδὲν προειδότες, ἐπελαύνοντες τῇ ἵππῳ σφοδρῶς, ἐμπεσόντες τοῖς ὀρύγμασιν, ἔπιπτον ἐπ᾽ ἀλλήλους· οἱ Κλεάρχιοι δὲ ἀνῄρουν τοὺς ἱππέας χαμαὶ κειμένους.

ι. Κλέαρχος ἦν ἐν Θρᾴκῃ· νυκτερινοὶ φόβοι τὸ στράτευμα κατελάμβανον. ὁ δὲ παρήγγειλεν, εἰ γένοιτο νύκτωρ θόρυβος, μηδένα ὀρθὸν ἀνίστασθαι. ὁ δὲ ἀναστὰς ὡς πολέμιος ἀναιρείσθω. τὸ παράγγελμα τοῦτο ἐδίδαξε τοὺς στρατιώτας καταφρονῆσαι τοῦ νυκτερινοῦ φόβου. καὶ οὕτως ἐπαύσαντο ἀναπηδῶντες καὶ ταραττόμενοι.

ΚΕΦ. Γ.

ΕΠΑΜΙΝΩΝΔΑΣ.

Ἐπαμινώνδου τῆς γυναικὸς ἠράσθη Φοιβιάδης, φρουρῶν τὴν Καδμείαν. ἡ δὲ τῷ ἀνδρὶ τὴν πεῖραν ἐμήνυσεν. Ἐπαμινών-

28 ἐκ τῶν Mſſ. ignorant.

atque præcepit, ut gladio demiſſo ſub ſcutum, maximam foderent foveam. Qui cum fodiſſent, ille armatos adduxit ſupra foveas in anteriorem campi partem. Hoſtium autem equitibus impetum facientibus, redire iterum juſſit usque ad foveas. Hoſtes nihil proſpicientes et admoventes equitatum, duriterque impingentes in foveas, ſupra ſe mutuo ruebant. Clearchii vero equos humi ſtratos occiderunt.

10 Clearchus erat in Thracia. Nocturni terrores exercitum invaſerant. At ille præcepit, ſi noctu tumultus oriretur, nemo conſurgeret: qui vero noctu conſurgeret, tanquam hoſtis interficeretur. Hoc præceptum milites docuit contemnere nocturnum terrorem, atque ita deſierunt exilire ac perturbari.

CAP. III.

EPAMINONDAS.

Epaminondæ uxorem amabat Phœbiades, cuſtodiens Cadmiam. Illa marito rem aperuit. Epaminondas

μινώνδας προσέταξεν αὐτῇ τὸν Φοιβιάδην φιλεῖν ὑποκρίνεσθαι, καὶ νύκτα συνθέσθαι, ὡς καὶ τοῖς φίλοις αὐτοῦ γυναῖκας ἄλλας ἄξουσαι. ταῦτα μὲν δὴ συνέθετο, αἱ δὲ ἧκον, καὶ συνέπιον τοῖς περὶ τὸν Φοιβιάδην ἄχρι μέθης. καὶ ἠτήσαντο πρὸς ὀλίγον ἐξελθεῖν ἐπί τινα θυσίαν νυκτερινὴν, ὡς αὐτίκα [29] ἀναστρέψουσαι· οἱ μὲν ἐπέτρεψαν, τοῖς [30] πυλωροῖς προστάξαντες πάλιν αὐτὰς εἰσδέξασθαι· αἱ δὲ ἀπῆλθον· πρὸς δὲ ταῖς πύλαις ἀγένειοι νεανίσκοι τὰς τῶν γυναικῶν ἐσθῆτας ἀλλαξάμενοι, καὶ μίαν αὐτῶν παραλαβόντες ἡγεμόνα τῆς ὁδοῦ τῆς ἔνδον, ἣ καὶ βραχέα λαλήσειν τοῖς πυλωροῖς ἔμελλεν. οὕτως ἄρα ἐπελθόντες, τόν τε Φοιβιάδην αὐτὸν, καὶ ὅσοι ἀμφ᾽ αὐτὸν, πάντας ἀπέκτειναν.

β΄ Ἐπαμινώνδας ἐν Λεύκτροις προσῆγεν ἤδη τὴν φάλαγγα· Θεσπιεῖς ἐθελοκακοῦντες εἵποντο· οὐκ ἠγνόησεν Ἐπαμινώνδας, ἀλλ᾽ ὅπως μὴ ταράττοιτο ἡ τάξις ἐν τῷ καιρῷ τῆς μάχης, ἐκήρυξε, Βοιωτῶν ἀπιέναι τοῖς βουλομένοις ἔξέσω· Θεσπιεῖς μὲν αὐτοῖς ὅπλοις ἀπηλλάσσοντο· Ἐπα-

29 Mſſ. ἀναστρεφοῦσαι. 30 Mſſ. θυρωροῖς.

ei mandavit, ut erga Phœbiadem ſimularet, et noctem conſtitueret, quaſi etiam amicis ejus alias fœminas adductura. Quibus conſtitutis, illæ venerunt, et usque ad ebrietatem cum Phœbiade et ejus amicis biberunt, atque petierunt copiam exeundi pauliſper ad ſacrificium quoddam nocturnum, ſtatimque ſe reverſuras pollicitæ ſunt. Qui permiſerunt, mandantes portitoribus, ut iterum eas intromitterent. Illæ exierunt. Apud portas vero juvenes imberbes, mulierum veſtibus permutatis, et unam ex eis aſſumentes interioris viæ ducem, et quæ pauca cum portitoribus loqueretur: ita ingreſſi, tum Phœbiadem ipſum, tum omnes qui circum eum erant interfecerunt.

2 Epaminondas cum ad Leuctra jam agmen inſtructum duceret, Theſpienſes tergiverſantes ſequebantur: nec id latebat Epaminondam: ſed ne confunderentur ordines, inter pugnandum proclamare juſſit, Quicumque Bœotiorum diſcedere voluerint, eis licitum eſto. Theſpienſes cum ipſis armis abierunt. Epaminondas

Ἐπαμινώνδας δὲ τοῖς μείνασιν ὁπλίταις συντεταγμένοις καὶ προθύμοις χρησάμενος εὐκλεῶς ἐνίκησεν.

γʹ Ἐπαμινώνδας, 31 ἐνέβαλεν εἰς Πελοπόννησον· οἱ πολέμιοι κατὰ τὸ Ὄνειον ἐμβαλόντες, ἐστρατοπεδεύοντο. βροντὴ γίνεται, καὶ φόβος αἱρεῖ τοὺς στρατιώτας· ὁ μὲν μάντις ἐπισχεῖν ἐκέλευεν. Ἐπαμινώνδας δὲ μηδαμῶς, ἔφη· τοὺς πολεμίους γὰρ ἐν τοιούτῳ χωρίῳ στρατοπεδεύσαντας ἐμβεβροντῆσθαι· ὁ λόγος τοῦ στρατηγοῦ, θάρρος ἐνέδωκε τοῖς στρατιώταις, καὶ προθύμως ἠκολούθησαν.

δʹ Ἐπαμινώνδας Θηβαίων ἡγεῖτο, Λακεδαιμονίων Κλεόμβροτος· Λεῦκτρα ἔνθα ἡ μάχη· τὸ μὲν ἔργον ἰσόρροπον ἦν. Ἐπαμινώνδας παρὰ Θηβαίων ᾐτήσατο, ἓν βῆμα χαρίσατέ μοι, καὶ τὴν νίκην ἕξομεν· ἐπείσθησαν, ἐνίκησαν· οἱ Λάκωνες εἶξαν· καὶ Κλεόμβροτος ὁ βασιλεὺς ἔπεσεν ἐν τῇ μάχῃ.

εʹ Ἐπαμινώνδας ἐνέβαλεν εἰς τὴν Λακωνικήν· καὶ οἷός τε ἦν διαρπάσαι τὴν 32 Λακεδαιμονίαν πόλιν· ἀλλὰ μεταγνοὺς οὐκ ἀψάμενος τῆς πόλεως ἀνέζευξεν· οἱ συνάρχοντες ἠπείλουν αὐτῷ δίκην· ὁ δὲ δείξας αὐτοῖς τοὺς συμμάχους

31 Mſſ. ὑπερέβαλεν. 32 Λακεδαιμονίων πόλιν *Vulg.*

das iis qui manſerant armatis inſtructis et alacribus uſus, glorioſam victoriam adeptus eſt.

3 Epaminondas in Peloponneſum copias duxit. Hoſtes circa Onium ingreſſi, caſtra poſuerunt. Tonitru fit, et metus invadit milites. Vates quidem quieſcendum dixit. Epaminondas vero, nequaquam, inquit: Hoſtes enim qui in ejusmodi loco caſtrametati ſint, per tonitru exturbari. Oratio ducis animum addidit militibus, et promtiſſime omnes ſequebantur.

4 Epaminondas Thebanos ducebat, Lacedæmonios Cleombrotus. pugna fiebat Leuctris. Res in dubio vertebatur. Epaminondas a Thebanis petiit, unum greſſum mihi donate, et victoriam habebimus. Morem geſſerunt, victoriam adepti ſunt. Lacones cedebant loco, et Cleombrotus rex in prælio cecidit.

5 Epaminondas in Laconicam impreſſionem fecit, et quidem Lacedæmoniam urbem diripere potuit: verum animo mutato, intacta civitate diſceſſit. Collegis litem ei minantibus, commonꝫ

μάχους Ἀρκάδας, Μεσσηνίους, Ἀργείους, καὶ ὅσοι ἄλλοι Πελοποννήσιοι, εἰ Λακεδαιμονίους ἀναστάτους πεποιήκαμεν, ἔφη, νῦν ἐχρῆν πᾶσιν ἂν τούτοις μάχεσθαι. ὡς καὶ νῦν συμμαχοῦσιν ἡμῖν Λακεδαιμονίους καθαιροῦντες, οὐχὶ Θηβαίους αὔξοντες.

ς' Ἐπαμινώνδας τοὺς Θηβαίους ἔπεισε τοῖς ἐπιδημοῦσι Λακεδαιμονίων ἐν τοῖς γυμνασίοις παλαίειν· οἱ δὲ εὐκόλως καταβαλόντες αὐτοὺς, ἐδιδάχθησαν καταφρονεῖν αὐτῶν, καὶ ὡς ἀνδρειότεροι, τὸν πρὸς αὐτοὺς πόλεμον θαῤῥοῦντες ἐξήνεγκαν.

ζ' Ἐπαμινώνδας ἀεὶ τὴν δύναμιν ἅμα ἡλίῳ προῆγεν, δόξαν ἐμποιῶν ὡς ἐκ τοῦ διαφανοῦς διαμάχοιτο, ἐν δὲ Πελοποννήσῳ νυκτὸς ἐπαναστὰς προσέπεσεν ἀπροσδοκήτως Λακεδαιμονίοις ἔτι καθεύδουσιν.

η' Ἐπαμινώνδας ἡγεῖτο Θηβαίων, Κλεόμβροτος Λακεδαιμονίων, καὶ τῶν συμμάχων τετρακισμυρίων· ἐδεδοίκεσαν οἱ Θηβαῖοι τὸ πλῆθος τῶν πολεμίων. Ἐπαμινώνδας θαῤῥεῖν αὐτοὺς ἔπεισε δυσὶ τεχνάσμασι. παρεσκεύαζεν ἄνδρα ἀγνῶτα, προσελθοῦσιν αὐτοῖς τῆς πόλεως ἐστεφανωμένον,

monſtrans Arcades, Meſſenios, Argivos, aliosque Peloponneſios: Si, inquit, Lacedæmonios exciderimus, cum his omnibus pugnandum erit, qui nobis jam auxilium non ideo ferunt, ut Thebanam rem augeant, ſed ut Lacedæmonios deleant.

6 Epaminondas Thebanis ſuaſit, ut cum Lacedæmoniis, qui apud ipſos divertebantur, lucta contenderent. Qui nullo negotio proſternentes eos, didicerunt eos contemnere: atque ita fortius bellum adverſus ipſos cum fiducia geſſerunt.

7. Epaminondas exercitum ſemper oriente ſole promovit, ſuſpicionem hoſtibus præbens, ſe ex aperto prælium facturum. At in Peloponneſo noctu conſurgens, inopinantes Lacedæmonios, et adhuc dormientes obruit.

8 Epaminondas Thebanos ducebat, Cleombrotus Lacedæmoniorum et ſociorum quatuor myriades. Thebanis hoſtium multitudo metum fecit. Epaminondas perſuaſit, ut forti eſſent animo, duabus rationibus. Progredientibus ex urbe ſubornavit virum ignotum, coro-

νον, καὶ ταινίας ἔχοντα πρῶτον ἀπαντῆσαι ἀγγέλλοντα· ὁ Τροφώνιός μοι προσέταξεν ἀπαγγεῖλαι Θηβαίοις, ὅτι νίκην δίδωσι τοῖς ἄρχουσι τῆς μάχης· τῶν δὲ Θηβαίων θαρσησάντων, καὶ τὴν τοῦ θεοῦ [33] πρόθεσιν προσκυνησάντων, Ἐπαμινώνδας ἐκέλευσε, καὶ εἰς τὸ Ἡράκλειον ἐλθόντας προσεύξασθαι. ἦν δὲ ἄρα καὶ πρὸς τὸν Ἡρακλέους ἱερέα πάλαι προσκείμενον, τὸν μὲν νεὼν νύκτωρ ἀνοῖξαι, τὰ δὲ ἀνακείμενα ὅπλα καθελεῖν, καὶ ἀποσμήξαντα παραθεῖναι τῷ θεῷ· καὶ αὐτόν τε καὶ τοὺς μετ᾽ αὐτοῦ ζακόρους ἐκ ποδῶν οἴχεσθαι, μηδενὶ μηδὲν ἀπαγγείλαντας· ἐπεὶ δὲ οἱ στρατιῶται σὺν ἡγεμόσιν ἐς τὸ ἱερὸν ἐλθόντες [34] ἰδόντες τὰς θύρας ἀνεῳγμένας, οὐδενὸς τῶν ζακόρων παρόντος, εἶδον δὲ καὶ τὰ ὅπλα τὰ παλαιὰ νεόσμηκτα καὶ λάμποντα ἔμπροσθεν τοῦ θεοῦ, ἠλάλαξαν· καὶ δαιμονίου θάρσους [35] ἐνεπλήσθησαν, ὥσπερ τὸν Ἡρακλέα στρατηγὸν τῆς μάχης ἔχοντες. οὕτω δὴ συνέβη τοῖς θαρσήσασι κρατῆσαι τῶν τετρακισμυρίων.

θ´ Ἐπαμινώνδας βουλόμενος ἐμβαλεῖν εἰς Λακεδαίμονα, ἐπειδὴ τὸ Ὄνειον κατεῖχε φυλακὴ Λακωνική, ἐνδειξάμενος ὡς

33 *Cant.* πρόσθεσιν Codd. *Caſaub.* προθέσπισιν. 34 εἶδόν τε vel εἶδον μὲν conj. *Caſ.* 35 ἐπλήσθησαν *Vulg.*

coronatum, et vitta redimitum, qui primum occurreret illi nuntians: Trophonius juſſit me Thebanis renuntiare, ſe victoriam dare iis qui principes pugnam inirent. Thebanis confirmatis, et Dei conſilium adorantibus, Epaminondas juſſit in Heracleum venientes vota facere. Erat equidem jam antea quoque cum Herculis ſacerdote conſtitutum, ut noctu templum aperiret, et arma repoſita ſummoveret, atque terſa Deo rurſus apponeret, ipſeque cum miniſtris ſuis de medio recederet, nemini quicquam enuntiantes. Poſtquam vero milites cum ducibus templum ingreſſi viderunt apertas januas, nullo miniſtrorum præſente, atque etiam arma vetuſta repurgata recens, et fulgentia conſpexerunt, coram Deo clamorem ſuſtulerunt. Et divina confidentia impleti ſunt, tanquam Herculem pugnæ ducem habentes. Sic accidit, ut ſumtis animis quadraginta millia ſuperarent.

9 Epaminondas volens in Lacedæmonem irruptionem facere, cum Onium Laconico præſidio obſeſſum tene-

ὡς μέλλοι νυκτὸς παρεῖναι τὸ στράτευμα 36 κατεκοίμησεν ὑπ' αὐτῷ τῷ Ὀνείῳ· οἱ δὲ τὴν πάροδον φρουροῦντες, ἐν τοῖς ὅπλοις τὴν νύκτα ὅλην ἐταλαιπώρησαν ἐγρηγορότες. ἐπεὶ δὲ ὑπέλαμψεν ἡ ἕως, ἀναστήσας τὸ στρατόπεδον Ἐπαμινώνδας ἐπέθετο τοῖς φύλαξιν ἐς ὕπνον τετραμμένοις· καὶ χειρωσάμενος αὐτοὺς ῥᾳδίως παρῆλθεν.

ι' Ἐπαμινώνδας ἐπεχείρησε νυκτὸς καταλαβέσθαι Λακεδαιμονίων πόλιν ἐρήμην οὖσαν πολιτῶν. Ἀγησίλαος τὴν ἐπίθεσιν παρ' αὐτομόλων μαθὼν, 37 συντόμως δραμὼν μετὰ τῆς αὐτοῦ δυνάμεως, φθάσας εἴσω τῆς πόλεως παρελθεῖν, ἀνέμεινε τοὺς Θηβαίους· οἱ δὲ προσπεσόντες ἐξώσθησαν μετὰ βίας ὑπὸ τῶν Λακεδαιμονίων. ὡς δ' ἐν ἰσχυρῷ κινδύνῳ ταραχωδῶς 38 ἐμπεσόντες, καὶ διὰ νυκτὸς φεύγειν βιασθέντες, ἀπέβαλλον πολλοὶ τὰς ἀσπίδας. Ἐπαμινώνδας ἰδὼν τὸ γεγονὸς, οὐ βουλόμενος ἐλεγχθῆναι τοὺς ῥιψάσπιδας, ἐκήρυξε, μηδεὶς τῶν ὁπλιτῶν αὐτὸς φερέτω τὴν ἀσπίδα. ἀλλὰ διδότω τοῖς ὑπασπισταῖς, ἢ τοῖς ἄλλοις ἀκολούθοις. αὐτοὶ δὲ μόνα τὰ δόρατα καὶ τὰ ἐγχειρί-

36 κατεκοίμισε conj. *Caſ.* 37 συντόνως *Vulg.* 38 ἐκπεσόντες legendum eſſe videtur.

teneretur, præ ſe ferens noctu adfuturum eſſe, ſub Onio exercitum quieſcere juſſum refecit. Qui tranſitum cuſtodientes in armis, tota nocte vigiliis confecti ſunt. Poſtquam autem affulſit aurora, copiis excitatis Epaminondas, cuſtodes in ſomnum prolapſos aggreſſus eſt: quibus oppresſis, nullo prohibente tranſiit.

10 Epaminondas conabatur noctu Lacedæmoniorum urbem vacuam civibus occupare. Ageſilaus inſidiis ex transfugis perceptis, incitato curſu cum exercitu ſuo prior in urbem venit, et Thebanos expectavit. Qui impreſſionem facientes, repulſi ſunt per vim a Lacedæmoniis. Cum vero ob grave periculum turbato ordine recederent, noctu fugere coacti, multi ſcuta abjecerunt. Epaminondas eam rem conſpicatus, nolens ut qui ſcuta abjeciſſent arguerentur, promulgavit Nemo armatorum ipſe ſcutum portet: ſed tradat ſcutariis, aut aliis ſequentibus ipſi vero cum ſolis haſtis e enſi

χειρίδια ἔχοντες τῷ ἡγεμόνι ἐπέσθωσαν· οὕτως ἄρα τὸ πλῆθος ἔλαθον οἱ τὰ ὅπλα ἀποβαλόντες· καὶ προθυμότερον ὑπήκουον τοῦ Ἐπαμινώνδου πρὸς τοὺς μέλλοντας κινδύνους ἀντὶ τῆς εὐεργεσίας ταύτης.

ιαʹ Ἐπαμινώνδας Λακεδαιμονίοις παρετάσσετο· τῆς δὲ μάχης κρατερᾶς γενομένης, πολλῶν ἀμφοτέρωθεν πεσόντων, νυκτὸς γενομένης τὸ τέλος τῆς νίκης, ἀνεχώρησαν ἐπὶ τὸ στρατόπεδον ἕκαστοι· Λακεδαιμόνιοι μὲν δὴ κατὰ λόχους καὶ [39] μοίρας, ἐνωμοτίας καὶ συσσίτια στρατοπεδεύοντες, ἔμαθον τὸ πλῆθος τῶν ἀπολωλότων· καὶ οὕτως ἀθυμήσαντες ἐς ὕπνον ἐτράποντο. Θηβαίοις δὲ παρήγγειλεν Ἐπαμινώνδας καταστρατοπεδεύειν, ὡς ἔτυχον ἕκαστοι, καὶ μὴ ζητεῖν τοὺς λόχους, μηδὲ τὰς τάξεις, ἀλλ᾽ ὡς τάχιστα δειπνοῦντας, ἀναπαύεσθαι, ἄνδρα ἀνδρὶ ἐκ τῶν παρόντων ἐπιτηδείων ἐπαρκέσαντα. συνέβη τοίνυν δειπνήσαντας αὐτοὺς διὰ τάχους, ἀναπαύεσθαι· καὶ τὸ μέγιστον ἀγαθὸν, ἀγνοῆσαι τοὺς ἀπολωλότας, οὐκ ἐν τοῖς οἰκείοις συσσιτίοις, ἀλλὰ σποράδην δεδειπνηκότας· εἰκότως ἄρα τῆς ὑστεραίας Θηβαῖοι μὲν παραταξάμενοι [40] γενναιότεροι ἐκρά-

39 *μοίρας* conj. *Caſaub.* 40 *γενόμενοι* ſupplet *Caſaub.*

enſibus ducem ſequantur. Ita multitudo eorum, qui arma abjecerant latuit, et alacrius Epaminondæ ſe obſequentes ad futura pericula ob hoc beneficium præbuerunt.

11 Epaminondas cum Lacedæmoniis ſigna conferebat. Cum pugna fieret acris, multis utrinque cadentibus, ingruente nocte ante victoriæ finem, utrique ad caſtra reverſi ſunt. Lacedæmonii manipulatim, et ſecundum turmas, enomotias atque contubernia caſtrametantes, mortuorum multitudinem cognoverunt, atque ita præ mœrore in ſomnum prolapſi ſunt. Thebanis autem mandavit Epaminondas, ut, quo caſus quemque ferret; ibi caſtrametarentur, neque manipulos aut ordines quærerent, ſed quam celerrime ſumta cœna quieti ſe dederent, atque alter alteri ex præſenti commeatu impertiret. Proinde ſumta cœna repente ſomno indulſerunt, et hoc eis maximo bono fuit, quod ignorabant qui occubuiſſent, cum non in ſuis contuberniis, ſed ſparſim cœnam feciſſent. et non immerito poſtero die Thebani in aciem educti, fortius pugnantes victoriam repor-

ἐκράτησαν· Λακεδαιμόνιοι δὲ διὰ τὸν θάνατον τῶν οἰκείων ἐῴκεσαν προηττημένοις.

ιβʹ Ἐπαμινώνδας [41] Θηβαίους ἦγεν ἐπὶ τετρακισμυρίους Σπαρτιατῶν, καὶ τῶν συμμάχων. τῶν δὲ πολιτῶν, οἷον εἰκὸς, δεδιότων τὸ πλῆθος τῶν πολεμίων, τὴν δυσθυμίαν αὐτῶν ἰάσατο. ἦν ἐν Θήβαις τὸ βρέτας τῆς Ἀθηνᾶς· τὸ μὲν δόρυ τῇ χειρὶ διειληφὸς τῇ δεξιᾷ· τὴν δὲ ἀσπίδα κειμένην ἔχον πρὸ τῶν γονάτων· ὁ δὲ νύκτωρ τεχνίτην ἐπαγαγὼν, μετεσχημάτισε τὸ ἄγαλμα, καὶ τὴν θεὸν ἐποίησε διὰ πόρπακος ἔχουσαν τὴν ἀσπίδα· ἐπεὶ δὲ καιρὸς ἦν ἐξόδου, τοὺς νεὼς ἅπαντας ἀνέῳξεν ὡς θύσων ὑπὲρ τῆς στρατείας· οἱ δὲ στρατιῶται τὸ σχῆμα τῆς θεοῦ μεταβεβλημένον ἰδόντες, κατεπλάγησαν, ὡς τῆς Ἀθηνᾶς αὐτῆς ὁπλιζομένης κατὰ τῶν πολεμίων· καὶ πολὺς ἦν Ἐπαμινώνδας ἐγκελευόμενος θαῤῥεῖν, ὡς τῆς θεοῦ τὴν ἀσπίδα κατὰ τῶν πολεμίων προβεβλημένης. οὕτως ἀνεθάῤῥησαν οἱ Θηβαῖοι, καὶ συμβαλόντες, ἠγωνίσαντο λαμπρῶς, καὶ τοὺς πολλῷ πλείονας πολεμίους ἐνίκησαν.

ιγʹ Ἐπα-

41 Θηβαίων MſT.

portarunt. Lacedæmonii vero propter ſuorum interitum, his qui ante victi erant, ſimiles fuerunt,

12 Epaminondas Thebanos eduxit adverſus quadraginta millia Spartiatarum atque ſociorum. Civibus autem (ut fieri ſolet) pertimeſcentibus hoſtium multitudinem, animorum demiſſionem ſanavit. Erat Thebis idolum Palladis, haſtam in medio tenens dextra manu: ſcutum vero ante genua poſitum habens. Ille noctu artificem adducens, aliam formam affinxit ſimulacro, et deam fecit manubrio ſcutum tenentem. Cum vero tempus expeditionis præſto eſſet, omnia templa aperuit, quaſi rem divinam pro exercitu facturus. Milites formam Deæ mutatam videntes, obſtupuerunt, quaſi ipſa Pallas adverſus hoſtes arma ſumſiſſet. Et multis verbis Epaminondas hortabatur, ut bonum animum gererent: quippe Dea contra hoſtes ſcutum protendente. Ita Thebani animos receperunt, et conſerta manu egregie pugnaverunt, multoque plures hoſtes devicerunt.

13 Epa-

ιγʹ Ἐπαμινώνδας πρὸς τῇ γεφύρᾳ τοῦ Σπερχειοῦ Θεσσαλῶν ἀντικαθημένων, ὁρῶν ἀπὸ τοῦ ποταμοῦ περὶ τὴν ἕω πολλὴν καὶ βαθεῖαν ὁμίχλην αἰρομένην, παρήγγειλεν ἑκάστῳ λόχῳ, δύο κομίσαι φορτία ξύλων, τὸ μὲν χλωρὸν, τὸ δὲ αὖον· καὶ περὶ μέσην νύκτα τὰ μὲν αὖα κάτωθεν, [42] τὰ δὲ χλωρὰ ἄνωθεν· ὁμοῦ νὺξ, καὶ ὁμίχλη, καὶ καπνός. ὁ μὲν ἀὴρ τοῖς πολεμίοις ἀόρατος ἦν· ὁ δὲ Ἐπαμινώνδας ἐπὶ τὴν γέφυραν διεβίβασε τοὺς στρατιώτας· οἱ δὲ αὖ κατὰ μέσον τὸ πεδίον ὄντες, ὁπότε ὁ καπνὸς μετὰ τῆς ὁμίχλης διεσκεδάσθη, οἱ Θεσσαλοὶ τῆς διαβάσεως τῶν πολεμίων ᾔσθοντο.

ιδʹ Ἐπαμινώνδας περὶ Τέγεαν διακινδυνεύων πρὸς Λακεδαιμονίους, βουλόμενος ὑπερδεξίους καταλαβέσθαι τόπους, ἵνα λάθῃ τοὺς πολεμίους, προσέταξε τῷ ἱππάρχῳ μετὰ τῶν ἱππέων [43] χιλίους ἑξακοσίους προϊππεῦσαι τῆς φάλαγγος, καὶ πυκνὰς ποιεῖσθαι τὰς ἀναστροφὰς τῇδε κἀκεῖσε· ὡς δὲ πλεῖστον ἐπανέστησε κονιορτὸν, ἐπισκήπτων ταῖς τῶν πολεμίων ὄψεσιν, ὁ μὲν ἔλαθε κατασχὼν τὰ ὑπερδέξια· οἱ δὲ Σπαρτιάται καταλήξαντος τοῦ

κονι-

42 Addendum θέντας ἀνάπτειν, uti cenſet *Caſaub.* 43 χιλίων ἑξακοσίων ſcribendum. *Caſ.*

13 Epaminondas ad pontem Sperchii, Theſſalis ab adverſo oppoſitis, videns circa auroram a fluvio magnam profundamque nubem exſurgere, præcepit ſingulis manipulis, ut duo portarent onera lignorum, alterum viride, alterum ſiccum et aridum et media nocte arida inferne, viridia deſuper. cum ſimul nox et nubes atque fumus coirent, aër ab hoſtibus videri non poterat. Epaminondas vero in pontem adduxit milites. Qui cum in media planitie eſſent, poſtquam fumus cum nube evanuit, Theſſali tranſitum hoſtium ſenſerunt.

14 Epaminondas ad Tegeam periclitans contra Lacedæmonios, et clam hoſtibus ſuperiorem locum et præcipitem occupare volens, mandavit equitum præfecto, ut cum equitibus mille ſexcentis agmen præcederet, et crebro huc illuc obequitaret. Cum pulverem copioſum excitaſſet, obſcuratis hoſtium oculis, clam ſuperiorem locum cepit. Spartiatæ vero, cum deſiiſſet pul-

vis,

ἐκράτησαν· Λακεδαιμόνιοι δὲ διὰ τὸν θάνατον τῶν οἰκείων ἐοίκεσαν ἡττημένοις.

ιβ΄ Ἐπαμινώνδας 41 Θηβαίους ἦγεν ἐπὶ τετρακισμυρίους Σπαρτιατῶν, καὶ τῶν συμμάχων. τῶν δὲ πολιτῶν, οἷον εἰκὸς, δεδιότων τὸ πλῆθος τῶν πολεμίων, τὴν δυσθυμίαν αὐτῶν ἰάσατο. ἦν ἐν Θήβαις τὸ βρέτας τῆς Ἀθηνᾶς· τὸ μὲν δόρυ τῇ χειρὶ διειληφὸς τῇ δεξιᾷ· τὴν δὲ ἀσπίδα κειμένην ἔχον πρὸ τῶν γονάτων· ὁ δὲ νύκτωρ τεχνίτην ἐπαγαγὼν, μετεσχημάτισε τὸ ἄγαλμα, καὶ τὴν θεὸν ἐποίησε διὰ πόρπακος ἔχουσαν τὴν ἀσπίδα· ἐπεὶ δὲ καιρὸς ἦν ἐξόδου, τοὺς νεὼς ἅπαντας ἀνέῳξεν ὡς θύσων ὑπὲρ τῆς στρατείας· οἱ δὲ στρατιῶται τὸ σχῆμα τῆς θεοῦ μεταβεβλημένον ἰδόντες, κατεπλάγησαν, ὡς τῆς Ἀθηνᾶς αὐτῆς ὁπλιζομένης κατὰ τῶν πολεμίων· καὶ πολὺς ἦν Ἐπαμινώνδας ἐγκελευόμενος θαῤῥεῖν, ὡς τῆς θεοῦ τὴν ἀσπίδα κατὰ τῶν πολεμίων προβεβλημένης. οὕτως ἀνεθάῤῥησαν οἱ Θηβαῖοι, καὶ συμβαλόντες, ἠγωνίσαντο λαμπρῶς, καὶ τοὺς πολλῷ πλείονας πολεμίους ἐνίκησαν.

ιγ΄ Ἐπα-

41 Θηβαίων Mſſ.

portarunt. Lacedæmonii vero propter ſuorum interitum, his qui ante victi erant, ſimiles fuerunt,

12 Epaminondas Thebanos eduxit adverſus quadraginta millia Spartiatarum atque ſociorum. Civibus autem (ut fieri ſolet) pertimeſcentibus hoſtium multitudinem, animorum demiſſionem ſanavit. Erat Thebis idolum Palladis, haſtam in medio tenens dextra manu: ſcutum vero ante genua poſitum habens. Ille noctu artificem adducens, aliam formam affinxit ſimulacro, et deam fecit manubrio ſcutum tenentem. Cum vero tempus expeditionis præſto eſſet, omnia templa aperuit, quaſi rem divinam pro exercitu facturus. Milites formam Deæ mutatam videntes, obſtupuerunt, quaſi ipſa Pallas adverſus hoſtes arma ſumſiſſet. Et multis verbis Epaminondas hortabatur, ut bonum animum gererent: quippe Dea contra hoſtes ſcutum prætendente. Ita Thebani animos receperunt, et conſerta manu egregie pugnaverunt, multoque plures hoſtes devicerunt.

13 Epa-

ιγ´ Ἐπαμινώνδας πρὸς τῇ γεφύρᾳ τοῦ Σπερχειοῦ Θεσσαλῶν ἀντικαθημένων, ὁρῶν ἀπὸ τοῦ ποταμοῦ περὶ τὴν ἕω πολλὴν καὶ βαθεῖαν ὁμίχλην αἰρομένην, παρήγγειλεν ἑκάστῳ λόχῳ, δύο κομίσαι φορτία ξύλων, τὸ μὲν χλωρὸν, τὸ δὲ αὖον· καὶ περὶ μέσην νύκτα τὰ μὲν αὖα κάτωθεν, 42 τὰ δὲ χλωρὰ ἄνωθεν· ὁμοῦ νὺξ, καὶ ὁμίχλη, καὶ καπνός. ὁ μὲν ἀὴρ τοῖς πολεμίοις ἀόρατος ἦν· ὁ δὲ Ἐπαμινώνδας ἐπὶ τὴν γέφυραν διεβίβασε τοὺς στρατιώτας· οἱ δὲ αὖ κατὰ μέσον τὸ πεδίον ὄντες, ὁπότε ὁ καπνὸς μετὰ τῆς ὁμίχλης διεσκεδάσθη, οἱ Θεσσαλοὶ τῆς διαβάσεως τῶν πολεμίων ᾔσθοντο.

ιδ´ Ἐπαμινώνδας περὶ Τέγεαν διακινδυνεύων πρὸς Λακεδαιμονίους, βουλόμενος ὑπερδεξίους καταλαβέσθαι τόπους, ἵνα λάθῃ τοὺς πολεμίους, προσέταξε τῷ ἱππάρχῳ μετὰ τῶν ἱππέων 43 χιλίους ἑξακοσίους προϊππεῦσαι τῆς φάλαγγος, καὶ πυκνὰς ποιεῖσθαι τὰς ἀναστροφὰς τῇδε κἀκεῖσε· ὡς δὲ πλεῖστον ἐπανέστησε κονιορτὸν, ἐπισκήπτων ταῖς τῶν πολεμίων ὄψεσιν, ὁ μὲν ἔλαθε κατασχὼν τὰ ὑπερδέξια· οἱ δὲ Σπαρτιᾶται καταλήξαντος τοῦ κονι-

42 Addendum θέντας ἀνάπτειν, uti cenſet *Caſaub.* 43 χιλίων ἑξακοσίων ſcribendum. *Caſ.*

13 Epaminondas ad pontem Sperchii, Theſſalis ab adverſo oppoſitis, videns circa auroram a fluvio magnam profundamque nubem exſurgere, præcepit ſingulis manipulis, ut duo portarent onera lignorum, alterum viride, alterum ſiccum et aridum et media nocte arida inferne, viridia deſuper. cum ſimul nox et nubes atque fumus coirent, aër ab hoſtibus videri non poterat. Epaminondas vero in pontem adduxit milites. Qui cum in media planitie eſſent, poſtquam fumus cum nube evanuit, Theſſali tranſitum hoſtium ſenſerunt.

14 Epaminondas ad Tegeam periclitans contra Lacedæmonios, et clam hoſtibus ſuperiorem locum et præcipitem occupare volens, mandavit equitum præfecto, ut cum equitibus mille ſexcentis agmen præcederet, et crebro huc illuc obequitaret. Cum pulverem copioſum excitaſſet, obſcuratis hoſtium oculis, clam ſuperiorem locum cepit. Spartiatæ vero, cum deſiiſſet pulvis,

κονιορτȣ͂, τὸ γεγονὸς ἰδόντες ἐνόησαν τὴν αἰτίαν τῆς προϊππησίας.

ιε' Ἐπαμινώνδας προτρέπων Θηβαίȣς προθύμως ὁρμῆσαι ἐπὶ Λακεδαιμονίȣς· μέγιςον ἔχιν συλλαβὼν, ἔδειξεν αὐτοῖς, καὶ πάντων ἐναντίον τὴν κεφαλὴν τȣ͂ θηρίȣ συντρίψας, ὁρᾶτε, ἔφη, ὅτι τὸ λοιπὸν σῶμα ἄχρηςον, τῆς κεφαλῆς οἰχομένης· 44 ȣ͂τω δὴ αἱ τῶν πολεμίων κεφαλαὶ ἤν τε τὸ Λακωνικὸν τȣ͂το συντρίψωμεν, τὸ λοιπὸν σῶμα τῶν συμμάχων, ἄχρηςον· τȣ́τῳ τῷ παραδείγματι Θηβαῖοι πεισθέντες, ὁρμήσαντες προθύμως ἐπὶ τὴν φάλαγγα τὴν Λακωνικὴν, ἐτρέψαντο, καὶ τὸ πλῆθος τῶν συμμάχων ἔφυγεν.

ΚΕΦ. Δ.

ΠΕΛΟΠΙΔΑΣ.

Πελοπίδας ἐπολιόρκει ἀκροπόλεις ἀπεχȣ́σας ἀλλήλων ἑκατὸν εἴκοσι ςάδια· πλησίον ὢν τῆς ἑτέρας συνέταξεν, ἐπειδὰν προσάγῃ τοῖς τείχεσι, δ' ἱππεῖς ἐςεφανωμένȣς θέοντας ἥκειν, ἀγγέλλοντας τὴν ἑτέραν πόλιν ἑαλωκέναι. ὁ

δὲ

44 ȣ͂τω δὴ, ἢν τὰς τῶν πολεμίων κεφαλὰς, τὸ Λακωνικὸν τȣ͂το, συντρ. legi vult *Caſ.*

vis, rem conſpicati, cauſſam intellexerunt, quamobrem ante copias equitaſſent.

15 Epaminondas adhortans Thebanos, ut confidenter in Lacedæmonios impetum facerent, maximum ſerpentem cepit, et ejus in conſpectu omnium contrito capite: videtis, inquit, quod reliquum corpus inutile ſit, ſi caput adimatur. Ita ſi hoſtium capita, nempe Laconicum hoc contriverimus, reliquum corpus ſociorum nullius erit uſus. Hoc exemplo perſuaſi Thebani, in Laconicum agmen incurrentes, id ſuperarunt. Sociorum vero multitudo fugam ultro capeſſit.

CAP. IV.

PELOPIDAS.

Pelopidas oppugnabat arces, centum et viginti ſtadiis a ſe mutuo diſtantes. cum ad alteram appropinquaret, juſſit, cum ad mœnia copias admoveret, quatuor equites coronis redimitos, citato curſu venire, et alteram urbem captam eſſe nuntiare. Quod cum

au-

δὲ ἀκούσας ἀνέζευξεν ἐπὶ τὴν δοκοῦσαν ἡττᾶσθαι, καὶ πρὸ τῶν τειχῶν ὕλην πολλὴν ἅψας, καπνὸν ἤγειρε μέγαν, ἵνα τοῖς ἑτέροις ἐμποιήσῃ φαντασίαν πόλεως καταπεπρησμένης. οἱ δὲ, ὡς εἶδον καταπλαγέντες τὴν μέλλουσαν ἅλωσιν, σφᾶς αὐτοὺς τῷ Πελοπίδᾳ παρέδωκαν· ὁ δὲ τὴν παρὰ τούτων δύναμιν προσλαβὼν, ἐπὶ τὴν ἑτέραν πόλιν ἐλθὼν, κἀκείνην παρεστήσατο, οὐκ ἔτι θαῤῥοῦσαν ἀντιτάξασθαι. οὕτως ἄρα τὴν μὲν εἰληφέναι δόξας, τὴν δὲ λαβὼν, ἀμφοτέρων ἐκράτησεν.

β′ Πελοπίδας ἐν Θετταλίᾳ ποταμὸν διαβῆναι μὴ δυνάμενος ἐπικειμένων πολεμίων, στρατοπεδεύσας τοῦ ποταμοῦ πρόσθεν, χάρακα περιεβάλλετο, πολλὴν ὕλην τεμὼν, ἀναπαύσας τοὺς στρατιώτας, νυκτὶ μέσῃ τὸν χάρακα κατέφλεξε. τοῦ δὲ πυρὸς ἐπὶ μέγα αἰρομένου πανταχόθεν, οἱ μὲν πολέμιοι διώκειν ἐκωλύοντο· οἱ δὲ ἀμφὶ Πελοπίδαν ἀσφαλῶς τὸν ποταμὸν διῆλθον.

γ′ Θήβας ἐφύλασσε φρουρὰ Λακωνικὴ, καὶ φρούραρχος ἐπὶ τῆς Καδμίας ἐτέτακτο· ἦν Ἀφροδίτης ἑορτή· αἱ μὲν γυναῖκες ἔπαιζον τῇ θεῷ· οἱ δὲ ἄνδρες ἀμφὶ ταύτας εἶχον· ἔδοξε τῷ φρουράρχῳ τιμῆσαι τὴν θεόν· ἐκάλεσεν ἑται-

audiviſſet, movit copias ad eam quæ ſuperari videretur, et ante mœnia ſylvam grandem incendens, maximum fumum excitavit, ut alteris opinionem incenſæ urbis injiceret. Quod cum illi vidiſſent, pertimeſcentes futuram captivitatem, Pelopidæ ſe dediderunt. Is aſſumtis horum copiis, tendens ad alteram urbem, ipſam quoque ad deditionem compulit, non amplius reſiſtere audentem. Sic alteram cepiſſe exiſtimatus, alteram capiens, utraque potitus eſt.

2 Pelopidas cum in Theſſalia flumen tranſire non poſſet, inſtantibus hoſtibus, caſtris ad fluvium poſitis, vallum circumdedit. Multis lignis exſectis, quietem militibus concedens, media nocte vallum combuſſit. Igni vero undique in altum ſublato, hoſtes ab inſequendo prohibebantur. Pelopidas cum ſuis abſque periculo trajecit.

3 Thebas præſidium Laconicum impoſitum tenebat, atque præfectus in Cadmia collocatus erat. Incidit feſtum Veneris. mulieres feſtivitatem deæ ludendo celebrant. Viri ſpectatores ſe præbebant. Viſum eſt præfecto, Deam venerari. Itaque

ἑταίρας· ἔχων ξιφίδιον κρυπτὸν Πελοπίδας εἰσέρχεται, καὶ τὸν Φρούραρχον ἀνελὼν, ἠλευθέρωσε τὰς Θήβας.

ΚΕΦ. Ε.

ΓΟΡΓΙΑΣ.

45 Γοργίας πρῶτος ἐν Θήβαις τὸν ἱερὸν λόχον συνέταξεν. ὁ λόχος ἦν ἐρασαὶ, καὶ ἐρώμενοι τριακόσιοι· φιλοῦντες γὰρ δὴ ἀλλήλους, οὐκ ἄν ποτε φύγοιεν, ἀλλ᾽ ἢ ὑπὲρ ἀλλήλων ἀποθάνοιεν, ἢ νικῷεν τοὺς πολεμίους.

β′ Γοργίας ἱππεῖς ἔχων Θηβαίους παρετάσσετο Φοιβίδᾳ πελτασὰς ἔχοντι· 46 σενοπόριον ἦν τὸ χωρίον. Γοργίας φεύγειν προσποιούμενος τοὺς πελτασὰς, ἐπὶ πόδα ἀνεχώρει· τῶν δὲ πολεμίων ἐγκειμένων, ὑπήγαγεν αὐτοὺς εἰς τὴν εὐρυχωρίαν· ἔνθα δὴ Γοργίας κράνος ἐπὶ δόρατος ἀνατείνας, σημεῖον ἔδωκεν ἀναςροφῆς· ὡς δὲ ἐν πλατυτέρῳ χωρίῳ τὸ ἱππικὸν ἀνέςρεψε, τὴν ἐμβολὴν τῶν ἵππων οὐ φέροντες αἱ πελτασαὶ, προτροπάδην ἐς Θεσπείας ἔφυγον.

45 Γοργίδας nominatur a Plutarcho in Pelopida. *Caſ.*
46 σενοπορία ἦν. *Vulg.*

que ſcorta advocabat. Pelopidas occultum pugionem gerens ingreditur, et, occiſo præfecto, Thebas liberavit.

CAP. V.

GORGIAS.

Gorgias primus Thebis ſacram cohortem inſtituit. Cohors conſtabat ex amatoribus et amaſiis trecentis Amantes enim ſe mutuo nunquam facile fugerint, ſed aut pro ſe mutuam mortem oppeterent, aut hoſtes ſuperarent ac vincerent.

2 Gorgias equitatum Thebanorum ducens, pugnam cum Phœbide ſcutatos habente parabat. Locus erat anguſtus admodum. Gorgias ſimulans fugere ſcutatos, receſſit. Hoſtibus autem incumbentibus, pertraxit eos in latam et explicatam planitiem. Ibi Gorgias galeam in haſta protendens, ſignum dedit ſuis revertendi. Cum vero in latiore loco equitatus ſe convertiſſet, impreſſionem equitum non ferentes ſcutati, effuſe ad Theſpias fugam ceperunt: unde factum eſt, ut

γη. . . . . 47 ἀφ' ὧν ἔφευγεν ἐν τῇ φυγῇ. Φοιβίδας δὲ διώκων, ἀντίκα φεύγων ᾤχετο.

ΚΕΦ. ϛ.

ΔΕΡΚΥΛΙΔΑΣ.

Δερκυλίδας ὤμοσε Μηδίᾳ τῷ τυράννῳ τῆς Σκήψεως, ἐφ' ᾧ προελθόντα ταχὺ καὶ ὁμιλήσαντα πάλιν εἰς τὴν πόλιν 48 ἀφῆναι· καὶ δὴ ὁ μὲν τύραννος προῆλθε· Δερκυλίδας δὲ προσέταξεν ἀνοῖξαι τὰς πύλας. εἰ δὲ μὴ, φονεύσειν αὐτὸν ἠπείλησεν· ἐπεὶ δὲ φοβηθεὶς ἀνέωξεν, ἀφίημί σε, ἔφη, νῦν ἐς τὴν πόλιν· τοῦτο γὰρ ὤμοσα· κἀγὼ δὲ μετὰ τῆς ἐμῆς δυνάμεως εἰσέρχομαι.

ΚΕΦ. Ζ.

ΑΛΚΕΤΑΣ.

Ἀλκέτας Λακεδαιμόνιος ἀπὸ τῆς Ἱστιαίας ὁρμώμενος, βουλόμενος λαθεῖν, πεπληρωκὼς ναῦς πολλὰς, καθελκύσας τριήρη μίαν, καὶ ἐς ταύτην 49 μέρος ἐμβιβάζων τοὺς στρα-

47 Mſſ. ἀφ' ὧν τὸ μὲν ἔφευγον. Interpres legiſſe videtur: ἀφ' ὧν, οἱ μὲν ἔπεσον ἐν τῇ φυγῇ. *Masv.* 48 Mſſ. ἀπεῖναι. 49 Legendum ἀνὰ μέρος. *Caſ.*

ut illi inter fugiendum caderent. Phœbidas vero in perſequendo confeſtim arrepta fuga, evaſit.

CAP. VI.

DERCYLLIDAS.

Dercyllidas jurejurando confirmavit Midia urbis Scepſeos tyranno, ſi procederet ad colloquium, ſe eum ſtatim in urbem rurſus dimiſſurum. Itaque proceſſit tyrannus: Dercyllidas portas aperire juſſit. Sin minus, ſe mortem ei allaturum minatus eſt. Poſtquam vero metu impulſus aperuiſſet: Nunc, inquit, in urbem te dimitto: hoc enim juravi: atque etiam ego cum exercitu meo ingredior.

CAP. VII.

ALCETAS.

Alcetas Lacedæmonius ab Iſtiæa ſolvens cum vellet celare, ſe multas naves inſtruxiſſe, attrahens unam triremem, in hanc partem militum impoſuit, ut potius

στρατιώτας, ἵνα [50] δοίη τοῖς πολεμίοις ἓν σκάφος ἔχειν. [51] ἣν καὶ τῶν τριῶν ἁπασῶν τὰ πληρώματα.

ΚΕΦ. Η.
ΑΡΞΙΛΑΙΔΑΣ.

Ἀρξιλαΐδας ὁ Λάκων μετὰ στρατεύματος διαπορεύεσθαι μέλλων ὁδὸν ὕποπτον, ὃ μὴ προείδη γενόμενον, ἐλογίζετο δὲ δύνασθαι γενέσθαι, τοῦτο ὡς προεγνωκὼς ἀπήγγειλε τῷ πλήθει. καὶ προσέταξε [52] διασκευασαμένους πρὸς μάχην ὁδοιπορεῖν, ὡς τῶν πολεμίων λοχώντων· κατὰ τύχην δὲ εὑρεθέντος μεγάλου λόχου, ὡς ἂν οὐ προειδόσι τὴν τῶν πολεμίων παρασκευὴν, αὐτὸς φθάσας ἐπέθετο, καὶ ῥᾳδίως ἅπαντας διέφθειρε τοὺς ἐνεδρεύσαντας, τῷ προπαρασκευάσθαι καταστρατηγήσας.

ΚΕΦ. Θ.
ΙΣΑΔΑΣ.

Ἰσάδας ὁ Λάκων μετὰ τὴν περὶ Λεῦκτρα συμφορὰν, Γύθιον, τὸ τῆς Σπάρτης ἐπίνειον, Θηβαίων ἔμφρουρον ποιησάν-

50 Scribendum δοκοίη. *Caſ.* 51 *Cant.* ἢ καὶ τῶν τριηρῶν πληρ. 52 Mſſ. διασκευασμένους.

potius unum navigium, quam omnes triremes ad bellum armatas habere videretur.

CAP. VIII.
ARCHILAIDAS.

Archilaidas Lacon cum exercitu per viam ſuſpectam iter facere volens, quod non præſcivit futurum, ſed cogitavit fieri poſſe, id quaſi præcognitum indicavit multitudini. Et præcepit, ut inſtructi ad pugnam proficiſcerentur, quoniam hoſtes inſidias tenderent. Caſu fortuito in maximas hoſtium inſidias inciderunt, quos de apparatu ipſorum nihil ſuſpicantes prior ipſe invaſit, et facile omnes occidit, qui poſiti in inſidiis fuerant, quoniam ſuos ante inſtrui ac parari juſſerat.

CAP. IX.
ISIDAS.

Iſidas Lacon poſt Leuctricam calamitatem cum Thebani in Gythio, portu Lacedæmonis, præſidium habe-

πάντων, ἑκατὸν ἡλικιώτας κοινωνὲς προσλαβὼν, λίπα τε ἐποίησεν αὐτὲς ἀλείψασθαι, καὶ στεφάνες ἐλαίας περιθέσθαι, καὶ ξίφος ὑπὸ μάλης ἔχοντας ἕπεσθαι· αὐτὸς μὲν δὴ γυμνὸς ἐξῆλθε δρόμῳ πολλῷ· οἱ δὲ ἡλικιῶται γυμνοὶ συνέθεον. τῶν δὲ Θηβαίων, ὑπὸ τῦ σχήματος ἀπατηθέντων, καὶ γυμνὲς καὶ παίζοντας δεξαμένων, οἱ Λάκωνες τὰ ξίφη σπασάμενοι, τὲς μὲν ἀπέκτεινον αὐτῶν, τὲς δὲ ἐξέβαλον· καὶ τὸ Γύθιον αὐτοὶ κατέσχον.

ΚΕΦ. Ι.

ΚΛΕΑΝΔΡΙΔΑΣ.

Κλεανδρίδας ἐπὶ Τέριναν ἀγαγὼν τὴν στρατιὰν ὁδὸν κοίλην, λάθρα προσπεσεῖν ἐπεχείρησεν τοῖς Τεριναίοις· οἱ δὲ, προαισθανόμενοι δι' αὐτομόλων, σπεύσαντες ἐπὶ τὴν ὁδὸν ὑπὲρ κεφαλῆς ἐγένοντο τῦ Κλεανδρίδε. ὁ δὲ, τῶν στρατιωτῶν ἀθύμως ἐχόντων, θαῤῥεῖν αὐτὲς κελεύσας, τὸν κήρυκα διὰ τῆς στρατιᾶς ἦγε, 52 κελεύσας ἀναβοᾷν, ὃς ἂν Τεριναίων τὸ σύνθημα λέγῃ τὸ προκείμενον, τῦτον φίλον ἡγεῖσθαι· ἀκέσαντες οἱ Τεριναῖοι τῦ συντάγματος ὑπόπτως ἔσχον, ὡς δὴ σφῶν αὐτῶν ὄντας τινὰς προδότας.

καὶ

53 Mſſ. προςάξας.

haberent, aſſumtis centum æqualibus, oleo juſſit eos ungi, et olivæ ſertis redimiri, atque enſem ſub ala geſtantes ſequi: ipſe nudus egrediebatur magno curſu. Æquales vero nudi una currebant. Thebanis autem habitu deceptis, et nudos ludentesque recipientibus, Lacones ſtrictis gladiis, alios ex ipſis occidebant, alios ejiciebant. Et ipſi Gythium obtinuerunt.

CAP. X.

CLEANDRIDAS.

Cleandridas ad Terinam ducens exercitum per viam cavam, ex improviſo Terenenſes obruere conabatur. Quod cum illi ex transfugis antea percepiſſent, feſtinantes ad viam, ſupra caput Cleandridæ evaſerunt. Ille milites triſtitia confectos juſſit bonum animum habere, et præconem per exercitum duxit, mandans, ut proclamaret: Qui Terenenſium propoſitam teſſeram proderet, eum ſe pro amico habiturum. Audientes hæc Terenenſes, ſuſpicionem mandati habuerunt, ut ex

ſe

καὶ ἔδοξεν αὐτοῖς τὴν ταχίστην ἀπαλλαγῶσι, φυλάττειν τὴν πόλιν. αἱ μὲν ἐξαπατηθέντες ἀπεχώρουν, Κλεανδρίδας δὲ ἀκινδύνως ἀνεβίβασεν ἐπὶ τὰ ὑψηλὰ καὶ τὴν στρατιάν. προσέτι καὶ λεηλατήσας τὴν χώραν, ἀσφαλῶς ἀπηλλάγη.

β′ Κλεανδρίδας Θουρίων ἡγούμενος μάχῃ νικήσας Λευκανοὺς, μετὰ τὴν νίκην ἦγε τοὺς Θουρίους ἐπὶ τὸν τόπον τῆς μάχης, δεικνύων αὐτοῖς, ὅτι αὐτοὶ μὲν, ἐν τῷ αὐτῷ μείναντες, διὰ τοῦτο ἐνίκησαν· οἱ πολέμιοι δὲ πολὺ ἀπ᾽ ἀλλήλων πεσόντες, τοῦτο ἔπαθον τῷ μὴ μένειν, ἀλλὰ διασπᾶσθαι. ταῦτα διεξιόντος πρὸς τοὺς Θουρίους, ἐπεφάνησαν οἱ Λευκανοὶ, πολλῷ πλείω δύναμιν ἔχοντες· ὁ δὲ ἐκ τῆς εὐρυχωρίας εἰς στενοπόρον χωρίον ὑπεξήγαγε τὴν ἑαυτοῦ στρατιὰν, ἵνα τὸ πλῆθος τῶν πολεμίων ἀχρεῖον κατασκευάσας, ἴσους τοὺς αὐτοῦ στρατιώτας ἐν τῇ στενότητι τοῦ τόπου πρὸς τὸν κίνδυνον καταστήσῃ· καὶ δὴ πάλιν Λευκανοὺς ἐνίκησαν οἱ Θούριοι.

γ′ Κλεανδρίδας τοὺς ἀρίστους Τεγεατῶν λακωνίζειν ὑποπτευομένους ἐποίησεν ὑποπτοτέρους, τὰ τούτων χωρία μόνον μὴ δῃώσας, τὰ δὲ τῶν ἄλλων λυμηνάμενος. οἱ μὲν οὖν Τε-

ſe ipſis aliquos exiſtimarent eſſe proditores: viſumque eſt eis ſtatim diſcedere, et urbem cuſtodire. Hi decepti diſceſſerunt. At Cleandridas ſine periculo copias ad excelſa duxit, atque inſuper populatus agros tuto diſceſſit.

2 Cleandridas Thuriorum dux, ſuperatis prœlio Lucanis, poſt victoriam Thurios ad pugnæ locum duxit, oſtendens eos, quoniam in eodem loco perſtiterint, idcirco victoria potitos eſſe. Hoſtibus vero a ſe mutuo proſtratis, ob eam cauſſam hoc accidiſſe, quod non in ſuis locis permanſerint, ſed diſtracti fuerint. Hæc illo commemorante Thuriis, apparuerunt Lucani longe majorem exercitum habentes. Qui a planitie in arctum et anguſtum ſuas copias deduxit, ut multitudinem hoſtium inutilem reddens, pares et æquales milites in anguſtia loci ad periculum ſubeundum efficeret. Atque iterum a Lucanis victoriam Thurii reportaverunt.

3 Cleandridas optimates Tegeatarum, Laconicis partibus favere ſuſpectos, reddidit ſuſpectiores. Nam illorum agris duntaxat non vaſtatis, reliquorum omnem terram

Τεγεᾶται σὺν πολλῇ ὀργῇ τοὺς ἄνδρας ἐς δίκην προδοσίας ὑπήγαγον· οἱ δὲ ἁλῶναι δείσαντες, τὴν ψῆφον προλαβόντες, προέδωκαν τὴν πόλιν, τὴν ψευδῆ ὑποψίαν ἀληθῆ ποιῆσαι φόβῳ βιασθέντες.

δ΄ Κλεάνδριδας, Λευκανοῖς πολεμῶν, ὑπερέχων ἡμιολίῳ πλήθει, λογισάμενος ὡς, εἰ φανερὸν τὸ πλῆθος γένοιτο τοῖς πολεμίοις, ἀναχωρήσουσι διακινδυνεύσαντες· τὴν φάλαγγα συνήγαγεν ἐς βάθος. ἐπεὶ δὲ Λευκανοὶ καταφρονήσαντες ὡς ὀλίγων ἐπὶ μῆκος ἐξέτειναν τὰ ζυγὰ ὑπερφαλαγγῆσαι πειρώμενοι, 54 καὶ βουλόμενοι, καὶ ἦν αὐτοῖς ἡ ἀναχώρησις. ἡπλωμένης τῆς φάλαγγος, παρήγγειλε τοὺς ἐπιστάτας μεταβαίνειν εἰς παραστάτην· πολλῷ δὲ ποιήσας ὑπερμηκεστέραν τὴν τάξιν, ὑπερεφαλάγγησε τοὺς Λευκανούς. οἱ δὲ κυκλωθέντες 55 βαλόμενοι πανταχόθεν, πάντες ἀπώλοντο, πλὴν ὀλίγων, οἱ διεσώθησαν αἰσχρῶς φεύγοντες.

ε΄ Κλεανδρίδας Θουρίοις ἐλάττοσιν οὖσιν παραγγέλλων μὴ συμβάλλειν πλήθει πολεμίων, ἔφη, ὅπου μὴ ἐξαρκεῖ ἡ λεοντῆ, τότε χρὴ καὶ τῆς ἀλωπεκῆς προσράπτειν.

ΚΕΦ.

54 Hæc verba in *Cant.* punctis erant notata; in margine vero, *κυκλουμένη ἦν, καὶ κεκλεισμένη ἦν ἡ ἀν. Maſu.*
55 *βαλλόμενοι Cant.*

terram perdidit. Tegeatæ igitur magna cum ira homines proditionis reos in judicium pertraxerunt: qui cum damnationem metuerent, calculum prævertentes, urbem prodiderunt, falſam ſuſpicionem veram efficere metu coacti.

4 Cleandridas cum Lucanis bellum gerens, cum ſuperaret eos dimidia multitudine, ratus ſi hoſtibus innoteſceret tanta multitudo, eos receſſuros ex periculo, denſam inſtruxit aciem. Cum autem Lucani tanquam paucos contemnentes in longum extenderent ordines, atque includere eos conarentur, ſibique reditum intercluſiſſent, ad dextrum latus extenta phalange, mandavit, ut epiſtatæ ad aſtitem tranſirent, et acie multo longius inſtructa circumdedit et incluſit Lucanos. Qui intercepti in medio, et undique proſtrati, omnes perierunt, exceptis paucis, qui fugam capeſſentes turpiter evaſerunt.

5 Cleandridas Thuriis numero paucioribus mandans, ne cum hoſtium multitudine congrederentur, inquit, Ubi non ſufficit pellis leonina, ibi vulpina adſuenda eſt.

CAP.

ΚΕΦ. ΙΑ.

ΦΑΡΑΚΙΔΑΣ.

Φαρακίδας Καρχηδονίων ἐφορμούντων Συρακούσαις, περιπεσὼν κατὰ τὸν πλοῦν Καρχηδονίαις τριήρεσι, καὶ ἀπὸ τούτων ἐννέα λαβὼν, ὅπως ἡσυχάσειαν οἱ Καρχηδόνιοι καταπλέοντες, ἐς τὰς αἰχμαλώτους τριήρεις τὰς ἐννέα ἀνεβίβασε τοὺς ἰδίους ἐρέτας, καὶ στρατιώτας· Καρχηδόνιοι γνωρίζοντες τὰ οἰκεῖα σκάφη, προσπλέοντας αὐτοὺς τῷ λιμένι τῶν Συρακουσίων οὐκ ἐκώλυσαν.

ΚΕΦ. ΙΒ.

ΔΗΙΦΟΝΤΗΣ.

Δηϊφόντης τοῖς Δωριεῦσι συνέταξεν ἐκκαλεῖσθαι τοὺς Ἀργείους ἐς μάχην. αὐτὸς δὲ τῶν νεῶν ἐπιβὰς ἐπὶ λόφῳ τινὶ περιωρμίσατο, ἔνθα οὐκ ἦν κάτοπτος· σκοπὸς ἤγγειλε· Δωριεῖς μὲν περιελαύνουσι λείαν· Ἀργεῖοι δὲ ἐκβοηθοῦσι, τὸ στρατόπεδον καταλιπόντες· Δηϊφόντης καὶ οἱ σύμμαχοι τῶν νεῶν ἐκδραμόντες αἱροῦσι τὸ στρατόπεδον ἔρημον. Ἀργεῖοι πατέρων, καὶ παίδων, καὶ γυναι-

CAP. XI.

PHARACIDAS.

Pharacidas Carthaginienſibus Syracuſas contendentibus, incidens inter navigandum in Carthaginienſes triremes, cum ex his novem cepiſſet, ut continerent ſe Carthaginienſes portum obſidentes, in captivas triremes novem, impoſuit ſuos remiges et milites. Carthaginienſes ſua navigia agnoſcentes, adnavigantes eos in Syracuſanorum portum non impediverunt.

CAP. XII.

DIEPHONTES.

Diephontes conſtituit cum Dorienſibus, ut Argivos provocarent ad pugnam. Ipſe vero conſcenſis navibus, ad collem quendam appulit, ubi latebat. Speculator conſtitutus nuntiat: Dorienſes prædam agunt, Argivi vero relictis caſtris, adverſus eos egrediuntur. Diephontes cum ſociis e navibus excurrentes, caſtra vacua et inania capiunt. Argivi parentibus, libe-

γυναικῶν ἑαλωκότων, ἐφ᾽ ᾧ τε σῶσαι τέτες, τὴν τε χώραν καὶ τὰς πόλεις παρέδοκαν Δωριεῦσιν.

ΚΕΦ. ΙΓ.

ΕΥΡΥΤΙΩΝ.

Εὐρυτίων βασιλεὺς Λακεδαιμονίων, ὁρῶν τὸν πρὸς Ἀρκάδας πόλεμον μηκυνόμενον, ϛάσιν αὐτοῖς ἐμποιῆσαι μηχανώμενος, κήρυκα ἔπεμψεν ἀγγέλλοντα· Λακεδαιμόνιοι παύονται πολεμῦντες, ἐάνγε τὲς ἐναγεῖς ἐξελάσητε· τέτες δὲ εἶναι τὲς Αἴγιναν ᾑρηκότας· οἱ δὲ τῦ φόνε τὴν αἰτίαν ἔχοντες, προσδοκῶντες ὑπὸ τῦ δήμε διωχθήσεσθαι διὰ τὴν τῆς εἰρήνης ἐπιθυμίαν, σὺν ἐγχειριδίοις ἐλθόντες, ἀπέσφαξαν ὅσες ἠδύναντο· πολλὲς δὲ καὶ συμμάχες προσεποιήσαντο, τὴν ἐλευθερίαν ὑπισχνέμενοι. οἱ δὲ τῆς εἰρήνης ἐπιθυμῦντες συνετάχθησαν, ὥστε δίχα διαιρεθέντες, ὁπλισάμενοι προελθόντες παρετάξαντο· οἱ δὲ τὰ τῦ δήμε φρονῦντες ἡττηθέντες, πρὸς μέρος τὶ τῦ τείχες καταφυγόντες, τὰς πύλας ἀνοίξαντες, Λακεδαιμονίες ἐδέξαντο. οἱ δὲ κατέσχον τῇ ϛάσει Μαντίνειαν, ἧς τῷ πολέμῳ κρατεῖν ἐκ ἠδύναντο.

ΚΕΦ.

liberis, et conjugibus captis, ut illos ſervarent, et regionem et urbes Dorienſibus tradiderunt.

CAP. XIII.

EURYTION.

Eurytion rex Lacedæmoniorum videns bellum adverſus Arcadas ſuſceptum protrahi ac duci, ut factionem inter ipſos moveret, præconem miſit qui nuntiaret: Lacedæmonii a bello deſiſtunt, ſi reos ac nocentes expuleritis. Eos autem eſſe, qui Æginam cepiſſent. qui rei de cæde, verentes, ne a populo ob pacis cupiditatem ad ſupplicium raperentur, cum gladiis venientes, quotquot potuerunt, morte affecerunt. Multos etiam ſocios aſciverunt, promiſſa libertate. Qui vero pacem concupierant, ad pugnam inſtruebantur, hinc in duas partes diviſi armis captis contra ſe invicem in aciem prodibant. At qui a populi partibus ſtabant, victi ad partem quandam mœniorum confugiebant, et apertis portis Lacedæmonios accipiebant: qui per factionem Mantineam obtinuerunt, quam bello non potuerunt capere.

CAP.

ΚΕΦ. ΙΔ.

ΕΦΟΡΟΙ.

Οἱ Ἔφοροι μηνυθέντες ἐπιβουλεύειν Κινάδωνα, συλλαβεῖν αὐτὸν ἐν τῇ πόλει συμφέρειν οὐχ ἡγούμενοι, τῶν ἱππέων τινὰς κρύφα προπέμψαντες ἐς Αὐλῶνα τῆς Λακωνικῆς οὐ πρὸ πολλοῦ, τὸν Κινάδωνα καλέσαντες μετὰ δύο στρατιωτῶν, ἐς Αὐλῶνα ἔπεμψαν ὡς ἐπὶ πρᾶξιν ἀπορρήτων· ὡς δὲ ἀφίκοντο, οἱ προπεμφθέντες ἱππεῖς συλλαβόντες αὐτὸν, στρεβλώσαντες, μαθόντες τοὺς κοινωνοὺς τῆς ἐπαναστάσεως, ἐπέστειλαν τοῖς Ἐφόροις· οἱ δὲ μαθόντες τοὺς μηνυθέντας, ἄνευ ταραχῆς ἀπέκτειναν, οὐ παρόντος τοῦ μεμηνυκότος.

β′ Οἱ Ἔφοροι πυθόμενοι τοῖς Παρθενίοις σημεῖον ξυγκείμενον, ὅταν μέλλωσιν ἄρχεσθαι τῆς ἐπαναστάσεως, ἐκ μέσης τῆς ἀγορᾶς πῖλον ἀνασχεῖν, προσέταξαν τῷ κήρυκι ἀναγορεῦσαι· οἱ τὸν πῖλον αἴρειν μέλλοντες, ἐκ τῆς ἀγορᾶς ἄπιτε. τούτου δὲ κηρυχθέντος, οἱ κοινωνοῦντες τῆς ἐπιθέσεως ἐπέσχον, ὡς προεγνωσμένης τῆς πράξεως.

ΚΕΦ.

CAP. XIV.

EPHORI.

Ephori certiores facti Cinadonem ipſis inſidias ſtruere, comprehendere ipſum in urbe non conducere rati, quibusdam equitibus clam Aulonem Laconicæ regionis præmiſſis non multo ante, Cinadonem vocatum cum duobus militibus Aulonem miſerunt, ad negotium quoddam arcanum. Qui cum veniſſent in conſtitutum locum, præmiſſi equites eum comprehenſum quæſtione adhibita examinarunt: cumque conjurationis ſocios cognoviſſent, ſcripſerunt Ephoris. Qui re cognita, indicatos ſine tumultu occiderunt, cum is qui indicarat præſto non eſſet.

2 Ephori audientes, a Partheniis ſignum eſſe conſtitutum, ut cum vellent incipere ſeditionem, in medio foro pileum attollerent, præconem juſſerunt proclamare: Qui pileum tollere vultis, ex foro diſcedite. Hoc promulgato, continuerunt ſe qui conſilii participes erant, quod rem præcognitam eſſe viderent.

CAP.

ΚΕΦ. ΙΕ.

ΙΠΠΟΔΑΜΑΣ.

Ἱπποδάμας ὑπὸ Ἀρκάδων ἐν Πρασίαις ἐπολιορκεῖτο· λιμὸς ἦν· οἱ Σπαρτιάται κήρυκα ἔπεμψαν· εἴσω παρελθεῖν Ἀρκάδες οὐκ ἐπέτρεψαν. Ἱπποδάμας ἀπὸ τοῦ τείχους τῷ κήρυκι ἀπεκρίνατο, τοῖς Ἐφόροις ἄγγελε, τὴν γυναῖκα κωλύειν, τὴν ἐν τῷ ἱερῷ τῆς Χαλκιοίκου δεδεμένην· οἱ μὲν Ἀρκάδες οὐκ ἐνόησαν· οἱ δὲ Λάκωνες συνῆκαν, ὅτι λιμὸν κωλύειν ἐπιστέλλοι. ἦν γὰρ ἐν τῷ ἱερῷ τῆς Χαλκιοίκου ἀνακειμένη λιμοῦ γραφὴ, γυνὴ γεγραμμένη, ὠχριῶσα, λεπτὴ, τὼ χεῖρε ὀπίσω δεδεμένη· ὥς τε τὸ ἀφανὲς τοῖς πολεμίοις, φανερὸν τοῖς πολίταις Ἱπποδάμαντος ἦν.

ΚΕΦ. Ιϛ.

ΓΑΣΤΡΩΝ.

Γάστρων Λακεδαιμόνιος, μέλλων ἐν Αἰγύπτῳ συμβαλεῖν τοῖς Πέρσαις, μετενέδυσε τὰς πανοπλίας. καὶ τὰς μὲν τῶν Ἑλλήνων τοῖς Αἰγυπτίοις· τὰς δὲ τῶν Αἰγυπτίων τοῖς

CAP. XV.

HIPPODAMAS.

Hippodamas ab Arcadibus Praſiis oppugnabatur. Cum fame premeretur, Spartiatæ præconem miſerunt, quem in urbem introire, Arcades non ſunt paſſi, Hippodamas a mœnibus præconi reſpondit: Ephoris nuntia, fœminam prohibere, in æde Chalciœci ligatam: Arcades non intellexerunt. At Lacones animadverterunt, quod famem prohibere diceret. Erat enim in æde Chalciœci ſuſpenſa Famis imago, fœmina picta ac pallens, tenuis, manibus in tergum revinctis. Itaque hoſtibus obſcurum, civibus vero manifeſtum fuit Hippodamantis dictum.

CAP. XVI.

GASTRON.

Gaſtron Lacedæmonius, in Ægypto prælium initurus cum Perſis, mutavit armaturas. Et Græcorum armis Ægyptios, Ægyptiorum vero Græcos induit. Occultans au-

τοῖς Ἕλλησι περιέθηκε. κρύψας δὲ τοὺς Αἰγυπτίους ἐν τοῖς Ἕλλησι, παρατάξας προῆγε τοὺς Ἕλληνας. τῶν δὲ οὐδὲν ἐνδιδόντων, ἀλλ' εἰς τοὔμπροσθεν βιαζομένων, καὶ προθύμως κινδυνευόντων, ἐξανίστησι τοὺς Αἰγυπτίους ἐν τοῖς ὅπλοις τοῖς Ἑλληνικοῖς· ἰδόντες δὲ οἱ Πέρσαι, καὶ τοὺς Ἕλληνας ὑπονοήσαντες ἐπιέναι, λύσαντες τὴν τάξιν ἔφυγον.

ΚΕΦ. ΙΖ.

ΜΕΓΑΚΛΕΙΔΑΣ.

Μεγακλείδας συμφυγὼν ἐς ὄρος δασὺ, πολιορκούμενος, διελὼν τοῦ στρατεύματος, ὃ μὲν ἀχρεῖον ἦν καὶ βαρύτερον, φεύγειν ἐκέλευσε διὰ τῆς ὕλης, εἰδὼς ὅτι φανερόν ἐστι τοῖς πολεμίοις· οἱ μὲν ὥρμησαν ἐπὶ τοὺς φεύγοντας. ὁ δὲ τὴν εὔχρηστον καὶ γενναίαν δύναμιν ἔχων ἐπὶ τὴν ἐναντίαν ὁδὸν τῆς ὕλης τραπόμενος, ὑπεξέφυγεν ἀσφαλῶς.

ΚΕΦ. ΙΗ.

ΑΡΜΟΣΤΗΣ.

Ἁρμοστὴς Λακεδαιμόνιος ὑπὸ Ἀθηναίων ἐπολιορκεῖτο. δυοῖν ἔτι λοιπὸν ἡμερῶν ἔχων ἔνδον τροφάς· κήρυξ ἧκε Σπαρ-

autem Ægyptios armatura Græcorum, inſtructa acie produxit Græcos. Quibus nihil remittentibus, ſed vi patefacientibus præ ſe viam, atque alacriter periculum ſubeuntibus, excitavit Ægyptios in armis Græcis. Perſæ id videntes, et Græcos accedere ſuſpicati, perturbatis ordinibus in fugam ſe conjecerunt.

CAP. XVII.

MEGACLIDAS.

Megaclidas, cum in montem arboribus denſum confugiſſet, obſeſſus, exercitum diviſit, et eam partem quæ inutilis erat, atque gravior, per ſylvam fugam capere juſſit: ſciens id hoſtibus perſpicuum fore. Quibus in fugientes impetum facientibus, tum ille utiliori et ſtrenua parte copiarum, ad contrariam ſylvæ viam converſus, aufugit ſine periculo.

CAP. XVIII.

HARMOSTES.

Harmoſtes Lacedæmonius ab Athenienſibus obſidebatur, duorum adhuc dierum commeatu inſtructus. Præco

Σπαρτιάτης· ἐ συνεχώρεν Ἀθηναῖοι βαδίζειν εἴσω τῦ τείχες, ἀλλὰ πρὸ τῦ τείχες λέγειν ἃ βέλοιτο, πάντων ἀκέοντων· ὁ κήρυξ, θαῤῥεῖν, ἔφη, 56 κελεύεσί σοι Λακεδαιμόνιοι, καὶ προσδέχεσθαι βοήθειαν διὰ τάχες· ὁ δὲ Ἁρμοςὴς μὴ πάνυ ἔφη σπεύσητε βοηθῦντες· τροφὰς γὰρ ἔχεσι πέντε μηνῶν ἔτι. Ἀθηναῖοι, καὶ γὰρ χειμὼν προσῄει, μακρὰν καὶ χειμερινὴν πολιορκίαν ἀπαγορεύσαντες, καὶ δὴ διαλύσαντες τὸ ςρατόπεδον ᾤχοντο.

ΚΕΦ. ΙΘ.

ΘΙΒΡΩΝ.

Θίβρων ἐν Ἀσίᾳ χωρίον πολιορκῶν, τὸν Φρέραρχον ἔπεισεν ἐπὶ συνθήκας προελθεῖν, ὀμόσας εἰ μὴ συντίθοιντο, πάλιν αὐτὸν εἰς τὸ Φρέριον καταςήσειν. ὁ μὲν προῆλθε, καὶ λόγων ἐκοινώνησεν· οἱ δὲ τῦ Φρερίε Φύλακες διαλύσεως ἐλπίδι ῥαθυμότερον εἶχον· ἐν τῷ καιρῷ τέτῳ προσβάλλοντες οἱ Θιβρώνιοι κατὰ κράτος αἱρῦσι τὸ χωρίον. Θίβρων δὲ τὸν Φρέραρχον εἰς τὸ χωρίον ἀγαγὼν κατὰ τὲς ὅρκες, προσέταξεν αὐτὸν ἔνδον ἀναιρεθῆναι.

ΚΕΦ. Κ.

56 MſſC. κελεύεσί σε.

Præco venit Spartiata. Non permiſerunt Athenienſes, ut intra mœnia veniret: ſed ante mœnia diceret, quæ vellet. Omnibus audientibus præco inquit: Lacedæmonii bonum animum habere jubent, et mox venturum auxilium expectare. Harmoſtes, ne, inquit, omnino feſtinetis opem ferendo. Commeatum enim adhuc quinque menſium habemus. Athenienſes (nam hyems ingruebat) diuturnam et hyemalem oppugnationem deſperantes, et exercitum diſſolventes, abſceſſerunt.

CAP. XIX.

THIBRON.

Thibron in Aſia caſtellum oppugnans, præfecto cuſtodiæ perſuaſit, ut ad faciendum fœdus prodiret, jurans, ſi non feriretur, ſe rurſus ipſum in caſtellum reſtiturum. Qui quidem proceſſit, et in colloquium venit. Cuſtodes autem caſtelli, ſpe pacis diſſolutius agebant. Interea Thibronii impreſſionem facientes, vi munitionem capiunt. Thibron vero præfectum cuſtodiæ reductum in caſtellum, quemadmodum jusjurandum habebat, juſſit eum intus morte affici.

ΚΕΦ. Κ.
ΔΗΜΑΡΑΤΟΣ.

Δημάρατος ἐπιςέλλων Σπαρτιάταις, περὶ τῆς Ξέρξȣ ϛρατείας ἐς πτύχα ἀκήρωτον τὴν ἐπιςολὴν γράψας ἐπεκήρωσεν, ἵνα ὡς ἄγραφος διὰ τῶν φυλάκων 57 κομισθείη.

ΚΕΦ. ΚΑ.
ΗΡΙΠΠΙΔΑΣ.

Ἡριππίδας ἀφικόμενος εἰς Ἡράκλειαν τὴν Τραχινίαν, συναγαγὼν ἐκκλησίαν, περιςήσας τȣ̀ς ὁπλίτας ἐκήρυξε τȣ̀ς Τραχινίȣς καθίσαι χωρίς. οἱ μὲν ἐκάθισαν· ὁ δὲ ἐκέλευσεν αὐτȣ̀ς, περὶ ὧν ἀδικȣ̃σιν, Λακεδαιμονίοις κρίσιν ὑποσχεῖν, ὡς νόμιμόν ἐςιν ἐν τῇ Σπαρτιάτιδι δεθέντας. ἐπεὶ δὲ ὑπὸ τῶν ὁπλιτῶν δεθέντες, ἔξω πυλῶν ἤχθησαν, καὶ δὴ πάντες ἀνῃρέθησαν.

ΚΕΦ. ΚΒ.
ΙΣΧΟΛΑΟΣ.

Ἰσχόλαος ἐν Αἴνῳ πλησίον ὁρῶν Ἀθηναίȣς ἐφορμȣ̃ντας ναυσὶ πολλαῖς, δεδοικὼς μὴ νύκτωρ ἐπιπλεύσαντες πολλὰ τῶν

57 Mſſ. κομισθῇ.

CAP. XX.
DEMARATUS.

Demaratus litteras mittens Spartiatis de exercitu Xerxis, in tabula experte ceræ ſcriptam epiſtolam cera obduxit, ut per cuſtodes quaſi ſine litteris ferretur.

CAP. XXI.
ERIPPIDAS.

Erippidas cum veniſſet Heracleam Trachiniam, vocata concione, poſitis in circuitu armatis, promulgavit, ut Trachinii ſeorſim ſederent. Quibus ſedentibus, ille juſſit de ſuis injuriis cauſſam apud Lacedæmonios dicere, quemadmodum vinctos in Spartiatide leges jubent. poſt ab armatis vincti, extra portas educti omnes interfecti ſunt.

CAP. XXII.
ISCHOLAUS.

Iſcholaus in Æno videns Athenienſes adnavigare multis navibus, ueritus ne ſub noctem appellentes, multa ex

τῶν πλοίων αὐτοῦ μετὰ βίας ἀποσπάσωσι, πρὸς τὸν πύργον τὸν ἐπὶ τοῦ χώματος, ἅπαντα προσαγαγὼν ἔδησεν ἐκ τῶν ἱςῶν· τὰ δὲ πορρωτέρω σχοινίοις ἐκ τῶν πλοίων συνῆψεν, ὥς τε τὸν σύνδεσμον εἶναι δι᾽ ἀλλήλων· οἱ μὲν Ἀθηναῖοι νυκτὸς ἐπελθόντες ἀφέλκειν πειρώμενοι, τῶν πλοίων οὐδὲν ἀπέσυραν· οἱ δὲ ἀπὸ τῆς Αἴνου τῶν φυλάκων ἀγγειλάντων 58 ὑπεξελθόντες, ἐδίωξαν τοὺς Ἀθηναίους, οἱ μὲν ἀπὸ τῆς γῆς, οἱ δὲ ἀπὸ τῶν νεῶν.

β' Ἰσχόλαος ἐν ὁδῷ κατὰ μὲν θάτερον ἀποκρήμνῳ καὶ σφαλερᾷ, κατὰ θάτερον δὲ ὄρος ἐχούσῃ, ὃ κατεῖχον οἱ πολέμιοι, πνεύματος γινομένου μεγάλου, τὴν ὕλην ἐνέπρησεν. ὥς τε τῶν παραφυλαττόντων πολεμίων, ὑπὸ τοῦ καπνοῦ καὶ τοῦ πυρὸς διωχθέντων, κατὰ τοῦτο τὸ μέρος ἀσφαλῶς τὴν δύναμιν ἤγαγεν.

γ' Ἰσχόλαος ὑπὸ Χαβρίου πολιορκούμενος ἐν Δρυΐ, μέλλοντος προσάγειν τοὺς κριοὺς, αὐτὸς φθάσας μέρος κατέβαλε τοῦ τείχους· ἄμφω μηχανώμενος· τοῖς μὲν αὐτοῦ ςρατιώταις, ἀνδρειότερον ἀγωνίσασθαι, τὸ τοῦ τείχους ὀχυρὸν οὐκ ἔχουσι· τοῖς δὲ πολεμίοις τὸ καταπεφρονῆσθαι τὴν

58 ἐπεξελθόντες Mſſ.

ex ſuis navigiis vi abſtraherent, ad turrim, quæ in vallo erat, omnia perducta ligaverunt ex malis. Remotiora per funes inter ſe invicem conjunxerunt, ut mutua eſſet connexio. Athenienſes noctu accedentes, abſtrahere conati navigia, nihil abſtraxerunt. At illi ab Æno nuntiantibus cuſtodibus clam egreſſi, inſecuti ſunt Athenienſes partim terra, partim navibus.

2 Iſcholaus in itinere ab altero latere præcipitia et periculoſa loca, ab altero montem habente, quem tenebant hoſtes, orto ingenti vento, ſylvam incendit. Itaque hoſtibus, qui montem obſidebant, fumo et igni dejectis, hac parte exercitum abſque periculo duxit.

3 Iſcholaus cum in Drye oppugnaretur a Chabria, volente arietes admovere, prior ipſe muri partem dejecit: utrumque ſecum reputans, ut ſui milites fortius pugnarent, cum munitionem mœniorum non haberent: et hoſtes exiſtimarent, ſuas machinas oppugna-

τὴν παρασκευὴν τῶν πολιορκητικῶν μηχανημάτων· ἀμέλει τὴν ἑκούσιον ἀποτείχισιν φοβηθέντες, παρελθεῖν εἰς τὴν πόλιν οὐκ ἐθάρσησαν.

δ' Ἰσχόλαος, προσκαθημένων Ἀθηναίων, πυθόμενος εἶναί τινας τῶν φυλάκων τοὺς προδιδόντας, νύκτωρ ἐφοδεύων τὰς φυλακὰς ἑκάστῳ τῶν φυλάκων παρέζευξε τῶν μισθοφόρων ἕνα. τοῦτο πράξας, ἀταράχως ἔφυγε τῆς προδοσίας τὸν κίνδυνον.

ΚΕΦ. ΚΓ.

ΜΝΑΣΙΠΠΙΔΑΣ.

Μνασιππίδας ὀλίγον πλῆθος ἦγεν· ἐπεὶ δὲ νυκτὸς ἐπέθεντο πολέμιοι, τοὺς ψιλοὺς καὶ τοὺς σαλπιγκτὰς ἐκέλευσεν ἐν τῷ [59] σκότῳ περιελθόντας ὄπισθεν τῶν ἐπιτιθεμένων σημαίνειν τὸ πολεμικὸν, καὶ ἀκροβολίζεσθαι· οἱ δὲ ὡς ὑπὸ πλήθους πολλοῦ κυκλούμενοι, διὰ τάχους ἀνεχώρησαν.

ΚΕΦ. ΚΔ.

59 *σκότει Vulg.*

oppugnatorias eſſe contemtas. Certe hoſtes ſpontaneam mœniorum deſtructionem metuentes, ingredi in urbem non audebant.

4 Iſcholaus, obſidentibus Athenienſibus, audiens aliquos ex cuſtodibus moliri proditionem, noctu vigilias adiens, unicuique cuſtodi mercenarium unum adjunxit. Hoc facto, ſine tumultu proditionis periculum effugit.

CAP. XXIII.

MNASIPPIDAS.

Mnaſippidas exiguam multitudinem ducebat. Cum autem hoſtes noctu impetum facerent, juſſit levis armaturæ milites et tibicines in tenebris circumire, et a tergo impetentium, claſſicum canere, ac jacula mittere. Illi igitur, tanquam incluſi a magna multitudine, confeſtim diſceſſerunt.

CAP. XXIV.

ΚΕΦ. ΚΔ.
ΑΝΤΑΛΚΙΔΑΣ.

Ἀνταλκίδας ἐν Ἀβύδῳ μετὰ ναυτικοῦ πλείονος διατρίβων, Ἀττικὰς τριήρεις ὁρμούσας ἐν Τενέδῳ μαθὼν, φοβουμένας ἐς Βυζάντιον διαπλεῦσαι πρὸς Ἰφικράτην, ἀγγείλαντος τινὸς ὡς Ἰφικράτης πολιορκοίη Χαλκηδονίους, φίλους ὄντας, παρήγγειλεν ἀποπλεῖν εἰς Χαλκηδόνα· καὶ ἀναχθεὶς ἐνήδρευσεν περὶ τὴν Κυζικηνήν· οἱ δὲ ἀπὸ τῆς Τενέδου τὴν 60 ἀναγωγὴν τὴν Ἀνταλκίδου πυθόμενοι, κατὰ τάχος ἐπειρῶντο πρὸς τὸν Ἰφικράτην πλεῖν· ἐπεὶ δὲ ἐγένοντο κατὰ τὰς τῶν πολεμίων τριήρεις, οὐχ ὁρωμένας, ἀλλ' ἀφανῶς ἐφορμούσας, Ἀνταλκίδας ἄφνω προσπεσὼν ταῖς Ἀττικαῖς, τὰς μὲν κατέδυσε, τῶν δὲ πλειόνων ἐκράτησεν.

ΚΕΦ. ΚΕ.
ΑΓΗΣΙΠΟΛΙΣ.

Ἀγησίπολις Μαντίνειαν ἐπολιόρκει μετὰ τῶν συμμάχων· οἱ πρὸς τοὺς Μαντινεῖς εὖ διακείμενοι, διὰ τὸ Λα-

κεδαι-

60 Mſſ. ἀγωγήν.

CAP. XXIV.
ANTALCIDAS.

Antalcidas in Abydo cum majore claſſe deſidens, cum Atticas triremes in Tenedo appellere cognoviſſet, metuentes Byzantium trajicere ad Iphicratem, nuntiante quodam Iphicratem oppugnare Chalcedonios, ſocios et amicos, præcepit ſuis, ut ad Chalcedonem naves dirigerent. ſolvensque ad Cyzicenam terram in inſidiis delituit. Qui vero in Tenedo erant, audita ſolutione Antalcidæ, confeſtim ad Iphicratem navigare inſtituerunt. Poſtquam autem ad hoſtium triremes venerunt, quæ non cernebantur, ſed occulte ſtabant, Antalcidas repentino impetu Atticas invadens, aliquas ſubmerſit, plurimis vero potitus eſt.

CAP. XXV.
AGESIPOLIS.

Ageſipolis Mantineam oppugnabat cum ſociis: qui bene erga Mantinenſes affecti, tamen Lacedæmo-

κεδαιμονίους ἄρχειν τῆς Ἑλλάδος εἵποντο μὲν ἐπὶ τὸν πόλεμον, κρύφα δὲ εἰσέπεμπον τοῖς Μαντινεῦσι νυκτὸς ὧν ἐδέοντο· Ἀγησίπολις μαθὼν τὰ δρώμενα, κύνας περὶ τὸ στρατόπεδον ἠφίει πολλούς· πλείονας δὲ κατὰ τὸ μέρος τὸ πρὸς τὴν πόλιν, ὅπως μηδεὶς αὐτομολοίη, φυλαττόμενος ὑπὸ τῶν κυνῶν ἁλῶναι.

ΚΕΦ. Κϛ.

ΣΘΕΝΙΠΠΟΣ.

Σθένιππος Λάκων ζημιωθεὶς χρήμασιν ὑπὸ τῶν Ἐφόρων, προσποιητῶς αὐτομολῆσαι πρὸς τοὺς Τεγεάτας ὑποκρινόμενος· δεξαμένων αὐτὸν ὡς αἰτίαν ὀργῆς δικαίαν ἔχοντα, τοὺς διαπολιτευομένους τῷ ἄρχοντι αὐτῶν Ἀριστοκλεῖ διαφθείρας, μετὰ τούτων, πομπῆς οὔσης, θύειν αὐτὸν μέλλοντα προσπεσὼν ἀπέκτεινεν.

ΚΕΦ. ΚΖ.

ΚΑΛΛΙΚΡΑΤΙΔΑΣ.

Καλλικρατίδας Κυρηναῖος, τὸν τὴν ἄκραν Μαγνησίας φυλάττοντα. . αὐτοῦ δέξασθαι δ᾽· τοῦ δὲ ἐπιτρέψαντος, ἕκαστον

nios Græciæ imperium tenentes ſequebantur ad bellum; clam vero Mantinenſibus intromittebant, quibus eis opus erat. Ageſipolis cum didiciſſet, quæ fierent, multos canes circum caſtra dimiſit. Plures autem ea parte, quæ ſpectabat ad urbem, ne quis tranſiret, cavens ne a canibus interciperetur.

CAP. XXVI.

STHENIPPUS.

Sthenippus Lacon mulctatus pecuniis ab Ephoris, ficte ad Tegeatas transfugit. Quibus eum recipientibus, quaſi juſtam iræ cauſſam habentem, corruptis, qui principi ipſorum Ariſtocli in adminiſtranda republica adverſarii erant, iis ſociis uſus inter pompam ſacrificare eum volentem adortus, interfecit.

CAR. XXVII.

CALLICRATIDAS.

Callicratidas Cyrenenſis, ab eo qui arcem Magneſiæ cuſtodiebat, petiit, ut quatuor ex ſuis *ægrotantes* reciperet.

ἕκαστον θωρακίσας κατέκλινε, σπάθας αὐτοῖς παραθεὶς χλανίδα ἐπιβαλὼν ἄνωθεν. ἐπεὶ δὲ κλίνας δ' φέροντες ἔνδον πυλῶν ἐγένοντο εἴκοσιν ὁμοῦ νεανίαι, ὡπλισμένοι, τοὺς φύλακας ἀποσφάξαντες, τὴν ἄκραν κατέσχον.

β' Καλλικρατίδας ἐν Μαγνησίᾳ πολιορκούμενος, τῶν πολεμίων κριοὺς προσαγαγόντων τοῖς τείχεσιν, αὐτὸς κατὰ τὸ ἀπρόσμαχον τοῦ τείχους παῤῥήξας τοῦ πύργου μέρος, παραφυλάξας τὸν καιρὸν τῆς τῶν προσβαλόντων διαδοχῆς, περιῆλθε τὸ τεῖχος· καὶ κατὰ νώτου προσπεσὼν, πολλοὺς μὲν αὐτῶν διέφθειρεν, οὐκ ὀλίγους δὲ ἐζώγρησε· μετὰ δὲ τὴν νίκην, τὸ τεῖχος ἀνῳκοδόμησεν.

ΚΕΦ. ΚΗ.

ΜΑΓΑΣ.

Μάγας ἀπὸ Κυρήνης ἐκστρατεύων, κατέλιπε μὲν καὶ τῶν φίλων τοὺς φρουρήσοντας τὴν πόλιν· ὄργανα δὲ καὶ βέλη, καὶ μηχανήματα, κατέκλεισεν εἴσω τῆς ἄκρας· ἀφῄρει δὲ καὶ τῶν τειχῶν τὰς ἐπάλξεις, ὅπως, εἴ τινες νεωτερίσειαν, ἀνεωγυῖαν ἔχοι τὴν διὰ τῶν πυλῶν εἴσοδον.

β' Μάγας

ciperet. Quo permittente, ſingulos thoracibus indutos reclinavit, enſesque deſuper chlamyde tectos appoſuit. Cum qui lectos quatuor portabant, intra portas veniſſent, viginti ſimul juvenes armati cuſtodibus trucidatis, arcem obtinuerunt.

2 Callicratidas, cum Magneſiæ oppugnaretur, hoſtibus arietes admoventibus, ipſe in eo loco, ubi mœnia oppugnari non poterant, diſtrahens partem ex turri, obſervans tempus oppugnantium ſucceſſionis, circumivit mœnia: et a tergo irruens, multos ex ipſis interfecit. Non paucos etiam vivos cepit. Poſt victoriam autem, mœnia rurſus exædificavit.

CAP. XXVIII.

MAGAS.

Magas a Cyrene expeditionem faciens, reliquit ſocios qui urbem tuerentur. Inſtrumenta vero atque tela ac machinas in arcem incluſit, et mœniorum propugnacula ſuſtulit, ut ſi quid novarum rerum molirentur, apertum haberet per portas introitum.

2 Magas

β′ Μάγας Παραιτόνιον κατασχὼν, συνέταξε τοῖς φρυκτωροῖς πυρσὸν φίλιον αἴρειν ἑσπέρας· καὶ πάλιν βαθέος ὄρθρου τὸν αὐτόν. τῇ τῶν πυρσῶν ἀπάτῃ προῆλθε τῆς χώρας, 61 ἄχρι τοῦ Χίου καλουμένου.

ΚΕΦ. ΚΘ.

ΚΛΕΩΝΥΜΟΣ.

Κλεώνυμος Λακεδαιμονίων βασιλεὺς, Τροιζῆνα πολιορκῶν, κατὰ πολλὰ μέρη τῆς πόλεως ὀξυβελεῖς περιστήσας, ἐκέλευσεν ἀφιέναι, τοῖς βέλεσιν ἐπιγράψας· ἥκω τὴν πόλιν ἐλευθερώσων. ἔχων δὲ καὶ Τροιζηνίους αἰχμαλώτους, ἀφῆκεν ἄνευ λύτρων· οἱ μὲν αἰχμάλωτοι εἴσω παρελθόντες εὐηγγελίζοντο. Εὐδαμίδας δὲ στρατηγὸς 62 κρατερῶς φυλάττων τὴν πόλιν τοῖς νεωτερίζουσι παρετάττετο· καὶ δὴ τῶν ἔνδον ἀλλήλοις μαχομένων, Κλεώνυμος προσθεὶς κλίμακας ἐξεῖλε τὴν πόλιν, καὶ διήρπασε, καὶ Σπαρτιάτην ἁρμοστὴν μετὰ φρουρᾶς ἐπέστησεν.

β′ Κλεώνυμος Ἔδεσσαν πολιορκῶν, τοῦ τείχους πεσόντος, τῶν πολεμίων ἐπελθόντων σαρισσοφόρων· ἑκάστη δὲ σάρισ-

61 ἄχρι τοῦ χι καλουμένου Mſſ. et Codd. *Caſ.* 62 κρατεροῦ *Flor.* quod melius eſt. *Maſv.*

2 Magas occupato Paraetonio, compoſuit cum ſpeculatoribus, ut facem amicam tollerent ſub veſperam atque iterum ſummo mane eandem. Facium dolo proceſſit in regione uſque ad eum locum qui Chius dicitur.

CAP. XXIX.

CLEONYMUS.

Cleonymus Lacedæmoniorum rex, Trœzenem urbem oppugnans, ad multas urbis partes circumcirca expeditos jaculatores collocavit, et emittere juſſit, jaculis inſcribens: Venio, ut civitatem in libertatem aſſeram. Trœzenios etiam, quos captivos habebat, ſine redemtionis pretio dimiſit. Captivi in urbem reverſi, fauſtum nuntium adferebant. Eudamidas vero dux ſumma diligentia cuſtodiens civitatem, cum his qui novas res agitarent, pugnabat. Cùm intus illi inter ſe dimicarent, Cleonymus appoſitis ſcalis, evertit civitatem atque diripuit. Et Spartiatam præfectum cum præſidio impoſuit.

2 Cleonymus Edeſam oppugnans, cum mœnia cecidiſſent, et hoſtes exirent ſariſſigeri, (quælibet ſariſſa cubi-

σάρισσα πηχῶν ἦν ἑκκαίδεκα· ἐπύκνωσε τὴν αὐτοῦ φάλαγγα ἐς βάθος· τοὺς δὲ πρωτοστάτας καὶ τοὺς τούτων ἐπιστάτας ἄνευ δοράτων ἔταξε, παραγγείλας, ἂν συμμίξωσιν οἱ σαρισσοφόροι, διαλαβεῖν ἀμφοτέραις ταῖς χερσὶ τὴν σάρισσαν, καὶ κατέχειν. τοὺς δὲ ἑπομένους παρὰ πλευρὸν ἑκάστου παρελθόντας ἐνεργεῖν τὴν μάχην· οἱ μὲν ἐλάβοντο τῶν σαρισσῶν. οἱ δὲ ἀνθέλκοντες ἦσαν· οἱ δὲ κατόπιν παρελθόντες ἀνεῖλον τοὺς σαρισσοφόρους, καὶ ἄχρηστον ἠλέγχθη τὸ σαρίσσης μέγεθος, τῇ Κλεωνύμου δεινότητι.

ΚΕΦ. Λ.

ΚΛΕΑΡΧΟΣ.

Κλέαρχος Ἡρακλεώτης, ἀκρόπολιν ἀναστῆσαι βουλόμενος, μισθοφόρους συνέταξε λεληθότως ἐξιέναι νυκτὸς, λωποδυτεῖν, ἁρπάζειν, ὑβρίζειν, τιτρώσκειν. ἀγανακτοῦντες οἱ πολῖται, παρεκάλεσαν Κλέαρχον βοηθεῖν· ὁ δὲ οὐκ ἄλλως ἔφη δυνατὸν εἶναι τὴν ἀπόνοιαν αὐτῶν κατασχεῖν, εἰ μή τις αὐτοὺς περιτειχίσειεν. συγχωρησάντων Ἡρακλεωτῶν, τόπον τῆς πόλεως περιτειχίσας, ἀκρόπολιν κατασκευάσας,

οὐκ

cubitorum' ſexdecim erat) ſuam phalangem in latitudinem condenſavit. Anteſignanos autem, et horum aſtites, ſine haſtis collocavit, dato præcepto, ut, ſi ſariſſigeri aggrederentur, ipſi utraque manu ſariſſam apprehenderent, atque tenerent. At ſequentes ad uniuscujusque latus procederent, et pugnam facerent. Qui cum manibus arriperent ſariſſas, hoſtes retrahebant. Poſteriores vero accedentes, interfecerunt ſariſſigeros, et Cleonymus oſtendit ſua ſolertia, magnitudinem ſariſſæ nulli uſui eſſe.

CAP. XXX.

CLEARCHUS.

Clearchus Heracleotes arcem ædificare volens, conſtituit, ut mercenarii noctu clam exirent, raperent, agerent, injuriam inferrent, vulnerarent. Cives id indigne ferentes, Clearchi auxilium imploraverunt. Qui neminem aliter audaciæ immanitatem eorum cohibiturum dixit, niſi quis ipſos mœnibus circumdaret. Permittentibus Heracleotis, locum civitatis munivit: arce

facta,

οὐκ ἐκείνους ἐκώλυσεν, ἀλλ' αὐτῷ τὸ ἐξεῖναι πάντας ἀδικεῖν παρέσχεν.

β' Κλέαρχος Ἡρακλείας τύραννος ἐλογοποίησεν, ὡς ἀπαλλαγῆναι βουλόμενος μετὰ τῶν δορυφόρων, καὶ τῇ βουλῇ τῶν τριακοσίων παραδοῦναι τὰ πράγματα· οἱ δὲ συνῆλθον ἐς τὸ βουλευτήριον ὡς ἐπαινεσόμενοι Κλέαρχον, καὶ τὴν ἐλευθερίαν ἀποληψόμενοι. ὁ δὲ περιστήσας τῷ βουλευτηρίῳ στρατιώτας, τῶν τριακοσίων ὑπὸ τοῦ κήρυκος ἀνακαλουμένων, καθ' ἕνα συλλαβὼν, ἐκέλευσε πάντας ἄγειν εἰς τὴν ἀκρόπολιν.

γ' Κλέαρχος βουλόμενος πολλοὺς τῶν πολιτῶν ἀποκτεῖναι, πρόφασιν οὐκ ἔχων, 63 κατέλεξε τοὺς ἀπὸ ἑκκαίδεκα ἐτῶν μέχρι ε' καὶ ζ' ἐπὶ στρατείαν ἐν τοῖς κυνικοῖς καύμασιν, ὡς πόλιν Ἀστακηνῶν πολιορκήσων. ἐπεὶ δὲ ἧκε τῆς Ἀστακοῦ πλησίον, τοὺς μὲν πολίτας ἐν ἑλώδει χωρίῳ καὶ ἀνηνέμῳ, καὶ μεστῷ στασίμων ὑδάτων, ἐκέλευσε στρατοπεδεῦσαι, παραγγείλας προσέχειν, μὴ Θρᾷκες ἐπιφανῶσιν ἐκ τῆς χώρας. αὐτὸς δὲ, ὡς κακοπαθήσων περὶ τὴν πολιορκίαν

63 Mſſ. κατέλεγε. Numeri, qui ſequuntur ε' καὶ ζ', corrupti ſunt. *Maſv.*

facta, non illos arcuit, ſed poteſtatem ad injuriam omnibus inferendam comparavit.

2 Clearchus Heracleæ tyrannus rumores ſparſit, ſe dimiſſurum ſatellites, et conſilio trecentorum Rempublicam traditurum. Qui convenerunt in curiam, ad laudibus afficiendum Clearchum, et libertatem recipiendam. At ille poſitis ad curiam militibus, trecentos per præconem evocavit, et ſingulatim comprehenſos juſſit omnes in arcem duci.

3 Clearchus multos cives de medio tollere volens, cum occaſionem et cauſſam non haberet, delegit eos, qui eſſent ab anno ſedecimo uſque ad duodecimum, ad expeditionem in Caniculæ æſtu, quaſi urbem Aſtacum oppugnaturus. Poſtquam vero appropinquavit Aſtaco, cives quidem in paluſtri loco, et quieto atque pleno ſtantium aquarum, juſſit caſtra ponere: præcipiens ut animadverteſent, ne Thraces e regione apparerent. Ipſe vero, quaſi ſummam moleſtiam oppugna-

κίαν μετὰ τῶν ξένων ὑψηλὰ χωρία καὶ σύσκια, ὕδασιν ἐπιῤῥεόμενα, καταλαβόμενος, ἐστρατοπέδευσε· καὶ μέχρι τοσούτου τὴν πολιορκίαν ἐξέτεινεν, ἕως τοὺς πολίτας αὐτοῦ διέφθειρεν ὥρᾳ θέρους τὸ ἑλῶδες καὶ ἐπίνοσον τοῦ στρατοπέδου· ἐπεὶ δὲ διεφθάρησαν ἅπαντες, τότε μετὰ τῶν μισθοφόρων ἀνέζευξε, λοιμῷ προσθεὶς τὴν αἰτίαν τῆς τῶν πολιτῶν τελευτῆς.

ΚΕΦ. ΛΑ.

ἈΡΙΣΤΟΜΕΝΟΥΣ.

Ἀριστομένης Λακεδαιμόνιος, Διονυσίῳ συμμαχῶν, τροπῆς βραχείας γενομένης ὁρῶν τὰς τριήρεις ἀναμεμιγμένας παρήγγειλε τοῖς αὑτοῦ στρατιώταις βοᾷν, ἴα φεύγειν· οἱ πολέμιοι τῆς βοῆς ταύτης ἀκούσαντες ἐς φυγὴν ἐτράποντο, δόξαντες κατὰ κράτος ἡττᾶσθαι.

β Ἀριστομένης Μεσσηνίων ἡγεμὼν τρὶς ἑκατομφόνια θύσας κατὰ Λακεδαιμονίων, ἰσχυροῖς ποτὲ τραύμασι περιπεσὼν, ἑάλω σὺν ἄλλοις πλείοσιν. ἔδοξεν τοῖς Λάκωσιν ἅπαντας κατακρημνίσαι, τοὺς μὲν ἄλλους γυμνοὺς, τὸν δὲ Ἀριστο-

oppugnationis toleraturus, cum mercenariis excelſa loca, et umbroſa, aquis affluentia, capit, et in iis caſtrametatur. Et eo uſque oppugnationem extendit, donec ſuos cives perdidiſſent æſtiva tempore paluſtria et caſtra morbos procreantia. Poſtquam autem omnes perierunt, tunc cum mercenariis etiam movit, peſtique cauſſam civium interitus aſſignavit.

CAP. XXXI.

ARISTOMENES.

Ariſtomenes Lacedæmonius, Dionyſio ferens auxilium, exigua inclinatione facta, videns triremes permixtas, præcepit ſuis militibus, ut clamarent, Sine fugere. Hoſtes audita hac voce, in fugam converſi ſunt, rati ſe vi ſuperari.

2 Ariſtomenes Meſſeniorum dux, cum Hecatomphonia contra Lacedæmonios ter ſacrificaſſet, tandem confectus graviſſimis vulneribus, captus eſt cum aliis pluribus. Viſum eſt Lacedæmoniis omnes præcipites dare, reliquos nudos, at Ariſto-

Ἀριστομένην διὰ τὴν δόξαν τῆς ἀρετῆς ἐν τοῖς ὅπλοις· οἱ μὲν δὴ ἄλλοι κατενεχθέντες παραχρῆμα ἐτελεύτησαν. τοῦ δὲ Ἀριστομένους ἡ ἀσπὶς ἐφελκομένη τὸν ἀέρα, ἐλαφρῶς αὐτὸν ἐπὶ τὴν γῆν κατήνεγκεν· ὁ δὲ ἐς τὸ ὕψος ἀναβλέπων καὶ τοὺς κρημνοὺς ἐν κύκλῳ περιέχοντας, οὐκ ἀνῆκε τῆς ἐλπίδος. ἀλλὰ τὸ σύμπαν ὄρος ἀνασκοπούμενος, κατανοήσας εἴσδυσιν στενωτάτην, καὶ δι' αὐτῆς 64 ἀλώπεκος εἰσιούσης, ἀπὸ τῶν κειμένων νεκρῶν ὀστοῦν κλάσας, μιᾶς τῶν ἀλωπέκων λαβόμενος τῆς οὐρᾶς, δακνόμενος ὑπ' αὐτῆς συνεξέδυ αὐτῇ τὰ στενόπορα τοῦ ὄρους τῷ ὀστῷ παραίρων, καὶ παρακόπτων. 65 Καὶ δὴ προελθὼν ἧκεν εἰς τοὺς Μεσσηνίους προϊέναι μέλλοντας ἐς τὴν μάχην· καὶ αὐτίκα ὁπλισάμενος, αὐτὸς ἡγεῖτο τῆς φάλαγγος· οἱ δὲ Λάκωνες Ἀριστομένην ἰδόντες πάλιν ἀριστεύοντα, πάλιν διώκοντα, τὸν βεβλημένον κατὰ τῶν κρημνῶν, ἀφ' ὧν οὐδεὶς ἐσώθη πώποτε, πάντες ἐνέκλιναν ἐς φυγὴν, θνητῆς φύσεως μείζονα εἶναι τὸν ἄνδρα ἡγούμενοι.

γ' Ἀριστο-

64 Legendum ἀλώπεκας cum Fl. et pro εἰσιούσης, εἰσιούσας, *Maſv.* 65 Subjungunt codices: καὶ τὸ συνεξελθὸν, niſi quod Fl. συνεξέθον. Unde legendum videtur καὶ οὕτω συνεξελθών. *Maſv.*

Ariſtomenem propter virtutis opinionem cum armis. Reliqui deturbati ſtatim obierunt. At Ariſtomenis ſcutum attrahens aërem, molliter eum in terram detulit. Qui in altum ſuſpiciens, quanquam circumdantia undique præcipitia videret, tamen non abjecit omnem ſpem. Sed univerſum montem circumſpiciens, animadverſo anguſto foramine, et per illud introëunte vulpe, defringens e mortuis os, apprehenſa unius vulpis cauda, quamvis ab ea morderetur, ſimul exiit per anguſtias montis quævis obvia tollens, ac reſcindens oſſis beneficio, atque ita ſimul evaſit. Egreſſus autem venit ad Meſſenios, qui jam ad pugnam ituri erant, et repente ſumtis armis ipſe phalangem ducebat. Lacones Ariſtomenem denuo in armis conſpicati, et iterum inſequentem eum, qui a præcipitio dejectus fuerat, e quo nemo unquam ſalvus evaſerat, omnes in fugam converſi ſunt, rati ſuperiorem humana natura virum eſſe.

3 Ariſto-

γʹ Ἀριστομένης Μεσσήνιος, αἰχμάλωτος ὑπὸ Λακεδαιμονίων ὤν, καὶ φρουρούμενος, τῷ παρακειμένῳ πυρὶ ἑαυτὸν προσεκύλισε, καὶ τοὺς δεσμοὺς κατακαύσας, τοὺς μὲν φύλακας ἀνεῖλε· κρύφα δὲ εἰς τὴν Σπάρτην παρελθών, καὶ τὰς ἀσπίδας αὐτῶν προσηλώσας τῷ τεμένει τῆς Χαλκιοίκου, ἐπέγραψεν· ΑΡΙΣΤΟΜΕΝΗΣ ΑΠΟ ΛΑΚΕΔΑΙΜΟΝΙΩΝ ΑΒΛΑΒΗΣ ΑΝΕΣΩΘΗ. τοῦτο ποιήσας ἐς Μεσσήνην ἐπανῆλθε.

δʹ Ἀριστομένης ὁ Μεσσήνιος, Λακεδαιμονίων τοῖς Διοσκούροις πάνδημον θυσίαν ἐπιτελούντων, μετὰ ἑνὸς φίλου, λευκῶν ἵππων ἐπέβησαν ἄμφω, καὶ ταῖς κεφαλαῖς περιθηκάτην χρυσοῦς ἀστέρας, καὶ νυκτὸς ἤδη 66 προϊούσης ἐπιφάνηται κατὰ σύμμετρον διάστημα τοῖς Λακεδαιμονίοις, ἔξω πόλεως μετὰ γυναικῶν καὶ παίδων πανηγυρίζουσιν. οἱ μὲν δὴ Διοσκούρων ἐπιφάνειαν ἡγηθέντες γεγονέναι, προΐεσαν ἐς μέθην καὶ ἡδονὴν πλείονα· οἱ δὲ ἀπὸ τῶν ἵππων καταβάντες, τὰ ξίφη σπασάμενοι, πλείστους καταφονεύσαντες αὐτῶν, καὶ δὴ ἀφιππεύσαντες ᾤχοντο.

ΚΕΦ. ΛΒ.

66 *Cant.* προσιούσης.

3 Ariſtomenes Meſſenius captus a Lacedæmoniis, et in vincula conjectus, ad appoſitum ignem ſe ipſum acclinavit, atque combuſtis vinculis cuſtodes quidem occidebat: clam vero Spartam ingreſſus, et eorum ſcuta Chalciœci templo affigens, inſcripſit: ARISTOMENES ILLAESUS A LACEDAEMONIIS EVASIT. Hoc patrato, Meſſenam reverſus eſt.

4 Ariſtomenes Meſſenius, cum Lacedæmonii viritim ſacrificia Dioſcuris perſolverent, cum quodam amico, ambo candidos equos conſcenderunt, et capitibus aureas ſtellas addiderunt, atque nocte jam ingruente, mediocri intervallo Lacedæmoniis extra urbem cum uxoribus et liberis feſtum agentibus apparuerunt. Qui Dioſcurorum apparitionem eſſe rati, liberius vino et voluptati indulſerunt. At illi deſcendentes ex equis, ſtrictis gladiis plurimos interfecerunt, atque ſic incitatis equis diſceſſerunt.

CAP. XXXII.

ΚΕΦ. ΛΒ.

ΚΙΝΕΑΣ.

Ὁ περὶ Μαντίνειαν ἀγὼν ἴσος ἦν Θηβαίοις καὶ Μαντινεῦσι· ἔμελλον οἱ Μαντινεῖς ἐπικηρυκεύεσθαι πρὸς Θηβαίους περὶ νεκρῶν ἀναιρέσεως· Κινέας ὁ Ἀθηναῖος, ἐτεθνήκει δὲ ὁ ἀδελφὸς αὐτοῦ Δημήτριος ἐν τῇ μάχῃ, πρὸς τοὺς Μαντινέας ἔφη· μᾶλλον ἂν τὸν ἀδελφὸν ἄταφον περιϊδεῖν, ἢ τοῖς πολεμίοις ἧτταν ὁμολογῆσαι βούλεσθαι· καὶ γὰρ τὸν ἀδελφὸν διὰ τοῦτο προθύμως ἀποθανεῖν, ἵνα μὴ σταθείη τρόπαιον κατ᾽ αὐτοῦ καὶ κατὰ τῆς πατρίδος· οἱ Μαντινεῖς, τῆς ἐπικηρυκείας ἀπετράποντο.

ΚΕΦ. ΛΓ.

ΗΓΗΤΟΡΙΔΗΣ.

Θάσον ἐπολιόρκουν Ἀθηναῖοι· νόμον ἐκύρωσαν Θάσιοι· τῷ γράψαντι σπείσασθαι πρὸς Ἀθηναίους θάνατος ἔστω. Ἡγητορίδης Θάσιος, ὁρῶν πολλοὺς πολίτας ἀπολλυμένους μακρῷ πολέμῳ καὶ λιμῷ, βρόχον τῷ τραχήλῳ περιβαλὼν ἐς ἐκκλησίαν εἰσελθὼν, Ἄνδρες, ἔφη, πολῖται, ἐμοὶ μὲν ὡς βούλε-

CAP. XXXII.

CINEAS.

Pugna Mantinenſis æqua fortuna a Thebanis et Mantinenſibus facta erat. Voluerunt Mantinenſes legationem ad Thebanos mittere de ſepeliendis mortuis. Cineas Athenienſis, cujus frater Demetrius occubuerat in prælio, ad Mantinenſes inquit: ſe potius fratrem ſuum expertem ſepulcri relicturum, quam hoſtibus cladem ſuorum profeſſurum eſſe. Etenim fratrem ob eam cauſſam promto animo mortem oppetiviſſe; ne tropæum contra ſe atque patriam ſtatueretur. His auditis, Mantinenſes a mittenda legatione deſtiterunt.

CAP. XXXIII.

HEGETORIDES.

Thaſum oppugnabant Athenienſes. Legem juſſerant Thaſii: Qui rogaverit fœdus cum Athenienſibus faciendum eſſe, mortis reus eſto. Hegetorides Thaſius videns multos cives perire diuturno bello ac fame, laqueum injiciens collo, venit in concionem, et, Viri inquit, cives, me quidem, ut vobis libet, et quemadmodum

βούλεσθε, καὶ ὡς ὑμῖν συμφέρει, χρήσασθε· τοὺς δὲ ὑπολειπομένους πολίτας διασώσατε τῷ ἐμῷ θανάτῳ, λύσαντες τὸν νόμον. Θάσιοι ταῦτα ἀκούσαντες, καὶ τὸν νόμον ἔλυσαν, καὶ τὸν Ἡγητορίδην σῶον ἐφύλαξαν.

ΚΕΦ. ΛΔ.

ΔΕΙΝΙΑΣ.

Δεινίας Τελεσίππου, Φεραῖος, ἐν Κρανῶνι τῆς Θετταλίας διῆγε, θηρεύων ὅσα ἐν λίμναις καὶ ποταμοῖς ὀρνίθια· ἀπὸ τοιούτου βίου προῆλθεν ἐπὶ τυραννίδα διὰ τοιαύτης τῆς τέχνης. οἱ Κρανώνιοι τὴν φυλακὴν τῆς πόλεως ἀπεμίσθουν· ὁ δὲ Δεινίας ἐμισθώσατο· καὶ μέχρι τριῶν ἐτῶν ἀκριβεστάτην ἐποιεῖτο τὴν φυλακὴν, ὥς τε τὰς νύκτας εἶναι τῶν ἡμερῶν ἀσφαλεστέρας τοῖς ἀωρὶ βαδίζουσιν. ἐπαινούμενος ἐπὶ τούτοις, ἀεὶ καὶ πλείονας προσεμισθοῦτο φύλακας, ὡς μᾶλλον εὐδοκιμοίη τὴν φρουρὰν [67] ἰσχυροτέραν ποιούμενος· τῆς δὲ πόλεως τὴν τοῦ σίτου δεκάτην ἀπομισθούσης, ἀδελφὸν αὐτοῦ νεώτερον ἀτελῆ καθῆκε μισθωσόμενον, ὑπεράρας εἰς πολὺ τὴν πρόσοδον. οὕτω δὴ τὸν ἀδελφὸν δεκατηλόγον τῆς χώρας ἀποδείξας, καὶ

πολλοὺς

67 *Cant.* ὀχυροτέραν.

modum vobis prodeſt, tractate. At reliquos et ſuperſtites cives mea morte conſervate, legemque antiquate. His auditis Thaſii et legem abrogarunt, et Hegetoridem incolumem ſervarunt.

CAP. XXXIV.

DINIAS.

Dinias Teleſippo natus, Pherenſis, in urbe Theſſaliæ Cranone degens in paludibus et fluviis aviculas aucupio venabatur. Ab ejusmodi vita aſcendit ad tyrannidem, talibus machinis. Cranonii cuſtodiam urbis pretio locabant. Dinias eam conditionem accepit, et uſque ad triennium ſumma cura, diligentiaque excubias egit, ut noctes longe ſecuriores eſſent diebus, his qui intempeſtive ambularent. Eam ob rem laudatus, plures ſibi vigiles conduxit, ut majorem laudem adipiſceretur, ſi cuſtodiam munitiorem efficeret. Cum vero civitas frumentorum decimas mercede locaret, fratrem ſuum juniorem ab omnibus officiis immunem ſubornavit, ut eas conduceret, ſumme extollens et amplificans reditus. Sic, cum fratrem ſuum decimarum col-

lectorem

πολλοὺς νεανίσκους ἀκμάζοντας ἐγχειρίσας αὐτῷ περιπόλους τῶν χωρίων, καὶ συλλογέας τῶν δεκατευομένων καρπῶν, ἑορτῆς οὔσης τῶν καλουμένων 68 ξενίων, ἐν ᾗ πάντες Κρανώνιοι παίζουσιν, ἀναμίξας τοῖς ἐν τῇ πόλει φύλαξιν τοὺς ἀπὸ τῆς πόλεως τελώνας, καὶ νήφοντας ἐπιστήσας οἰνωμένοις, πλείους χιλίων πολίτας ἀποκτείνας, τύραννος Κρανωνίων ἐγένετο.

ΚΕΦ. ΛΕ.

ΝΙΚΩΝ.

Νίκων πειρατὴς ἐκ Φερῶν τῶν ἐν Πελοποννήσῳ συνεχῶς ὁρμώμενος, πολλὰ Μεσσηνίους ἠδίκει· Ἀγήμαχος Μεσσηνίων στρατηγὸς λοχήσας αὐτὸν καὶ ἑλὼν προήγαγεν ἐς ἐκκλησίαν τῶν Μεσσκνίων βασανισθησόμενον· ὁ δὲ ὑπέσχετο παραδώσειν αὐτοῖς τὰς Φερὰς, εἰ σῶον αὐτὸν φυλάξειαν, πεισθέντον Μεσσηνίων, ἀσέληνον νύκτα φυλάξας, τοὺς μὲν πολλοὺς ἐκέλευσεν ἀπὸ βραχέος διαστήματος ἕπεσθαι· ὀλίγους
δὲ

68 Mſſ. Ταινίων.

lectorem in urbe conſtiruiſſet, et multos ei juvenes florenti ætate præditos tradidiſſet, qui agros obſervarent, et colligerent decimatos fructus, cum feſtum celebraretur, quod Tænia nominatur, in quo omnes Cranonii ludunt, conjungens cum urbis cuſtodiis publicanos ab urbe, et cum ſobriis obruens temulentos, amplius mille civibus morte affectis, Cranoniorum tyrannus evaſit.

CAP. XXXV.

NICON.

Nicon pirata a Pheris Peloponneſi frequenter eruptione facta, multis injuriis Meſſenios afflixit. Eum Agemachus Meſſeniorum dux per inſidias captum, produxit in concionem Meſſeniorum, ut ſupplicium de ipſo ſumeretur. At ille promiſit, ſe traditurum eis Pheras, ſi ſe incolumem ac ſalvum relinquerent. Morem gerentibus Meſſeniis, noctem expertem lunæ obſervans, juſſit multitudinem parvo intervallo ſequi; paucos vero
ſecum

δὲ ἀκολουθεῖν αὐτῷ, φορτία μεγάλα σίτου καλάμης.[69] αἰρομένους. προσελθὼν δὲ τῷ τείχει περὶ δευτέραν φυλακὴν, ἀνεκάλεσε τοὺς φύλακας, τὸ σύνθημα εἰπών· τῶν δὲ καὶ τὴν φωνὴν αὐτοῦ καὶ τὸ σύνθημα γνωρισάντων, καὶ ἀνοιξάντων τὰς πύλας, οἱ τὰ φορτία φέροντες, ταῦτα ῥίψαντες, τὰ ξίφη σπασάμενοι, τοὺς ἐπὶ τῶν πυλῶν ἐφόνευσαν· οἱ δὲ κατόπιν ἑπόμενοι συμπεσόντες, τῆς πόλεως ἐκράτησαν.

ΚΕΦ. Λϛ.

ΔΙΟΙΤΑΣ.

Διοίτας στρατηγὸς Ἀχαιῶν, τὴν Ἡραιέων πόλιν φανερῶς ἑλεῖν οὐ δυνάμενος, ἀφανῶς εἷλε, φθείρας μεγάλοις χρήμασι τῶν Ἡραιέων τινάς. οἱ φοιτῶντες ἐπὶ τὰς πύλας πολλάκις καὶ καθομιλοῦντες τοῖς πεπιστευμένοις τὰς κλεῖδας τῶν πυλῶν, καὶ σὺν αὐτοῖς πίνοντες, ἔλαθον ἀπομαξάμενοι τὰς βαλανάγρας, καὶ τὰ ἐκμαγεῖα τῷ Διοίτᾳ διέπεμψαν. ὁ δὲ παραπλησίας καὶ ἴσας κλεῖδας ταῖς δημοσίαις κατασκευάσας, ἀντέπεμψεν αὐτοῖς, νύκτα συνθεμένοις, καθ' ἣν

69 Cant. ἀραμένους. Fl. ἀρομένους. legendum αἰρομένους ut in margine notarat Caſaubonus. *Maſv.*

ſecum ire, et ingentia ſtipularum onera portare. Accedens autem ad murum ſecunda vigilia, vocavit cuſtodes, prodito ſigno. Quibus tum vocem ejus, tum ſignum agnoſcentibus, et portas aperientibus, qui portabant onera, his abjectis et ſtrictis enſibus, portarum vigiles trucidabant. Qui ſequebantur, facto impetu, urbem occuparunt.

CAP. XXXVI.

DIOETAS.

Diœtas[a] Achivorum dux cum Heræenſium urbem aperta vi capere non poſſet, occulte cepit, quibusdam Hereænſium grandi pecunia corruptis: qui ſæpe venientes ad portas, cum his quibus portarum claves erant commiſſæ, ſermones conferebant, atque compotantes clam expreſſerunt claves, et effigiem Diœtæ miſerunt. Qui ſimiles et æquales claves publicis comparans, miſit ad eos, ut noctem conſtituerent, qua portas aperire vellent.

ἣν οἱ μὲν ἀνέωξαν τὰς πύλας, ὁ δὲ Διοίτας μετ' ὀλίγων στρατιωτῶν εἰσῆλθεν. ἓν μέν τοι στρατήγημα τὸ τῶν βαλαναγρῶν παρέσχεν αὐτοῖς τὴν εἴσοδον· ἑτέρῳ δὲ εἰσελθὼν ἐχρήσατο· ἐπειδὴ γὰρ οἱ Ἡραιεῖς τῦ γενομένυ συνέντες ἐξεπήδησαν, πολλοί τε ὄντες καὶ τῶν τῆς πόλεως τόπων ἔμπειροι, φοβηθεὶς αὐτὺς Διοίτας τὺς σαλπιγκτὰς ἐκέλευσε κατὰ πολλὰ μέρη τῆς πόλεως διαστάντας τὸ πολεμικὸν σημαίνειν. οἱ δὲ Ἡραιεῖς πολλαχόθεν πολλῶν σαλπίγγων ἀκύοντες περιηχύμενοι, πάντα μεστὰ πολεμίων εἶναι νομίσαντες, ἐξέλιπον τὴν πόλιν, καὶ μεθ' ἡμέραν ἐπρεσβεύσαντο πρὸς Διοίταν, ἱκετεύοντες ἀπολαβεῖν τὴν πατρίδα, ὡς εἰσαῦθις ὑπήκοοι γενησόμενοι τοῖς Ἀχαιοῖς.

ΚΕΦ. ΛΖ.
ΤΙΣΑΜΕΝΟΣ.

Τισαμενὸς ἄγων τὸ στρατόπεδον, ὄρνεις πολλὺς ἰδὼν ὑπὲρ τὸν τόπον περιπετομένυς, ὐ μὴν ἐπὶ τῆς γῆς ἰζάνοντας, συνῆκεν ὡς δεδιότες ἀνθρώπυς ἐγκαθημένυς ἰζάνειν ὀκνοῖεν· καὶ τὸ χωρίον ἐρευνησάμενος, τοῖς ἐγκαθημένοις ἐπιθέμενος, κατέκοψε τὺς λοχῶντας Ἴωνας.

ΚΕΦ. ΛΗ.

vellent. Diœtas cum paucis militibus intravit, clavium ſtrategemate patefaciens ipſis introitum. Ingreſſus vero, uſus eſt alio. Poſtquam enim Heræenſes re intellecta proſilierunt magno numero, locorum urbis periti, metuens eos Diœtas, tubicines in multis urbis partibus juſſit diſtantes claſſicum canere. Heræenſes ex omnibus locis multas tubas audientes, cum circumſonarentur, omnia plena hoſtibus exiſtimantes, urbem deſeruerunt. Et interdiu legationem ad Diœtam miſerunt, ſupplicantes, ut ſibi patriam recipere liceret: ſe in poſterum Achivorum imperata facturos.

CAP. XXXVII.
TESAMENUS.

Teſamenus exercitum ducens, cum vidiſſet multas aves ſupra ſuum locum volitare, non autem in terra conſidere, intellexit eas hominum ibi latentium metu, non conſidere: et locum perſcrutatus, aggreſſusque Iones poſitos in inſidiis interfecit.

CAP. XXXVIII.

ΚΕΦ. ΛΗ.

ΟΝΟΜΑΡΧΟΣ.

Ὀνόμαρχος Φωκεὺς, πολιορκουμένης Ἐλατείας ὑπὸ τῶν Βοιωτῶν, τὴν δύναμιν ἐξαγαγὼν, τὰς πύλας 70 ἀνοικοδομήσας, τέκνα μὲν καὶ γυναῖκας, καὶ μητέρας ἔστησεν ἐφεξῆς, καὶ πατέρας· πρὸ δὲ τούτων τοὺς ὁπλίτας ἔταξε. Πελοπίδας συνεὶς τὴν παρασκευὴν τῆς ἀπονοίας, ὡς ἀποθνήσκειν ἢ κρατεῖν προθυμοῖντο, μὴ συνάψας μάχην ἀνεχώρησεν.

β΄ Ὀνόμαρχος Μακεδόσι παραταττόμενος, ὄρος μηνοειδὲς κατὰ νώτου λαβὼν, κἂν ταῖς ἑκατέρωθεν κορυφαῖς ἐγκατακρύψας πέτρους, καὶ πετροβόλους, προῆγε τὴν δύναμιν ἐς τὸ ὑποκείμενον πεδίον. ὡς δὲ οἱ Μακεδόνες ἀντιπιόντες ἠκροβολίσαντο, οἱ Φωκεῖς προσεποιήσαντο φεύγειν ἐς τὰ μέσα τοῦ ὄρους. οἱ μὲν δὴ Μακεδόνες θυμῷ καὶ ῥώμῃ διώκοντες ἐπέκειντο· οἱ δὲ ἀπὸ τῶν κορυφῶν τοὺς πέτρους 71 ἐμβάλλοντες συνέτριβον τὴν Μακεδονικὴν φάλαγγα.

70 Melius conveniret *ἀποικοδομήσας dirutis portis*. Aliud verbum in codice ſuo legit Interpres. 71 MſΓ. *βάλλοντες*.

CAP. XXXVIII.

ONOMARCHUS.

Onomarchus Phocenſis, cum Elatia a Bœotis oppugnaretur, educto exercitu et portis clauſis, liberos et uxores et matres atque patres ordine conſtituit. Ante hos autem, armatos collocavit. Pelopidas cum apparatum deſperationis cognoviſſet, eos aut mortem obire, aut victoriam auferre velle, non commiſſo prælio diſceſſit.

2 Onomarchus cum aciem adverſus Macedones inſtrueret, montem obliquum poſt tergum occupans, et in cacuminibus utrinque abſcondens ſaxa, ſaxorumque jaculatores, produxit exercitum in ſubjectam planitiem. Cum Macedones impetentes jacularentur, Phocenſes, ſimulata fuga, ad medium montem ſe recipiunt. Macedones incitati furore ac robore inſequebantur. At illi de jugis ſaxa dejicientes, phalangem Macedonicam conte-

γα. τότε δὴ Ὀνόμαρχος ἐσήμαινεν τοῖς Φωκεῦσιν ἐπιστρέφειν, καὶ τοῖς πολεμίοις ἐμβάλλειν. οἱ μὲν δὲ Μακεδόνες τῶν μὲν ὄπισθεν ἐμβαλλόντον, τῶν δὲ ἄνωθεν τὰς πέτρας βαλλόντων, σὺν πολλῷ πόνῳ φυγόντες ἀνεχώρησαν· ἐν αὐτῇ τῇ φυγῇ τὸν βασιλέα τῶν Μακεδόνων Φίλιππον φασὶν εἰπεῖν, οὐκ ἔφυγον, ἀλλ' ἀνεχώρησα ὥσπερ οἱ κριοὶ, ἵν' αὖθις ποιήσωμαι σφοδροτέραν τὴν ἐμβολήν.

Τέλος τοῦ β' βιβλίου τῶν Πολυαίνου Στρατηγημάτων.

conterebant. Tum Onomarchus Phocenſibus ſignum dat ut revertantur, et in hoſtes incurſionem facerent. At Macedones poſterioribus in ſe irruentibus, ſuperioribus lapides projicientibus, magno negotio vix fugientes diſceſſerunt. In ipſa fuga regem Macedonum Philippum dixiſſe ferunt: Non fugi, ſed receſſi, quemadmodum arietes, ut ſecundo vehementiorem impreſſionem facerem.

Τάδε

Τάδε ἔνεστιν ἐν τῷ τρίτῳ τῶν

ΠΟΛΥΑΙΝΟΥ

ΣΤΡΑΤΗΓΗΜΑΤΩΝ.

HAEC INSUNT IN TERTIO LIBRO

POLYAENI

STRATEGEMATUM.

Δημοσθένης, στρατηγήματα	β	Demoſthenes	2
Πάχης	α	Paches	1
Τολμίδης	α	Tolmides	1
Φορμίων	γ	Phormion	3
Κλεισθένης	α	Cliſthenes	1
Φρύνιχος	α	Phrynichus	1
Λαχάρης	γ	Lachares	3
Ἀρχῖνος	α	Archinus	1
Ἰφικράτης	ξγ	Iphicrates	63
Τιμόθεος	ιζ	Timotheus	17
Χαβρίας	ιε	Chabrias	15
Φωκίων	α	Phocion	1
Χάρης	γ	Chares	3
Χαρίδημος	α	Charidemus	1
Δημήτριος Φαληρεὺς	α	Demetrius Phal.	1
Φιλοκλῆς	α	Philocles	1

Τέλος τοῦ πίνακος τοῦ γʹ βιβλίου.

ΠΟΛΥΑΙΝΟΥ
ΣΤΡΑΤΗΓΗΜΑΤΩΝ.
βιβλίον τρίτον.

ΠΡΟΟΙΜΙΟΝ.

Καὶ τόδε ὑμῖν τρίτον βιβλίον, ἱερώτατοι βασιλεῖς, Ἀντωνῖνε, καὶ Οὐῆρε προσφέρω τῶν Στρατηγημάτων· ἀφ' ὧν ȣ̓ πολεμȣ̃σι μόνον, ἀλλὰ καὶ τὴν εἰρήνην ἄγȣσιν, ὠφελιμώτατον ἂν χρῆμα γένοιτο ἡ ϛρατηγικὴ σοφία, καὶ τέχνη. ἅπασι μὲν γὰρ τοῖς ἄρχȣσι τῆς πολιτικῆς δεῖ ϛρατηγίας καὶ προμηθείας. ᾗ τὰς πόλεις ἐς τὸ πράσσειν ἃ χρὴ ὑπάξονται. ὑμεῖς δὲ τὴν αὐτοκράτορα ἀρχὴν ἔχοντες, καὶ τῶν ὅλων προεϛηκότες, ἀεὶ μετὰ ϛρατηγικῆς ἐπιϛήμης βȣλεύεσθε τὰ συμφέροντα τοῖς ἀρχομένοις· ὥς τε ἐν μὲν εἰρήνῃ, καὶ ἐγγυμνάζειν τὴν γνώμην τοῖς ϛρατηγικοῖς ἐνθυμήμασιν· ἐν δὲ πολέμῳ, τί καὶ χρὴ γράφειν; πρόδηλον γάρ.

Τέλος τȣ̃ προιμίȣ.

ΚΕΦ. Α.

POLYAENI
STRATEGEMATUM
LIBER TERTIUS.

PROOEMIUM.

Etiam hunc librum Strategematum, ſanctiſſimi Imperatores Antonine et Vere, dedico vobis: ex quibus non ſolum bella gerentibus, verum etiam pacem agentibus, maxima utilitas naſcitur militaris ars et induſtria. Omnes etenim Rerumpublicarum gubernatores decet rei militaris ſcientia et prudentia, qua civitates ad officium faciendum impellant. Vos autem imperatoriam poteſtatem tenentes, et ſummæ rerum præſidentes, ſemper militari quadam ſcientia de ſubjectorum utilitate conſilia capitis, ut etiam tempore pacis animum in militaribus cogitationibus exerceatis. In bello vero quid opus eſt ſcribere? nam manifeſtum eſt.

CAP. I.

ΚΕΦ. Α.

ΔΗΜΟΣΘΕΝΗΣ.

Δημοσθένης Πύλȣ Λακωνικῆς φρȣρὰν ἐχȣ́σης, ἔπλευσεν ἐπὶ τὴν Ἄκραν. οἱ Λάκωνες τὴν Πύλον ἐκλιπόντες, ἐπὶ τὴν Ἄκραν ἴεσαν, ὡς ἀποβησόμενον εὑρόντες ἂν ἤδη, τῆς ὁδȣ̃ [1] μακρὰν ȣ̓́σης. ἤδη μὲν ἐπέλαζον οἱ πολέμιοι τῇ Ἄκρᾳ. Δημοσθένης δ' [2] ἐπιςρέψας ἐπὶ τὴν πόλιν κατέσχε τὴν Πύλον ἀνδρῶν κενήν.

β' Δημοσθένης Ἀκαρνάνων καὶ Ἀμφιλόχων ςρατηγῶν, ἀντικρὺ Πελοποννησίων ἐςρατοπέδευε, χαράδρας μεγάλης διειργȣ́σης. ὁρῶν δὲ πολλῷ πλείονας τȣ̀ς πολεμίȣς, καὶ τὸ ςρατόπεδον ὑπερφαλαγγȣ́μενον, ἐς τὸ κοῖλον καὶ λοχῶδες ἐνελόχησεν ὁπλίτας, καὶ [3] φίλȣς τριακοσίȣς· ὅπως ἐπειδὰν ὑπερφαλαγγήσωσιν οἱ ἐναντίοι κατὰ τὸ ὑπερβάλλον αὐτῶν, ἐξαναςάντες κατὰ νώτȣ γίνοιντο. οἱ μὲν ὑπερεφαλάγγησαν· οἱ δὲ ἐξόπισθεν ἐπανέςησαν· καὶ ἄφνω προσπεσόντες, ȣ̓ σὺν πολλῷ πόνῳ τὴν μάχην ἐνίκησαν.

ΚΕΦ. Β.

1 Deeſt negatio et legendum ȣ̓ μακρὰν ȣ̓́σης. *Caſ.*
2 Mſſ. *ἀποςρέψας iter deflectens.* 3 *ψιλȣ̀ς conject. Caſ.*

CAP. I.

DEMOSTHENES.

Demoſthenes Pylo Laconica civitate præſidium habente, navigavit ad Acram. Lacones Pylo relicta, Acram contenderunt, ſperantes ſe jam egredientem deprehenſuros, cum via longa eſſet. Jam appropinquabant hoſtes Acræ, cum Demoſthenes reverſus, Pylum inanem virorum obtinuit.

2 Demoſthenes Acarnanos et Amphilochos ducens, exadverſus Peloponneſios caſtra locabat, magno torrente interpoſito. Videns autem longe plures hoſtes eſſe, et exercitum includi poſſe, in cavum et inſidiis aptum locum abſcondit armatos, et ſocios trecentos, ut ſi includerent hoſtes exercitum numero, conſurgentes ipſi a tergo adorirentur. Hoſtes incluſerunt phalangem. Illi vero conſurgentes, et repentino tumultu hoſtes invadentes, parvo negotio atque labore pugnam vicerunt.

ΚΕΦ. Β.

ΠΑΧΗΣ.

Πάχης Νότιον πολιορκῶν Ἱππίαν στρατηγὸν Πισσούθνου κοινολογησόμενον προελθεῖν ἔξω τοῦ τείχους ἠξίωσε· συνθέμενος ἀβλαβῆ καὶ ζῶντα ἀποπέμψειν. ἐπεὶ δὲ προῆλθε φυλακὴν αὐτῷ περιστήσας τὸ Νότιον κατὰ κράτος ἐξεῖλε. καὶ τότε Ἱππίαν ἐς τὴν πόλιν ζῶντα εἰσήγαγεν, ὡς ἐσπείσατο, καὶ μετὰ τοῦτο κατηκόντισεν.

ΚΕΦ. Γ.

ΤΟΛΜΙΔΗΣ.

Τολμίδης Ἀθηναίων ψηφισαμένων αὐτῷ δοθῆναι κατάλογον ἀνδρῶν χιλίων· ἑκάστῳ προσιὼν τῶν νέων, ἔφασκεν ὡς μέλλοι καταλέγειν αὐτόν· εἴη δὲ ἄμεινον [4] ἕκαστον [5] ὀρεστεύεσθαι. τρισχίλιοι μὲν ἀπεγράψαντο ἑκόντες· οἱ λοιποὶ δὲ οὐκ ἐπείθοντο. Τολμίδης ἐκ τῶν [6] πειθομένων κατέλεξε τοὺς χιλίους, καὶ πεντήκοντα τριήρεις ἐπλήρωσεν, ἀντὶ χιλίοις, [7] πεντακοσίοις ἀνδράσι.

ΚΕΦ. Δ.

4 ἑκόντα conject. *Caſ.* 5 στρατεύεσθαι. Cant. 6 Inierendum μὴ ante πειθομένων. *Maſv.* 7 Legendum τετρακισχιλίοις ut patet ex Diodori Lib. XI. *Maſv.*

CAP. II.

PACHES.

Paches Notium oppugnans, Hippiam ducem Piſuthnæ poſtulavit, ut e munitione ad colloquium exiret: fide data, ſe illæſum et vivum eum remiſſurum. Poſtquam vero proceſſit, cuſtodia penes illum relicta, Notium vi cepit: atque tum Hippiam vivum in urbem induxit, quemadmodum in fœdere promiſerat, et poſtea jaculo peremit.

CAP. III.

TOLMIDES.

Tolmides, Athenienſibus ſibi mille virorum delectum decernentibus, ſingulos juvenes accedens, dixit, ſe illos delecturum. Utile autem eſſe, ſingulos inſpicere. Ter mille ultro nomina dederunt. Reliqui non obedierunt. Tolmides ex his qui obediebant, delegit illos mille et quinquaginta triremes implevit pro mille quingentis viris.

CAP. IV.

ΚΕΦ. Δ.
ΦΟΡΜΙΩΝ.

Φορμίων ἀποβὰς ἐς τὴν Χαλκιδέων ἁρπάσας οὐκ ὀλίγα τῶν ἐκ τῆς χώρας Κύρῳ προσέσχε. Χαλκιδεῖς ἐπρεσβεύσαντο ἀπαιτοῦντες· ὁ δὲ κρύφα καθῆκεν ὑπηρετικὸν ὡς Ἀθήναθεν ἧκον τοῦ δήμου καλοῦντος αὐτὸν ἐς Πειραιᾶ διὰ τάχους. τοῖς μὲν πρεσβευταῖς ἀπέδωκεν ὅσα ἔτυχον ἀπαιτοῦντες· αὐτὸς δὲ ἀναχθεὶς ὑπὸ νησίον ὡρμίσατο τὴν νύκτα. οἱ Χαλκιδεῖς, καὶ τῷ κομίσασθαι τὰ ἴδια, καὶ τῷ νομίσαι τὸν Φορμίωνα Ἀθήναζε πεπλευκέναι, ἀφυλάκτως καὶ τῆς πόλεως καὶ τῆς χώρας εἶχον· ὁ δὲ ἀφυλάκτοις ἐπελθὼν, ὀλίγου μὲν καὶ τὴν πόλιν κατέσχεν. ὅση δὲ ἦν λεία κατὰ τὴν χώραν, ἅπασαν ἐξήγαγεν.

β′ Φορμίων τριάκοντα ναῦς ἔχων, πρὸς πεντήκοντα ναῦς πολεμίων ἀναχθεὶς. ἔταξε τὰς ἰδίας ἀνὰ πέντε· καὶ παρὰ τὴν τάξιν τῶν ἐναντίων αὐτὰς ἐκείνας προσῆγεν, ὀρθίοις τάγμασι. τῶν δὲ ἐναντίων διὰ τὴν πολλὴν προθυμίαν ταχέως διασπαρεισῶν, καὶ τῶν ταχίστων τριήρων πολὺ τὰς ἄλλας ἐν τῇ διώξει καταλειπουσῶν, συνιδὼν τὴν

ἀταξίαν

CAP. IV.
PHORMION.

Phormion egreſſus in Chalcidenſium terram, non paucis ex regione direptis, ad Cyrum appulit. Chalcidenſes legationem res repetitum miſerunt. Ille furtim navem expeditam emiſit, quaſi Athenis venientem, et populus ipſum arceſſeret in Piræeum quam celerrime. Legatis reddidit quæ repetiverant: Ipſe vero ſolvens ad parvam quandam inſulam noctu applicuit. Chalcidenſes, et quoniam ſuas res portabant, et quia Phormionem Athenas navigaſſe credebant, neque civitatis neque regionis cuſtodiam agebant. At ille improviſos et incuſtoditos obruens, parum abfuit, quin civitatem etiam ipſam caperet. Omnem vero prædam, quæ fuit in regione, abduxit.

2 Phormion cum navibus triginta ſolvens adverſus hoſtium naves quinquaginta, ſuas in quinarios ordines diſpoſuit, et in aciem adverſariorum ipſas illas rectis ordinibus duxit. Adverſariis vero ob nimiam alacritatem diſperſis, ac velociſſimis triremibus, cum hoſtes inſtarent, a longo ceteras

ἀταξίαν αὐτῶν Φορμίων, ἐπιστρέψας, τὴν ἑαυτοῦ πεντηκοντόρον (?) ναῦν, ἐνέβαλε ταῖς γενομέναις πλησίον αὐτοῦ τριήρεσι· καὶ ταύτας καταδύσας, ἐπὶ τὰς ἄλλας ἐπέπλει. καὶ τῶν ἄλλων τριηράρχων ταυτὰ πράσσειν πειρωμένων, φυγὴ τῶν πολεμίων ἐγένετο· οἱ δὲ περὶ Φορμίωνα διώκοντες, πλείστας αὐτῶν καταδύσαντες, τὴν νίκην ἀνείλοντο.

γʹ Φορμίων περὶ Ναύπακτον ἐν τῇ παράλῳ πλέων, ὑπὸ δύο τριήρων ἐδιώκετο· ὁρμούσης δὲ ἐπὶ σάλου νηὸς ὁλκάδος, ἤδη καταλαμβανόμενος, περὶ ταύτην ἔκαμψε, καὶ τῇ βραδυτέρᾳ τῶν τριήρων κατὰ πρύμναν ἐνσείσας, κατέδυσε· καὶ διὰ τάχους ἐπὶ τὴν ἑτέραν ἐπιστρέψας, εὐκόλως καὶ ταύτην διέφθειρεν.

ΚΕΦ. Ε.

ΚΛΕΙΣΘΕΝΗΣ.

Κλεισθένης Κίρραν ἐπολιόρκει. 8 μάντευμα ἦν, Κιρραίοις ἀνάλωτον ἔσεσθαι τὴν πόλιν, ἕως ἂν ψαύσῃ τῆς ἱερᾶς γῆς ἡ θάλασσα. οἱ μὲν Κιρραῖοι κατεφρόνουν πλεῖστον ἀπέχοντες θαλάττης. ἡ δὲ Κίρρα τῆς ἱερᾶς γῆς ἔψαυε καθη-

8 Mſſ. μάντευμα ἦν Κιρραίοις, ἀνάλωτον.

ras relinquentibus, Phormion intellecta confuſione ipſarum, convertens ſuam pentanaiam, in appropinquantes ſibi triremes impetum fecit: atque his ſubmerſis, adverſus alias navigavit. Et cæteris triremium præfectis hæc eadem facientibus, hoſtiles in fugam ſe dederunt. Quas Phormion cum ſuis perſecutus, maxima parte ſubmerſa, victoriam adeptus eſt.

3 Phormionem circa Naupactum in paralo navigantem, duæ triremes perſequebantur. Stante autem in ſtatione navi oneraria, jam interceptus circa hanc ſe flexit, et in tardioris triremis puppim impetu facto, eam ſubmerſit, atque confeſtim ad alteram converſus, ſine negotio etiam illam perdidit.

CAP. V.

CLISTHENES.

Cliſthenes oppugnabat Cirram. Oraculum habebant Cirrenſes, invictam urbem fore tantiſper, donec mare ſanctam terram attingeret. Cirrenſes id nihili faciebant, longiſſime diſſiti a mari. At Cirra ſacram terram

καθηκούσης ἐπὶ θάλατταν· ὁ Κλεισθένης τὸ μαντεῖον μαθὼν, καθιέρωσε τῷ θεῷ τήν τε πόλιν, καὶ τὴν χώραν τὴν Κιῤῥαίαν. ἵνα πᾶσα ἱερὰ γενομένη, κατὰ τὸν χρησμὸν ψαύσειε τῆς θαλάττης. τοῦτο πράξας ἐκράτησε, καὶ ἀνέθηκε τὴν χώραν τῷ θεῷ.

ΚΕΦ. ϛ.

ΦΡΥΝΙΧΟΣ.

Φρύνιχος ἐν Σάμῳ στρατηγῶν, προδιδοὺς τὴν πόλιν ἐν τῷ μέλλειν διαβληθεὶς, καταφανὴς γίνεσθαι μέλλων, φθάσας προεῖπε τοῖς Σαμίοις ὅσα δρᾷν ἔμελλον οἱ πολέμιοι· κατὰ τὸ ἀτείχιστον τῆς Σάμου μέλλουσι 9 προβάλλειν οὐ πασῶν τῶν νεῶν· ἀλλὰ προλαβόντες τειχίσωμεν. οἱ μὲν ἤρχοντο τοῦ τειχισμοῦ. οἱ δὲ περὶ Ἀλκιβιάδην ἐχθροὶ, γράμματα Σαμίοις ἔπεμψαν, μηνύοντα τὴν Φρυνίχου προδοσίαν. Σάμιοι τοῖς ἔργοις Φρυνίχου μᾶλλον ἐπίστευσαν ὡς ἀγαθοῦ στρατηγοῦ, ἢ τοῖς τῶν ἐχθρῶν γράμμασιν.

ΚΕΦ. Ζ.

9 *προσβάλλειν πάσαις ταῖς ναυσί.* conject. *Caſ.* vel *προσβάλλειν, οὐ πασῶν τῶν νεῶν ἔνδον οὐσῶν*, *Maſv.* probante.

terram attingebat, quæ ad mare porrigebatur. Cliſthenes oraculo percepto, cum urbem tum regionem Cirrenſem Deo conſecravit, ut univerſa ſacra facta, ſecundum oraculum mare contingeret. Cum id feciſſet, ſuperavit, terramque Deo dicavit.

CAP. VI.

PHRYNICHUS.

Phrynichus in Samo ducem ſe gerens, cum urbem proderet, inter cunctandum accuſatus, metuens ne perſpicuum evaderet, prior omnia Samiis prædixit, quæ hoſtes erant facturi: In eam partem Sami quæ muro careret impreſſionem facient cum omnibus navibus: ſed agite muniamus antequam adſint: Qui munitionem ædificare cœperunt. At hoſtes, quibus Alcibiades dux erat, Samiis literas mittebant, Phrynichi proditionem indicantes. Samii rebus ipſis magis crediderunt, quas tanquam bonus ac ſtrenuus dux gereret, quam hoſtium literis.

CAP. VII.

ΚΕΦ. Ζ.

ΛΑΧΑΡΗΣ.

Λαχάρης ἁλισκομένων Ἀθηνῶν ὑπὸ Δημητρίου, ἐσθῆτα οἰκετικὴν καὶ ἄγροικον ἀναλαβὼν; μέλανι χρίσας τὸ πρόσωπον, κάλαθον ὑπὸ κόπρου κομίζων διὰ πυλίδος μικρᾶς ὑπεξελθὼν, ἐπιβὰς ἵππου, δαρεικοὺς χρυσοὺς ἐπὶ χεῖρας ἔχων, ἔφευγεν. ἱππεῖς Ταραντῖνοι πολλῇ σπουδῇ διώκοντες οὐκ ἀνίεσαν· ὁ δὲ κατ᾽ ὀλίγους τῶν δαρεικῶν ἐῤῥίπτει κατὰ τῆς ὁδοῦ· οἱ δὲ καταβαίνοντες ἀπὸ τῶν ἵππων συνέλεγον τὸ χρυσίον· τούτου γενομένου πολλάκις, ἡ δίωξις μὲν διεκόπτετο· Λαχάρης δὲ ἱππεὺς ἔφθασεν ἐς τὴν Βοιωτίαν.

β′ Λαχάρης Θηβῶν ἁλισκομένων εἰς τοὺς ὑπονόμους καταδὺς, μετὰ τρεῖς ἢ τέτταρας ἡμέρας ἑσπέρας ὑπεξελθὼν εἰς Δελφοὺς ἀφίκετο, κἀκεῖθεν ὡς Λυσίμαχον.

γ′ Λαχάρης τῶν πολεμίων Σηστοῦ κρατησάντων, ὀλίγας μὲν ἡμέρας ἐν λάκκῳ διήγαγε καταδεδυκὼς, τροφὰς ὀλίγας ἔχων ὅσον μὴ τελευτῆσαι· γυναικὸς δὲ ἐκφορὰν οἰκείου νεκροῦ ποιουμένης, ἐν γυναικείᾳ στολῇ ταῖς πενθούσαις ἀναμε-

CAP. VII.

LACHARES.

Lachares captis Athenis a Demetrio, veſtem ſervilem et ruſticam indutus, atramento faciem ungens, calathum ſterquilinio tectum portans, furtim egreſſus per exiguam portulam, conſcenſo equo, Daricos aureos in manibus tenens fugit. Equites Tarentini ſummo ſtudio perſequentes, nihil remittebant. Qui ſigillatim Daricos in viam ſparſit. Illi deſcendentes ex equis, aurum colligebent. Hoc facto, ſæpenumero inſecutio interciſa eſt. Lachares equitans in Bœotiam pervenit.

2 Lachares captis Thebis in cloacam ſe abſcondens, poſt triduum ſeu quatriduum ſub veſperam egreſſus, ad Delphos abiit, et inde ad Lyſimachum.

3 Lachares cum Seſtum hoſtes cepiſſent, paucos dies in fovea delituit, victum exiguum, et tantum habens, ut a morte ſe vindicare poſſet. Forte autem fortuna muliere ſuum mortuum efferente,

ἀναμεμιγμένος, καλύπτραν ἔχων μέλαιναν, ἐξῆλθεν ἔξω τοῦ τείχους, καὶ νυκτὸς ἐπιγενομένης ἐς Λυσιμαχίαν διεξῆλθεν.

ΚΕΦ. Η.
ΑΡΧΙΝΟΣ.

Ἀρχῖνος Ἀργείων ὅπλα ποιουμένων δημοσίᾳ πᾶσι τοῖς πολίταις, ἐπιμελητὴς τῶν ἐργαζομένων ἀποδειχθεὶς, καινὸν ὅπλον ἑκάστῳ τῶν πολιτῶν διδοὺς, τὸ παλαιὸν [10] ἀνελάμβανεν, ὡς ἀναθήσων τοῖς θεοῖς. καὶ γὰρ οὕτως ἦν τοῖς Ἀργείοις δεδογμένον· ἐπεὶ δὲ τὰ παλαιὰ πάντων ὅπλα μόνος ἤθροισεν, ὁπλίσας ξένους, καὶ μετοίκους, καὶ ἀτίμους, καὶ πένητας, τὴν Ἀργείων τυραννίδα κατέσχεν.

ΚΕΦ. Θ.
ΙΦΙΚΡΑΤΗΣ.

Ἰφικράτης ἐπὶ τοὺς πολεμίους προῆγε τὴν φάλαγγα· τῶν στρατιωτῶν τινὲς ὀκνηροὶ, καὶ δειλοὶ, καὶ ὠχριῶντες εἵποντο· τούτους ἰδὼν Ἰφικράτης, κατὰ βραχὺ προελθὼν ἐκήρυξε· [11] τῆς στρατείας ἄφνω γενομένης, εἴ τις ἀπολέ-

λοιπε

10 Mſſ. ἐλάμβανεν. 11 Mſſ. omittunt τῆς στρατείας.

ferente, in muliebri ſtola mulieribus luctum agentibus permixtus, nigrum habens flammeum, evaſit extra mœnia. Deinde per noctem Lyſimachiam tranſiit.

CAP. VIII.
ARCHINUS.

Archinus cum Argivi arma cunctis civitatibus publico ſumtu fabricarent, procurator ejus officii deſignatus, ſingulis civibus nova arma largiens, vetera quaſi Diis ſuſpenſurus accipiebat: Etenim ſic decretum fecerant Argivi. Poſtquam omnium vetera arma ſolus collegit, armatis mercenariis, inquilinis, infamibus et egenis, Argivorum tyrannidem occupavit.

CAP. IX.
IPHICRATES.

Cum Iphicrates in hoſtes militum agmen produceret, quoſdam trepidos ac timidos, pallidoſque ſequi conſpicatus, progreſſus aliquantulum, cum mox eſſet ineundum prælium, clamare præconem juſſit: Cum expeditio fuerit ſubito ſuſcepta, ſi quis aliquid reliquit, rever-

λοιπέ τι, ἀναστρεφέτω, καὶ παρασκευασάμενος καλῶς ἐπανηκέτω· ἥσθησαν οἱ δοῦλοι, καὶ αὐτίκα ἀνέστρεψαν. ὁ δὲ Ἰφικράτης οὐκ ἀναμείνας, νῦν, ἔφη, ἄνδρες, τῶν ἀνδραπόδων ἀπηλλαγμένων, ἡμεῖς τοῖς πολεμίοις συνάπτωμεν, ἵνα καὶ μόνοι τοὺς καρποὺς τῆς ἀνδραγαθίας λάβωμεν. πολλῷ μᾶλλον οἱ στρατιῶται ἐθάῤῥησαν· καὶ συμβαλόντες ἄνευ τῶν δούλων ἐνίκησαν.

β' Ἰφικράτης τοὺς πολεμίους εἰς φυγὴν τρεψάμενος, εἵπετο, σχεδὸν ἄγων τὴν φάλαγγα· καὶ παραγγέλλων ἔφη· οἱ μὲν ἐλαφροὶ, φυλάττεσθε τὰς ἐνέδρας· τῶν δὲ φευγόντων τοῖς ὑπολειπομένοις ἐνοχλεῖτε. [12] ἢ ποταμῶν διαβάσεις, ἢ καὶ τόποι στενοὶ καὶ τάφροι. ταύτῃ μάλιστα κυκλοῦσθαι τοὺς φεύγοντας οὐ χρὴ, ἵνα μὴ ἀναγκάζοιντο ἐξ ἀπονοίας μάχεσθαι· τῶν τειχῶν ἐγγὺς διώκειν οὐ συμφέρει· πολλοὶ γὰρ ἤδη λαθόντες, ἐντὸς βέλους ἐγένοντο, καὶ κακῶς παθόντες ἀνεχώρησαν.

γ' Ἰφικράτης νύκτωρ κατελάβετο πολεμίων πόλιν. οἱ δὲ συνέφευγον εἰς τὴν ἀγορὰν, καὶ τὸ πλῆθος ἠθροίζοντο· Ἰφικρά-

12 *Masv.* legi mavult ᾗ hic et in ſequenti, ut referatur ad ταύτῃ.

revertatur, et recte inſtructus redeat. Hoc audito, timidiores lætabantur, et continuo reverti cœperunt. At Iphicrates nulla mora facta: Nunc, inquit, viri ſine mancipiis nos cum hoſtibus manum conſeremus, ut ſoli etiam fructum fortitudinis et virtutis capiamus. Hac re multo confidentiores effecti ſunt milites, et ſine timidis pugnam facientes, victoriam pepererunt.

2 Iphicrates hoſtibus in fugam verſis, pedetentim agmen ducens ſequebatur, et præcipiens ajebat: Qui levi armatura eſtis, inſidias omni ſtudio cavete. Extremum autem agmen fugientium cædite. Uſque ad fluviorum tranſitus, et locorum anguſtias atque foſſas. Hic maxime includi fugientes non oportet, ne cogantur ex deſperatione pugnare. Prope munitiones, aut mœnia perſequi non utile eſt. Multi enim jam ſæpe parte victoria poſtquam intra teli jactum venerunt, maximis cladibus affecti diſceſſerunt.

3 Iphicrates noctu capiebat hoſtium urbem. Quibus in forum concurrentibus, et in magnam multitudinem con-

Ἰφικράτης ἀνοίγειν ἐκέλευσε τὰς πύλας, παρέχων αὐτοῖς ἀφορμὴν τοῦ φεύγειν, ἵνα τῆς πόλεως αὐτὸς ἀκινδυνώτερον κρατήσειεν..

δʹ Ἰφικράτης ἐν Θρᾴκῃ 13 ἐνέβαλλεν· τῶν στρατιωτῶν αὐτοῦ φοβηθέντων τοὺς πολεμίους, 14 καὶ ἐς φυγὴν τρεπομένων, ἐκήρυξεν ὃς ἂν μηνύσῃ τὸν ἀφέντα . . . . . τὸν νόμον ἐς τὰ ὅπλα ὡς δὴ πανικοῦ γεγονότος· τούτῳ τῷ κηρύγματι, τὰς ψυχὰς τῶν στρατιωτῶν ἀνεκαλέσατο, καὶ πρὸς τὸ μένειν εὐθυμοτέρας ἐποίησεν.

εʹ Ἰφικράτης διὰ μέσων πολεμίων ἐξελθεῖν βουλόμενος, ἔπεμψε νύκτωρ ἐπὶ τὰ ἄκρα τῶν κατεχομένων χωρίων σαλπιγκτὰς, τὸ πολεμικὸν σημῆναι προστάξας. οἱ μὲν ἐσήμηναν· οἱ πολέμιοι δὲ ἀνέδραμον πρὸς τὸν ἦχον τῶν σαλπιγκτῶν. Ἰφικράτης ἀσφαλῶς διῆλθε, τῶν πολεμίων τὸν μέσον τόπον ἔρημον καταλιπόντων.

ϛʹ Ἰφικράτης ἡττηθεὶς, μετ᾽ ὀλίγων κατέφυγεν ἐς χωρίον δασὺ καὶ πολύδενδρον· ἐπεὶ δ᾽ ἐφυλάσσετο, προσέταξε νύκτωρ κατὰ θάτερον μέρος ποιῆσαι θόρυβον· τῶν πολε-

13 *Cant.* ἐνέβαλε. 14 Hic locus eo ordine legendus, quo monuit *Caſ.* ἐς φυγ. τρ. ὡς δὴ πανικοῦ γεγονότος, ἐκήρυξεν, ὃς ἂν μηνύσῃ τὸν ἀφέντα τὸν νόμον καὶ τὰ ὅπλα.

conglobatis, Iphicrates portus aperire juſſit, fugiendi poteſtatem concedens, ut ipſe minori cum periculo civitatem obtineret.

4 Iphicrates in Thraciam impreſſionem faciens, cum ſui milites, hoſtium metu quaſi panico injecto, in fugam verterentur, promulgavit, ut quisquis indicaret eum qui ordinem deſeruiſſet et arma reliquiſſet, is ea poſſideret: Hoc præconio et excitavit animos militum et ad manendum alacriores reddidit.

5 Iphicrates, ut per medios hoſtes evaderet, noctu tibicines miſit ad extremitates locorum occupatorum, mandans, ut claſſicum canerent. Quibus canentibus, hoſtes ad tubicinum ſonitum accurrerunt. Iphicrates cum hoſtes medium locum inanem reliquiſſent, ſine periculo tranſiit.

6 Iphicrates victus, cum paucis in locum denſum et plenum arboribus confugit. In eo cum obſideretur, præcepit noctu, ut ab altera parte tumultum ederent. Hoſti-

πολεμίων τρεπομένων πρὸς τὸ θορυβοῦν μέρος, αὐτὸς κατὰ θάτερον ἐξῆλθεν ἀκωλύτως.

ζ' Ἰφικράτης στρατιώτας εἶχε πλείους τῶν πολεμίων, καὶ οἱ μάντεις καλὰ τὰ ἱερὰ προὔλεγον, ἀλλ' οὐκ ἔκρινε παρατάξασθαι· ὡς δὲ παράλογος ἡ μέλλησις τοῖς πολεμίοις ἐγένετο· τὰ ἐν τῇ διανοίᾳ μου ἱερὰ οὐκ ἐπέτρεψεν, ἔφη, συνάψαι μάχην· πολλοὶ γὰρ ὄντες οἱ στρατιῶται, οὔτε προβάλλεσθαι ὁμοῦ δυνατοὶ ἦσαν, οὔτε παιανίσαι. ἡνίκα δὲ παρήγγειλα κλῖναι τὸ δόρυ, πλείων ἐξηκούετο ψόφος τῶν ὀδόντων ἢ τῶν ὅπλων.

η' Ἰφικράτης ἀντιστρατευομένων τῶν πολεμίων προῆλθε τρισὶν ἡμέραις λαθών· μηχανησάμενος δὲ τὸ λαθεῖν, ξύλα ξηρὰ ὑφῆψε, καὶ τοῖς ξηροῖς χλωρὰ ἐπέθηκεν· ὁ δὲ ἀὴρ παχὺς καὶ ὁμιχλώδης γινόμενος ἐπεσκότισε ταῖς τῶν πολεμίων ὄψεσιν.

θ' Ἰφικράτης τῶν μαντείων ἀπαγορευόντων οὐκ εὐθὺς ἐπείθετο. ἀλλ' ἢ τὸ πλῆθος μετέταττεν, ἢ τὴν χώραν ὑπήλλαττεν, ἢ τὸ χωρίον μετέβαλλε. καὶ πάλιν ἐπὶ τούτοις ἐθύετο. τοῦτο ἐποίει πολλάκις· οὐ μιᾷ σκέψει τὸν τοῦ παντὸς κίνδυνον ἐπιτρέπων.

ι' Ἰφι-

Hoſtibus ad tumultuantem partem converſis, ipſe nemine prohibente per alteram exivit.

7 Iphicrates, quamvis plures milites haberet quam hoſtes, et vates omnia fauſta et egregia promitterent, tamen non ſtatuit prælium committere. Quæ cunctatio cum præter opinionem hoſtibus accidiſſet: Sacra, inquit, in mea mente non permiſerunt pugnam committere. Nam cum multi eſſent milites, neque impetum facere ſimul poterant, neque clamorem tollere: ſed cum haſtam inclinare juberem, major dentium quam armorum fremitus exaudiebatur.

8 Iphicrates e regione caſtrametantibus hoſtibus, clam progreſſus eſt trium dierum itinere. Nam, ut latere poſſet, arida ligna inflammarat, atque aridis viridia impoſuerat: ſic aër denſus et nubilus factus, hoſtium oculis tenebras offudit.

9 Iphicrates, quoties vates dehortarentur, non ſtatim morem gerebat. Sed aut multitudinem transponebat, aut terram aut locum mutabat, atque ſacrificia repetebat. Hoc ſæpe faciebat, non uni conſiderationi periculum univerſæ rei permittens.

10 Iphi-

ι' Ἰφικράτης Λακεδαιμονίοις παραταξάμενος ἤρχετο· πολλοὶ παρεκάλουν αὐτὸν ὅπως ἀποφήνῃ τὸν μὲν χιλίαρχον, τὸν δὲ πεντακοσίαρχον· καὶ ἄλλος ταξίαρχος, καὶ λοχαγὸς ἕτερος ἐσπούδαζε γενέσθαι. πάντας τοὺς παρακαλοῦντας ἀνεβάλετο εἰς καιρὸν ἐπιτήδειον. ὁ δὲ καιρὸς, οὗτος ἦν· προάγει τὴν φάλαγγα· καὶ καθισάμενος τὴν τάξιν, ἐκέλευσεν ἐν ἀποῤῥήτῳ κινῆσαι πανικὸν, ὡς τῶν πολεμίων ἐμβεβληκότων. ταραχὴ μεγάλη πάντων· οἱ μὲν δειλοὶ φοβηθέντες ἀνεχώρουν· οἱ δὲ ἀνδρεῖοι προῆλθον ἀντιταξόμενοι τοῖς πολεμίοις. Ἰφικράτης γελάσας, ὡμολόγησε τὸ πανικὸν αὐτὸς κεκινηκέναι, πειρώμενος τῶν δυναμένων ἡγεῖσθαι· τοῖς μὲν δὴ μείνασι χιλιαρχίας, καὶ ταξιαρχίας ἔδωκεν· τοὺς δὲ ἀναχωρήσαντας ἐκέλευσε τούτοις ἕπεσθαι.

ια' Ἰφικράτης μέλλων καταστρατοπεδεύειν, ἔπεμψε τινὰς καταληψομένους τόπον ὀχυρὸν ποῤῥωτάτω τοῦ στρατοπέδου· θαυμασάντων τῶν παρόντων καὶ ἐρομένων, τί καταλαμβάνεις; Ἰφικράτης ὑπολαβὼν ἔφη, τὸ, τίς ἂν ἤλπισε τοῦτο ἔσεσθαι; παιδεύων, ὡς ἐν πολέμῳ χρὴ φυλακὴν εἶναι καὶ τῶν οὐκ ἐλπιζομένων.

ιβ' Ἰφι-

10 Iphicrates adverſus Lacedæmonios aciem ordinare incipiebat. Complures ab eo petebant, hic ut ſe tribunum conſtitueret, ille ut ſe quingentis ducem præficeret: atque alius centurio fieri, alius manipulum ducere conabatur. Ille petentes omnes in tempus opportunum rejecit, quod cum veniſſet, acie collocata, ſecreto imperat, ut panicus terror exciteтur, quaſi hoſtibus impetum facientibus. Cum magna eſſet omnium perturbatio, timidi metu perculſi, fugam arripuerunt. Fortes progrediebantur, ut ſe hoſtibus opponerent. Iphicrates ridens, confeſſus eſt, ſe panicum terrorem ciere juſſiſſe: ut periculum faceret, quinam poſſent duces agere. His igitur qui manſerant, millenorum ac centenorum præfecturas dedit: iis vero qui fugerant, mandavit, ut hos ſequerentur.

11 Iphicrates caſtra poſiturus, miſit aliquos qui locum munitum ab exercitu longiſſime remotum occuparent. Mirantibus iis qui aderant, et interrogantibus. Ecquid occupas? reſpondens Iphicrates. Illud, inquit, Ecquis hoc futurum ſperaſſet? docens, in bello etiam illa quæ nemo ſperaſſet, cuſtodiis eſſe munienda.

ιβʹ Ἰφικράτης ἐν πεδίῳ μεγάλῳ παρετάττετο· οἱ πολέμιοι πολλῷ πλείους ὄντες προσέβαλον· ὁ δὲ κατόπιν τῶν αὐτοῦ στρατιωτῶν, τάφρον βαθεῖαν ὤρυξεν· ὡς μὴ φυγῆς ἐλπίδας ἔχοντες, γενναιότερον ἀγωνίζοιντο μένοντες.

ιγʹ Ἰφικράτης, εἰ μὲν ἀγυμνάστοις παρετάσσετο, στρατιώτας ἔχων ἠσκημένους, οὐ παραχρῆμα συνῆπτεν ἐς μάχην· τρίβων δὲ τὸν χρόνον ἐν τῇ συστάσει [15] προσεξέλυε τοὺς πολεμίους, ὡς πονεῖν ἔλαττον εἰθισμένους, καὶ τότε ἐπετίθετο. εἰ δὲ προγεγυμνασμένοις ἔμελλε μάχεσθαι, αὐτὸς ἔχων στρατιώτας ἀγυμνάστους, συνεπλέκετο παραχρῆμα ἐς μάχην, ταῖς πρώταις ὁρμαῖς τῶν οἰκείων ἀκμαίως ἀποχρώμενος.

ιδʹ Ἰφικράτης πολεμίους τρεψάμενος, εἰς χωρίον στενὸν συνήλασεν· ὁρῶν δὲ μηδεμίαν ὁδὸν ἀναχωρήσεως αὐτοὺς ἔχοντας, ἢ μόνην τὴν ἐκ τοῦ νικᾶν ἀνάγκην· εἰπών, μὴ ἀναγκάσωμεν ἀγαθοὺς γενέσθαι τοὺς πολεμίους· ἔδωκεν αὐτοῖς πρὸς τὸ φυγεῖν καιρὸν καὶ τόπον, ἵνα τὴν νίκην αὐτὸς ἀκινδύνως ἔχοι.

ιεʹ Ἰφι-

15 προεξέλυε vel παρέλυε conject. *Caſ.*

12 Iphicrates in latiſſimo campo aciem inſtruebat. Hoſtes longe numero ſuperiores, incurſionem faciebant. At ille a tergo ſuorum militum foſſam profundam effodit, ut ſpe fugæ præciſa manentes fortius et generoſius pugnarent.

13 Iphicrates ſi contra tirones et inexercitatos aciem inſtrueret, habens exercitatos milites, non continuo pugnam faciebat: ſed ſtando tempus conſumens, hoſtes laſſabat, minus ad laborem aſſuetos, atque tum demum impetum faciebat. Sin cum præexercitatis conflicturus eſſet, habens tirones, ſtatim pugnam inibat, et primum ſuorum impetum tempeſtive adhibebat.

14 Iphicrates hoſtes fuſos ac fugatos in anguſtum locum coëgit. Conſpicatus autem nullam eis ad egrediendum viam patere, niſi quam ſolam neceſſitas per victoriam aperuiſſet, inquiens, Ne cogamus hoſtes ſtrenuos fieri: conceſſit eis ad fugam tempus et locum, ut ipſe ſine periculo victoriam obtineret.

15 Iphi-

ιέ Ἰφικράτης θανάτου δίκην φεύγων, παρεστήσατο νεανίσκους ἐγχειρίδια κατέχοντας· οἱ παραφαίνοντες τοῖς δικασταῖς τὰς λαβὰς, οὕτως αὐτοὺς κατέπληξαν, ὥστε φοβηθέντες ἀπεδίκασαν τὴν δίκην.

ιϛ́ Ἰφικράτης καὶ ὡς τὸν κηδεστὴν ἀπιὼν ἐπὶ τὴν ἑστίαν, τὸν θώρακα ἐνεδύσατο λέγων, μελετῶ φυλάττεσθαι.

ιζ́ Ἰφικράτης καὶ ἐν τῇ φιλίᾳ τὸν χάρακα ἐβάλλετο λέγων, οὐ στρατηγικὸν τὸ, οὐκ ᾤμην.

ιή Ἰφικράτης πολεμίους ἐγγύθεν ἐπικειμένους λαθεῖν βουλόμενος, καὶ ἀκινδύνως ἀναζεῦξαι, ὅσα ἦν ἐν τῷ τόπῳ δένδρα περιέκοψε, καὶ προσήρτησεν αὐτοῖς ἀσπίδας, κράνη, δόρατα· οἱ μὲν δὴ πολέμιοι φαντασίαν εἶχον μενόντων. Ἰφικράτης δὲ μετὰ τοῦ στρατοπέδου παντὸς ἀσφαλῶς ἀνέζευξεν.

ιθ́ Ἰφικράτης, εἰ μὲν πλείους τῶν πολεμίων ἔχοι στρατιώτας, βουλόμενος λαθεῖν ἵνα καταφρονοῦντας αὐτοὺς λάβοι, μίαν στιβάδα τοὺς δύο στρατιώτας ἐκέλευσε ποιεῖσθαι· ἐπὶ ταύτης ἀνὰ μέρος ἀναπαύεσθαι· καὶ τὰ ὅπλα ἐπ' ἄλληλα τιθέναι· εἰ δὲ ὀλίγους ἔχοι, ὅπως μὴ καταφρονοῖντο, τὸν ἕνα στρατιώτην δύω στιβάδας ποιεῖσθαι προσέταττε·

καὶ

15 Iphicratis capitis reus, juvenes cum pugionibus in judicio collocavit, qui, monſtrantes capula judicibus, terrorem eis incuſſerunt, ita ut reum abſolverent.

16 Iphicrates etiam ad ſocerum abiens, domum ipſius, thoracem indutus, dicebat, exerceo me cavendo.

17 Iphicrates etiam in ditione amicorum vallo caſtra muniebat, non eſſe boni ducis ajens, dicere, Non putabam.

18 Iphicrates clam hoſtibus prope imminentibus, ut ſine periculo caſtra moveret, quotquot erant arbores in eo loco reſecuit, et appendit illis ſcuta, galeas, haſtas. Hoſtes igitur ex his eos manere conjiciebant, Iphicrates vero cum omnibus copiis tuto caſtra movit.

19 Iphicrates ſi plures hoſtibus milites haberet, et hoc ab hoſtibus ignorari vellet, ut eos paucitatem contemnentes caperet, unum lectum duos milites juſſit facere, et in eo vicibus requieſcere, atque arma altera alteris imponere. Sin paucos haberet, ne contemnerentur, unum militem duo ſtrata juſſit facere, atque ſtatim in alium locum traduxit.

 Ho-

καὶ ταχέως εἰς ἄλλο χωρίον μετανίστατο. τῶν δὲ πολεμίων τὰς στιβάδας καταμαθόντων, καὶ τὸ πλῆθος καταπλαγέντων, τηνικάδε προσπεσὼν συνῆπτε μάχην.

κ' Θηβαῖοι νύκτωρ εἰσπεσεῖν Ἀθήναζε διενοοῦντο. Ἰφικράτης μαθὼν, παράγγελμα ἔδωκεν Ἀθηναίοις, νύκτωρ ὑποσημήναντος, ὡς ἀγορὰν ἀθροίζεσθαι· προδίδοται οἱ ἡ Θηβαίων πόλις, καὶ μετὰ ἡσυχίας ἐξελθόντες ἄφνω προσπεσόντες ἀμαχεὶ Θήβας αἱρήσομεν· τοῦτο δὲ ἐξαγγελθὲν Θηβαῖοι μαθόντες, ἀπέσχοντο, προσπεσεῖν ταῖς Ἀθήναις. ἐς δὲ τὸ φυλάττειν τὴν πόλιν αὐτῶν κατέστησαν.

κα' Ἰφικράτης ὀλίγους εἶχε στρατιώτας, καὶ τούτους ἀθυμοῦντας· βουλόμενος αὐτοῖς θάρσος ἐνδοῦναι, μεταξὺ δειπνοῦντας συγκαλεῖ λοχαγοὺς καὶ ταξιάρχας, καὶ κελεύει φέρειν ὅσον ἕκαστος ἔχοι ἀργύριον, ἢ κόσμον, ὡς προδοσίαν τῶν πολεμίων διαπραξάμενος, καὶ δέον τὰ δῶρα 16 δόντας ἤδη βαδίζειν ἐπὶ τοὺς ἐναντίους· οἱ μὲν ἐκόμισαν. ὁ δὲ λαβὼν, σύνθημα ἔδωκεν Ἑρμῆ Φίλιον. ὡς τοῦτο πρὸς

16 *Διαπραξάμενος Fl.* ſequentia verba paulo aliter leguntur et diſtinguuntur in Vulgata, ſcil. καὶ δέοντα δῶρα. δόντας δὲ ἤδη βαδίζειν. *Maſv.*

Hoſtibus vero ſtrata videntibus, et multitudinem admirantibus, tum demum prælium committebat.

20 Thebani noctu obruere cogitabant Athenas. Iphicrates re cognita, præcepit Athenienſibus, ut noctu ſigno dato in forum convenirent: ſibi proditum iri Thebanorum civitatem: Itaque ſine tumultu egredi in animo habere, ac ſine pugna Thebas ex improviſo obruere. Id cum Thebanis nuntiatum eſſet, ab opprimendis Athenis deſtiterunt, ad cuſtodiendam urbem remanentes.

21 Iphicrates cum paucos haberet milites, eosque triſtibus et abjectis animis præditos, volens audaciam et confidentiam ipſis injicere, inter cœnandum convocat manipulorum duces ac centuriones, jubetque quantum quisque haberet, adferre, ſive argentum, ſive aurum, ſive ornatum, quaſi proditionem hoſtium facturus, oportere jam, collatis donis, eos pergere ad hoſtes. Qui quidem attulerunt. Ille cum accepiſſet, teſſeram dedit Mercurium Philium, quaſi de hoc ſibi cum proditoribus

πρὸς τοὺς ἐνδιδόντας αὐτῷ συγκείμενον· καὶ βραχὺ διαλιπὼν, ἐπῆγε τοὺς στρατιώτας. οἱ δὲ πιστεύσαντες ὡς ἔχουσι τοὺς προδώσοντας, εὐθαρσέστεροι πρὸς τὴν μάχην ἐγένοντο.

κβ΄ Ἰφικράτης τὴν σύνταξιν τῶν στρατοπέδων εἴκαζε τῷ σώματι· θώρακα ἐκάλει τὴν φάλαγγα· χεῖρας τοὺς ψιλούς· πόδας τὴν ἵππον· κεφαλὴν τὸν στρατηγόν. τὰ μὲν δὴ ἄλλα ὅταν ἐπιλείπῃ, χωλὸν, καὶ πηρὸν τὸ στρατόπεδον. ὅταν δὲ ὁ στρατηγὸς ἀπόληται, τὸ πᾶν ἄχρηστον οἴχεται.

κγ΄ Ἰφικράτης ἐν Μιτυλήνῃ λόγον ἔδωκεν, ἀσπίδας χρὴ κατασκευάσαι διὰ τάχους πολλὰς, ὥς τε τοῖς τῶν Χίων οἰκέταις πέμψαι· Χῖοι τοῦτο ἀκούσαντες, καὶ τὸ οἰκετικὸν φοβηθέντες, παραχρῆμα ἔπεμψαν αὐτῷ χρήματα· καὶ συμμαχίαν συνέθεντο.

κδ΄ Ἰφικράτης Σικυῶνι προσέβαλλε· Λάκων ἁρμοστὴς βοήθειαν ἐκ Λακεδαίμονος μεταπέμψασθαι σκηψάμενος, τοὺς πεμφθέντας εἰς ἐνέδραν καθίσαι προσέταξεν· οἱ μὲν δὴ ἐλόχων. Ἰφικράτης δὲ βαδίζων ἐπὶ τὴν πόλιν παρῆλθε τὴν ἐνέδραν· νεανικοί τινες ἐκ τῆς πόλεως θρασύτερον ἠπείλησαν, νῦν γέ τοι δώσεις δίκην. Ἰφικράτης ὑπονοήσας

toribus conveniſſet: et parva interpoſita mora, milites adduxit. Qui credentes fore, ut ſibi aliqui adverſarios proderent, audentiores ad faciendum prælium extiterunt.

22 Iphicrates diſpoſitionem exercituum humano corpori aſſimilabat. Pectus phalangem appellabat, manus levis armaturæ milites, pedes equitatum, caput ducem. Reliquorum aliquod ſi deſit, claudum et mancum exercitum eſſe: ſin deficiat dux, totum inutilem diſcedere.

23 Iphicrates Mitylænis rumorem in vulgus diſſeminavit, brevi multa ſcuta comparari oportere, quæ Chiorum ſervis mitterentur. Hoc audito Chii, mancipiorum conatum metuentes, e veſtigio miſerunt ei pecunias, et ſocietatem fecerunt.

24 Iphicrates Sicyonem oppugnabat. Lacedæmonius præfectus Lacedæmone auxilium arceſſens, juſſit miſſos in inſidiis collocare. Qui inſidias ſtruxerunt. Iphicrates viam ad urbem dirigens, tranſiit inſidias. Aliqui feroces ex urbe minabantur audacius, Nunc vero pœnas dabis. Iphicrates ſuſpica-

σας εἶναί τινας, οἷς οὗτοι πεποίθασιν, αὐτίκα ἀναστρέφει κατ᾽ ἄλλην ἀνοδίαν σύντομον· καὶ τοὺς εὐρωστάτους ἐπιλέξας αὐτὸς ἄφνω προσπίπτει τοῖς ἐνεδρεύουσι, καὶ πάντας διέφθειρεν· ὁμολογῶν ἁμαρτάνειν, ὅτι μὴ προηρευνήσατο τοὺς τόπους· τῷ δὲ ταχέως ὑποπτεῦσαι τὸν λόχον ἄριστα ἐχρήσατο, προσμίξας ὀξέως τοῖς ἐνεδρεύουσιν.

κε΄ Ἰφικράτης ἔμελλε βαρβάροις μάχεσθαι· καὶ βουλόμενος τοὺς ἑαυτοῦ στρατιώτας εὐτολμοτέρους ποιῆσαι, δέδοικα, ἔφη, μὴ οὐκ ᾐσθημένοι εἶεν οἱ βάρβαροι, ὡς τοὺς πολεμίους εἴωθα καταπλήττειν, τῷ Ἰφικράτης εἶναι. ἀλλ᾽ ἔγωγε φροντιῶ, ὅπως νῦν γένοιντο καταμαθόντες, καὶ τοῖς ἄλλοις ἀπαγγέλλωσι· μόνον καὶ ὑμεῖς συμφιλοτιμήσασθέ μοι· ἐπεὶ δὲ συνίεσαν αἱ δυνάμεις, φήσαντός τινος φοβεροὺς εἶναι τοὺς πολεμίους· καὶ πόσῳ, εἶπεν, ἡμεῖς ἐκείνοις φοβερώτεροι.

κϛ΄ Ἰφικράτης παρεκάλεσε τοὺς στρατιώτας, ἀνθ᾽ ὧν πολλοὺς καὶ ἐνδόξους ἀγῶνας νενικήκασιν αὐτοῦ ἡγουμένου, τοῦτο μόνον αὐτῷ χαρίσασθαι, στῆναι προτέρους ἐν τῷ προσιέναι τοῖς ἐναντίοις, εἰδὼς ὅτι τοῦτο ποιῆσαι μὴ φιλοτιμηθέντων, συμβήσεται τοὺς ἐναντίους προτέρους τοῦτο πρᾶξαι.

κζ΄ Ἰφι-

ſpicatus aliquos eſſe, in quibus illi ſpem haberent, ſtatim revertitur per aliam viam difficilem et compendioſam: atque ipſe delectis robuſtiſſimis, continuo eos, qui in inſidiis latebant, obruit, et omnes morte affecit: confeſſus ſe erraſſe, quod non ante loca perſcrutatus fuiſſet. Suſpicione vero repentina optime uſum eſſe, quod extemplo inſidiantes adortus eſſet.

25 Iphicrates cum barbaris prælium collaturus, volens ſuos milites audaciores reddere: Vereor, inquit, ne non intellexerint barbari, quemadmodum hoſtes terrere ſoleam, Iphicratis nomine. Sed ego curam adhibebo, ut nunc id intelligant, et aliis renuntient. Tantum vos etiam ſtudium mecum intendite. Cum autem congrederentur exercitus, dicente quodam hoſtes eſſe formidabiles: Et quanto nos, inquit, ſumus formidabiliores?

26 Iphicrates rogabat milites, ut quoniam multa et glorioſa certamina ſe duce viciſſent, ſibi hoc ſolum largirentur, ac priores ſtarent, dum in hoſtes iretur: ſciens, niſi id facere ſummo ſtudio contendiſſent, eventurum ut hoſtes idem priores facerent.

27 Iphi-

κζ Ἰφικράτης ὑπέσχετο τοῖς στρατιώταις τὴν νίκην παραδώσειν, ἐὰν, τὸ σημεῖον ἄραντος, παραθαρσύναντες ἀλλήλους ἓν βῆμα προβῶσιν. ἦν μὲν ἐπὶ ῥοπῆς ὀξυτάτης ἡ μάχη· τὸ δὲ σημεῖον ἦρεν ὁ στρατηγὸς, καὶ οἱ στρατιῶται προέβησαν ἐπαλαλάξαντες, καὶ τοὺς πολεμίους ὠσάμενοί, εἰς φυγὴν ἔτρεψαν.

κη Ἰφικράτης περὶ Κόρινθον Ἀθηναίων ἐστρατήγει πολεμούντων Θηβαίοις· οἱ μὲν Ἀθηναῖοι σφόδρα ἐπήγοντο ἐξελθεῖν ἐπὶ τὴν μάχην· Ἰφικράτης δὲ ὁρῶν τοὺς πολεμίους πλείονας, καὶ ἐπὶ προσφάτῳ τῇ ἐν Λεύκτροις νίκῃ μεγαλοφρονοῦντας, οὐ προῆγεν, ἀλλὰ καὶ πρὸς αὐτοὺς ἔφη· ἐγὼ μὲν ὑμᾶς ἐς τοῦτο ἀνδρείας προήγαγον, ὥς τε καταφρονεῖν Βοιωτῶν δύνασθαι· τῶν δὲ ἐμοῦ κρειττόνων στρατηγῶν παραλαβών τις ὑμᾶς προαγέτω. οὕτως εἶλε τοὺς Ἀθηναίους, καὶ τῆς ὁρμῆς [17] ἐπαύσαντο, ἡ παρὰ στρατηγοῦ ἀρετὴ, μὴ συνεξορμῆσαι τοῖς προεξανισταμένοις, ἀλλὰ τὸν θυμὸν αὐτῶν λογισμῷ κατασχεῖν.

κθ Ἰφικράτης προδοσίας δίκην ἔφευγεν. Ἀριστοφῶν καὶ Χάρης ἐδίωκον· αἰτία δὲ ἦν ὅτι ἄρα περὶ Ἔμβατα δυνάμενος

17 ἐπαύσατο melius videtur eſſe

27 Iphicrates promittebat, ſe militibus victoriam daturum, ſi, poſtquam ipſe ſignum extuliſſet, animantes ſe mutuo, unum gradum procederent. Cum pugna eſſet in inclinatione graviſſima, dux ſignum tollebat. Milites acclamantes ſibi mutuo procedebant, et hoſtes pulſos in fugam vertebant.

28 Iphicrates ad Corinthum Athenienſium dux erat, bellum Thebanis inferentium. Athenienſes admodum feſtinabant egredi ad pugnam. Iphicrates videns hoſtes numero plures, recens parta in Leuctris victoria, confidere, non produxit. Sed ad eos inquit: Ego vos ad tantam fortitudinem adduxi, ut etiam contemnere Bœotos poſſitis. Verum ex iis ducibus, qui me ſunt præſtantiores, aliquis vos aſſumat, et producat. Ita cepit Athenienſes, et ab impetu revocavit ducis virtus, ut non egredi cogeretur ad pugnam una cum his qui ante ſurrexiſſent, ſed furorem ipſorum ratione compeſcuit.

29 Iphicrates proditionis reus citabatur, accuſantibus Ariſtophonte et Charete, eam ob cauſſam, quod ad Embata cum hoſtes interficere

μενος ἑλεῖν τοὺς πολεμίους, οὐ διεναυμάχησεν· ὁρῶν τὸ δικαστήριον ὑποφερόμενον εἰς τοὐναντίον, τοῦ λόγου παυσάμενος, παρέφηνέ πως τὸ ξίφος τοῖς δικασταῖς· οἱ δὲ καταδείσαντες μὴ τὴν ἑταιρίαν ὅλην ἐξοπλίσας κυκλώσειε τὸ δικαστήριον, ἄφεσιν αὐτῷ πάντες ἐψηφίσαντο· μετὰ τὴν νίκην, ψηφισαντός τινος, ὡς παρεκρούσατο τοὺς δικαστάς· εὐήθης ἂν εἴην, ἔφη, ὑπὲρ Ἀθηναίων μὲν στρατηγῶν, ὑπὲρ ἐμαυτοῦ δὲ πρὸς Ἀθηναίους μηκέτι.

λʹ Ἰφικράτης ἐν ἀπορίᾳ χρημάτων ἔπεισεν Ἀθηναίους τὰ ὑπερέχοντα τῶν οἰκοδομημάτων ἐς τὰς δημοσίους ὁδοὺς ἀποκόπτειν, ἢ πιπράσκειν· ὥς τε οἱ δεσπόται τῶν οἰκιῶν πολλὰ εἰσήνεγκαν χρήματα ὑπὲρ τοῦ μὴ περικοπῆναι καὶ σαθρὰ γενέσθαι τὰ οἰκοδομήματα.

λαʹ Ἰφικράτης μετὰ μὲν τὴν μάχην, ἀπὸ τῶν ληφθέντων ἄξια τῶν πόνων διένειμεν ἑκάστῳ· εἰ δὲ ξένια παρὰ πόλεων ἐκομίσθη, καὶ ἀπὸ τούτων διέπεμπεν ἑκάστῳ, οὐ κατὰ ἕνα μόνον, ἀλλὰ καὶ κατὰ ἔθνη [18] καὶ κατὰ λόχους. καὶ κατὰ τὰς ὁπλίσεις, ἱππεῦσιν ἄλλα, ὁπλίταις ἄλλα,

18 Diſtinctio non recte videtur facta in textu, ideo eam in verſione mutavi.

cere poſſet, navale prælium non inierat. qui videns judicium in contrariam ſententiam ferri, deſiſtens a dicendo, enſem quodammodo judicibus oſtendit. Illi vero timentes, ne tota conſpiratione armata circumdaret judicium, abſolutionem omnes ei decreverunt. Poſt victoriam decernente quodam, eum judicibus vim adhibuiſſe: Amens eſſem, inquit, ſi pro Athenienſibus bella geram, pro me vero non item.

30 Iphicrates in ſumma pecuniarum egeſtate ſuaſit Athenienſibus, ut ædificiorum, quæ eminerent in publicas vias, partem abſcinderent, aut ea venderent. Itaque domini ædium multas pecunias contulerunt, ne mutilarentur, aut labefactarentur ædificia.

31 Iphicrates poſt pugnam de præda cuilibet dignam laboribus partem diſtribuit. Sin munera a civitatibus adferrentur, ab his etiam diſpertivit unicuique, non ſigillatim tantum, verum etiam ſecundum cohortes atque manipulos, et ſecundum armaturas, equitibus alia, armatis alia, levis armaturæ mili-

ἄλλα, ψιλοῖς ἕτερα, πρὸ τῆς μάχης σιγὴν κηρύξας ἐπηγγέλλετο τῷ ἀριςεύσαντι ἐν τοῖς ὁπλίταις ἆθλον· καὶ τῷ πάλιν ἐν τοῖς ἱππεῦσιν, ἢ ἐν τοῖς πελταςαῖς, καὶ ἐφεξῆς ἐν ἁπάσαις ταῖς τάξεσιν· ἔν γε μὴν ταῖς ἑορταῖς, καὶ πανηγύρεσιν, ὅσοι ἀνδρειότεροι τῶν ἄλλων, προετίμα προεδρίαις. ταῦτα πάντα ἐςρατήγει, προθυμοτέρȣς ποιῶν τȣ̀ς ςρατιώτας ἐν τοῖς κινδύνοις.

λβʹ Ἰφικράτης ποικίλως ἐγύμναζε τȣ̀ς ςρατιώτας, μηχανώμενος ψευδοβοηθείας, ψευδοενέδρας, ψευδοπροδοσίας, ψευδαυτομολίας, ψευδεφόδȣς, ψευδοπανικὰ, ἵνα εἴ ποτε καὶ τοιȣ̃τόν τι γένοιτο, μηδαμῶς ἐκπλήσσοιντο.

λγʹ Ἰφικράτης περὶ τὸ ἱερὸν ὄρος ἀντικαθιςαμένων αὐτῷ πολεμίων, καὶ ἀπεχόντων ςάδια πέντε, καὶ κατεχόντων ὑψηλότατον τόπον παρὰ τὴν θάλασσαν, καὶ τῆς πορείας τῆς ἐπ᾽ αὐτȣ̀ς ἐφ᾽ ἕνα ȣ̓́σης· τὸ δὲ λοιπὸν χωρίον ἀπόκρημνον ἦν εἰς τὴν θάλασσαν, ἐπιλεξάμενος ἄνδρας εὐρώςȣς, νύκτα παραφυλάξας ἀνηνεμίαν, ἀλειψάμενος λίπα σὺν τοῖς ἀναγκαίοις ὅπλοις, διὰ τῆς θαλάττης περιών· ὅσα γε μὴν βαθύτερα παρανηχόμενος, παρελθὼν τȣ̀ς φύλακας ἐκβὰς, ὄπισθεν αὐτῶν γενόμενος, ἀπέκτεινε πάντας·

militibus alia. Ante pugnam, facto ſilentio, promittebat ei, qui ex armatis ſe fortiſſime geſſiſſet, præmium: et iterum ei qui ex equitibus, ſive ſcutatis, ſeu ordine deinceps in ſingulis ordinibus. In feſtis autem et publicis comitiis eos, qui cæteris magis ſtrenui extitiſſent, primis ſedibus honorabat. Hæc omnia excogitabat, ut alacriores et promtiores ad pericula milites redderet.

32 Iphicrates variis modis milites exercebat, fictis excurſionibus, falſis inſidiis, fictis proditionibus, ſimulatis tranſitionibus, fictis aggreſſionibus, et panicis terroribus, ut ſi quando tale quid eveniret, non terrerentur.

33 Iphicrates circa ſacrum montem ex adverſo conſtitutis hoſtibus, et quinque ſtadia diſtantibus, atque altiſſimum locum juxta mare tenentibus, cum non aliter quam ſingulis ad illos via pateret, reliquus vero locus præceps in mare ferretur, delectis robuſtis ac fortibus viris, obſervata nocte tranquilla, unctus oleo cum neceſſariis armis per mare circumiens: ubi vero eſſet aqua profundior, tranans acceſſit, et egreſſus a tergo cuſtodes adortus, omnes trucidavit,

ac

τας· καὶ τὸ αὐτοῦ στρατόπεδον ἤγαγε διὰ τῆς στενῆς ὁδοῦ παρὰ τὸν κρημνόν· καὶ τοῖς πολεμίοις, ἔτι νυκτὸς οὔσης, ἀφυλάκτοις καὶ μὴ προσδοκῶσιν ἐπιθέμενος, τινὰς μὲν διέφθειρε, τινὰς δὲ ἐζώγρησεν.

λδ' Ἰφικράτης περὶ χειμῶνας καὶ κρυμοὺς, ὁρῶν καιρὸν ἐπιθέσεως προάγειν ἐβούλετο τοὺς στρατιώτας· διὰ γυμνότητα καὶ κρύος οὐ προθυμουμένων, αὐτὸς ἐνδὺς ἐσθῆτα φαύλην, καὶ τῶν ἄλλων ἀθλιωτέραν, παριὼν τὰς σκηνὰς ἕκαστον ἐπιχειρῆσαι τοῖς πολεμίοις παρεκάλει. οἱ δὲ προθύμως ἠκολούθησαν, ὁρῶντες τὸν στρατηγὸν ταπεινῶς ἠσθημένον, καὶ ἀνυπόδητον, ὑπὲρ τῆς κοινῆς σωτηρίας προθυμούμενον.

λε' Ἰφικράτης εἰ μὲν μὴ ἔχοι διδόναι μισθοφορὰν, ἦγε τοὺς στρατιώτας εἰς ἀνοίκητα χωρία, καὶ ἀκτὰς, ἵνα ὡς ἐλάχιστα ἀναλίσκοιεν· εἰ δὲ εὐποροίη χρημάτων, ἦγεν αὐτοὺς ἐς πόλεις καὶ χωρία εὐδαίμονα· ὅπου τάχιστα τὸν μισθὸν ἀναλώσαντες σπουδάζοιέν τι πράττειν, διὰ τὴν τοῦ ἀργυρίου ἔνδειαν. οὐ μὴν ἐπέτρεπεν αὐτοὺς οὐδὲ σχολάζειν. ἀλλ' εἰ μὴ πόλεμος ἦν, ἀεί τι προσέταττεν, ἢ ὀρύττειν, ἢ τα-

ac ſuum exercitum per anguſtam viam juxta præcipitium duxit. Hoſtes igitur nocte adhuc durante ex improviſo nec opinantes adortus, alios occidit, alios vivos cepit.

34 Iphicrates ſub hyemem et magna frigora videns opportunum tempus hoſtes aggrediendi, producere milites volebat. Quibus ob veſtium tenuitatem, et frigoris ſævitiam difficulter obedientibus, ipſe malam veſtem indutus, et reliquis leviorem, accedens ad tabernacula, ſingulos hortabatur ut hoſtes invaderent. Qui conſpicati ducem abjectiſſima veſte præditum et calceis vacantem, pro communi ſalute ſe voluntario periculo offerre, libenter ſecuti ſunt.

35 Iphicrates quando non poterat dare ſtipendia, duxit milites ad inhabitata loca et littora, ut quam minimum abſumerent. Sin abundaret pecuniis, duxit ipſos in civitates et loca florentia, ubi celerrime conſumto ſtipendio facere præclarum aliquid ob inopiam pecuniæ conarentur. Non autem permiſit eis otium agere. Sed cum bellum non eſſet, ſemper aliquid negotii dedit, et juſſit aut cuniculos in terram agere, aut foſſas ducere, aut arbores ſecare,

ἢ ταφρεύειν, ἢ δένδρα κόπτειν, ἢ ἀναζευγνύειν, ἢ μετασκευάζειν, ὡς ἐν τῇ σχολῇ νεωτερίζειν βουλομένων.

λϛʹ Ἰφικράτης Σάμον κατασύρας, εἰς Δῆλον κατέπλευσε. Σάμιοι ἐς πρεσβείας ἀφίκοντο λυτροῦσθαι βουλόμενοι τὰ ληφθέντα· ὁ δὲ ὁμολογῶν ἀποδώσειν, κρύφα ὑπηρετικὸν ἐκπέμψας ὡς ἐξ Ἀθηνῶν ἐκέλευσε καταπλεῖν κομίζον ἐπιστολὴν πεπλασμένην, ὡς Ἀθηναίων αὐτὸν ἐπανήκειν κελευόντων. ὁ δὲ πρὸς τοὺς Σαμίους διαλυσάμενος φιλανθρώπως, τοῖς τριηράρχοις ἀναγωγὴν παραγγείλας, ἀποπλεύσας, εἰς ἐρήμην νῆσον ὡρμίσατο νυκτὸς καὶ ἡμέρας. οἱ Σάμιοι πυθόμενοι ὡς ἀπέπλευσεν Ἰφικράτης, φιλανθρώπως αὐτοῖς χρησάμενος κατά τε τὴν πόλιν ἀδεῶς διέτριβον, καὶ ἐς τὴν χώραν ἀδεῶς διεξῄεσαν· ὁ δὲ διεσκεδασμένων πάλιν ἐπιπλεύσας ἐς τὴν Σάμον, πολλῷ πλείονα λείαν τῆς προτέρας ἥρπασε. τοῦτο καὶ ὁ Φορμίων πρότερος ἐποίησε Χαλκιδεῦσιν.

λζʹ Ἰφικράτης Λακεδαιμονίους καὶ Θηβαίους πολεμοῦντας ἐπεχείρει διαλλάσσειν· οἱ σύμμαχοι Θηβαίων Ἀργεῖοι καὶ Ἀρκάδες ἀντέπρασσον· ὁ δὲ τῶν στρατιωτῶν ἐνίοις προσέταξε

ſecare, aut caſtra transferre, aut vaſa transmutare, quod in otio novas res moliri exiſtimaret.

36 Iphicrates in Samo prædatus, in Delum navigavit. Samii legati venerunt: ea quæ capta fuiſſent, pretio redemtum. Qui promittens ſe eis redditurum, clam expeditam navim emiſit, et quaſi ab Athenis navigare juſſit, ac fictam epiſtolam ferre, tanquam Athenienſibus ipſum redire jubentibus, ipſe cum Samiis amice pace conſtituta, triremium præfectis ſolvere mandans, et abnavigans verſus inſulam deſertam, noctem unam et diem illic ſtationem habuit. Samii cum audiviſſent Iphicratem abnavigaſſe, ſummamque legatis humanitatem præſtitiſſe, ſine metu in civitate verſabantur, et absque metu in regione paſſim oberrabant. Quibus diſſolute vagantibus, ille rurſus ad Samum apellens, prædam longe majorem quam antea diripuit. Idem hoc Phormion prius Chalcidenſibus fecit.

37 Iphicrates Lacedæmonios et Thebanos bellum inter ſe mutuo gerentes in gratiam reducere conabatur. Argivis et Arcadibus ſociis Thebanorum reſiſtentibus, mandavit quibusdam militibus,

τάξει λεηλατῆσαι τὴν Ἀργολίδα· τῶν δὲ Ἀργείων ἐγκαλούντων, τοὺς φυγάδας αὐτῶν ἔφη αἰτίους εἶναι. προελθὼν δὲ καὶ ὡς τοὺς φυγάδας ἀνελόμενος, τὴν λείαν τοῖς Ἀργείοις ἀπέδωκεν· οἱ δὲ ἀπολαβόντες, ὡς εὐεργέτῃ καὶ φίλῳ τῷ Ἰφικράτει προσέφευγον, καὶ τὴν εἰρήνην αἱρεῖσθαι Θηβαίους ἔπεισαν.

λη΄ Ἰφικράτης βασιλέως στρατηγῶν μετὰ Φαρναβάζου, πλέων ἐπ' Αἰγύπτου, τῆς χώρας οὔσης ἀλιμένου, παρήγγειλε τοῖς τριηράρχοις, τεσσαράκοντα σάκκους ἕκαστος ἐχέτω. προσορμιζομένων δὲ τοὺς σάκκους ἄμμου πλήσας, κεφαλίδας ἐξῆπτεν ἑκάστης νεὼς, καὶ οὕτως ἀνείλκυσεν αὐτὰς τεταρσωμένας.

λθ΄ Ἰφικράτης ἐν Ἐπιδαύρῳ, μικρὸν ἄνω θαλάσσης παρετάσσετο· γενόμενος δὲ κατὰ ἄλσος βαθὺ, καὶ σύσκιον, ἀνεβόησεν, ἐξανίστασθαι τοὺς ἐγκαθημένους· οἱ πολέμιοι φοβηθέντες ἐνέδραν μεγάλην, ἀνέστρεψαν· καὶ διὰ τάχους εἰς τὰς ναῦς καταφυγόντες ἀνεχώρησαν.

μ΄ Ἰφικράτης ἐν Θεσσαλίᾳ καὶ Ἰάσων ὁ τύραννος πλησίον ποταμοῦ σπείσασθαι βουλόμενοι, δι' ἀγγέλων ἠρεύνησαν ἀλλήλους, καὶ τὰ σώματα ἐγύμνωσαν· καὶ οὕτως ὑπὸ

bus, ut Argolidem deprædarentur. Argivis accuſantibus, profugos ipſorum ajebat auctores eſſe. Procedens etiam quaſi transfugis occiſis, prædam Argivis reddidit. Quam cum recepiſſent, ad Iphicratem tanquam benefactorem et amicum confugerunt, et Thebanis, ut pacem cuperent, perſuaſerunt.

38 Iphicrates Regis nomine bellum gerens, una cum Pharnabazo navigans in Ægyptum, cum regio eſſet importuoſa, mandavit triremium præfectis, ut quilibet quadraginta ſaccos haberet. Cum vero appellerent, ſaccos arena complens, fulcra ex ſingulis navibus ſuſpendit, atque ſic eas firmatas retinuit.

39 Iphicrates in Epidauro, non multum ſupra mare aciem inſtruebat. Poſtquam vero ad nemus profundum et umbroſum ventum eſſet, exclamavit, ut poſiti in inſidiis conſurgerent. Hoſtes magnas inſidias metuentes, reverſi ſunt, et celeri fuga ſe in naves receperunt.

40 Iphicrates in Theſſalia et Jaſon tyrannus prope fluvium fœdus componere volentes, per internuntios ſeſe mutuo ſcrutabantur, et corpora armis nudabant, atque

ὑπὸ τὴν γέφυραν ἐλθόντες διελέξαντο· ἐπεὶ δὲ καὶ τοὺς ὅρκους διὰ τῶν ἱερείων ἐχρῆν ποιήσασθαι, Ἰφικράτης μὲν δὴ ἐπὶ τὴν γέφυραν ἀνῆλθεν. Ἰάσων δὲ τὸ ἱερεῖον παραλαβὼν τοῦ ποιμένος ἀπηλλαγέντος, σφαγιάζειν εἰς τὸν ποταμὸν ἤρχετο. καὶ δὴ τότε Ἰφικράτης καθαλλόμενος τῆς σφαγίδος ἐπιλαβόμενος, αὐτὸν μὲν ἀποκτεῖναι ἀπέσχετο, προσομολογῆσαι δὲ ἃ συνέφερεν αὐτῷ κατηνάγκασεν.

μα′ Ἰφικράτης ἐν Θρᾴκῃ προσκαθημένων πολεμίων, ἐνέπρησε νυκτὸς τὴν μεταξὺ ἀμφοτέρων ὕλην· καὶ τὰ σκευοφόρα καὶ πολλὰ τετράποδα καταλιπὼν, τοῦ καπνοῦ σκοτεινοτέραν τὴν νύκτα ποιοῦντες, ἀνεχώρησεν εἰς τόπον δασὺν καὶ σύσκιον· ἡμέρας δὲ γινομένης, οἱ Θρᾷκες, ἐπὶ τὸ στρατόπεδον ἐλθόντες, οὐδένα τῶν Ἑλλήνων εὑρόντες, ὥρμησαν ἐπὶ τὴν ἁρπαγὴν τῶν τετραπόδων, καὶ τῶν σκευοφόρων. Ἰφικράτης διεσπαρμένοις ἐπιφανεὶς ἐκ τοῦ χωρίου συντεταγμένος, καὶ τοὺς πολεμίους ἐνίκησε, καὶ τὰ σκευοφόρα ἔσωσεν.

μβ′ Ἰφικράτης νύκτωρ ἐπιθέμενος χωρίῳ, τοὺς σαλπιγκτὰς ἐπὶ πολλὰ μέρη διαπέμψας, ἐκέλευσε σημαίνειν· οἱ πολέμιοι πρὸς τὸν ἦχον ἄλλος ἄλλῃ διέθεον· ὁ δὲ ἐλα-

χίστους

que ita ſub pontem convenientes, colloquium inierunt. Poſtquam vero per victimas juramentum eſſet ſanciendum, Iphicrates in pontem aſcendit. Jaſon pecudem abſenti paſtori ereptam immolare prope fluvium cœpit. Tum Iphicrates deſiliens, et apprehendens cultrum a cæde quidem abſtinuit: in conditiones autem, quæ ſibi utiles erant, conſentire adegit.

41 Iphicrates in Thracia cum hoſtes prope caſtra haberent, inter utroſque noctu ſylvam incendit, et relictis ſarcinis, multisque quadrupedibus, fumo tenebroſiorem noctem efficiente, diſceſſit in locum arboribus denſum, et umbroſum. Illuceſcente die, Thraces ad caſtra progreſſi, cum neminem Græcorum inveniſſent, ad ſarcinarum et quadrupedum rapinam ſeſe verterunt. Iphicrates diſperſis ſuperveniens ex eo loco cum inſtructa acie, tum hoſtes profligavit, tum ſarcinas vindicavit.

42 Iphicrates noctu locum quendam affectans, tubicines in diverſas partes dimiſſos claſſicum juſſit canere. Hoſtibus ad ſonitum tubarum aliis alio diſcurrentibus, ille paucis, qui reli-

cti

χίςυς τοὺς καταλειφθέντας νικήσας, ῥᾳδίως ἐκράτησε τοῦ χωρίου.

μγʹ Ἰφικράτους ὄντος ἐν Κορίνθῳ, Λακεδαιμόνιοι παρῆλθον ἐς τὴν πόλιν· ὁ δὲ οὐκ εὐθὺς ἀπεκινδύνευσε τὴν δύναμιν, συμβαλών, ἀλλὰ μαθών, ὡς ἔστι τὰ περὶ τὴν πόλιν ὀχυρώτατα χωρία, ἠρέμα ταῦτα προκαταλαβὼν τοῖς ἐν τῇ πόλει προὐκήρυξεν ἰέναι πρὸς αὐτόν. ἐξιόντων δὲ πάντων καὶ ἀθροιζομένων, οἱ Λακεδαιμόνιοι τὸ πλῆθος φοβηθέντες, καὶ τὴν φυγὴν τῶν ὀχυρῶν τόπων φοβηθέντες, ἀμαχεὶ φεύγοντες ᾤχοντο.

μδʹ Ἰφικράτης Ἀβυδηνοῖς πολεμῶν, περὶ Χερρόνησον ὤν, χωρίον τι καταλαβὼν ἐτείχιζεν, ὡς φοβούμενος [19] Ἀξίβιον τὸν Λάκωνα. Ἀβυδηνοὶ δὲ ὁρῶντες οἰκοδομοῦντα τὸ τεῖχος, κατεφρόνησαν ὡς φοβουμένου, καὶ προελθόντες τῆς πόλεως κατὰ τὴν χώραν ἐγίγνοντο. Ἰφικράτης ἰδὼν ἀσυντάκτους, νυκτὸς μέρος τοῦ στρατεύματος εἰς τὴν Ἀβυδηνῶν διαβιβάσας, τοὺς ἀγροὺς αὐτῶν καταδραμών, ἐκράτησε πολλῶν σωμάτων καὶ χρημάτων.

μεʹ Ἰφι-

19 Scribendum Ἀναξίβιον. ita enim Hiſtorici eum nominant, et Frontinus lib. I. c. 4. lib. II. c. 5. *Caſ.*

cti fuerant, ſuperatis, facile loco potitus eſt.

43 Cum Iphicrates eſſet Corinthi, Lacedæmonii civitatem agreſſi ſunt. Ille non protinus, manum conferens, periculo ſe obtulit. Sed cognito, quod eſſent circa urbem loca muniti ſſima, clam ea prius occupavit, et his qui in civitate erant, ante promulgavit, ut ad ſe venirent. Exeuntibus autem omnibus, et in unum collectis, Lacedæmonii multitudinem timentes, et in munita loca factam fugam metuentes, ſine prælio fugientes diſceſſerunt.

44 Iphicrates Abydenis bellum inferens, cum eſſet in Cherroneſo, locum quendam occupatum cinxit, ſimulans ſe metuere Axibium Lacedæmonium. Abydeni videntes eum ædificare murum, ut timidum contemſerunt: et e civitate progreſſi, regioni ſe committere audebant. Iphicrates conſpicatus diſſolutos, noctu partem exercitus in Abydenorum terram inducens, et agros ipſorum incurſionibus infeſtans, magno numero hominum et pecuniarum potitus eſt.

45 Iphi-

με΄ Ἰφικράτης [20] ὢν ἐν Κορίνθῳ, πυθόμενος ὡς οἱ τἀναντία πράττοντες μισθοφόρους ἐκ Λακεδαίμονος νύκτωρ ἐκδέχεσθαι μέλλοιεν, ἀγείρας τοὺς αὐτοῦ στρατιώτας, τοὺς μὲν κατέλιπεν ἔνδον φυλάττειν· τοὺς δὲ ἄλλους ἔξω πυλῶν ἀγαγὼν καὶ ἐς τάξιν καταστήσας, ἔσπευσεν ἐπ᾽ ἐκείνην τὴν πύλην, ἣν ἤνοιξαν. [21] οἱ δεχόμενοι τοὺς πολεμίους ἐσῆγον· τῶν δ᾽ ἐσχάτων ἐσιόντων, ἐξαίφνης ἐπιστὰς συνηκολούθησεν αὐτοῖς, καὶ συνέπεσεν εἰς τὴν πόλιν· ἀδήλου δὲ ὄντος τοῦ γεγονότος, ὡς ἐν νυκτὶ, πολλοὺς μὲν αὐτῶν διέφθειρεν, ἡμέρας δὲ γενομένης πολλοὺς εἰς τὰ ἱερὰ [22] φυγόντας ἐχειρώσατο.

μς΄ Ἰφικράτης ἐς Θρᾴκην ἀναβὰς, μετὰ στρατιωτῶν ὀκτακισχιλίων ἐστρατοπέδευσε· πυθόμενος τοὺς Θρᾷκας νύκτωρ ἐπιτίθεσθαι μέλλειν, ἀναλαβὼν τοὺς στρατιώτας ἀνεχώρησεν ἑσπέρας, ὅσον στάδια τρία εἰς φάραγγα κρύψαι δυναμένην. οἱ Θρᾷκες ἐμπεσόντες εἰς τὸ στρατόπεδον ἔρημον, διήρπαζον ἀτάκτως, καταγελῶντες τῶν Ἑλλήνων ὡς φευγόντων. Ἰφικράτης ἐξ ἀφανοῦς ἐξορμήσας, πολλοὺς μὲν αὐτῶν ἀπέκτεινε, πολλοὺς δὲ καὶ αἰχμαλώτους ἔλαβε.

μζ΄ Ἰφι-

20 MSſ. ἦν ἐν Κ. 21 οἱ δεχόμενοι τοὺς πολεμίους. οἱ μὲν τοὺς πολεμίους ἐσῆγον. *conj. Caſ.* 22 *Cant.* φεύγοντας.

45 Iphicrates cum eſſet Corinthi, audiens eos, qui contrariam factionem tuebantur, mercenarios ex Lacedæmone in urbem accepturos eſſe, ſuis militibus excitatis, alios reliquit intus præſidii cauſſa, alios extra portas eductos in ordines redegit, et ad illam portam feſtinavit, quam patefecerant, qui hoſtes acceptos introducebant. Poſtremis introëuntibus, repente incumbens ſecutus eſt, et in civitatem ſimul irruit. Cum autem res in obſcuro, nocturno tempore, gereretur, multos ex ipſis trucidavit. Illuceſcente die multos ad aras perfugientes confecit.

46 Iphicrates in Thraciam aſcendens, cum octo millibus militum caſtra locavit: ubi cum audiſſet, Thraces noctu ex inſidiis adoriri velle, aſſumtis militibus ſub veſperam, ad tria ſtadia in vallem deflexit, quæ occulere poſſet. Thraces irruptione facta, caſtra vacua diripuerunt, confuſis ordinibus: et Græcos ut fugientes deriſerunt. Iphicrates ex occulto adortus, multos ex eis occidit, multos etiam vivos cepit.

μζ' Ἰφικράτης μέλλων ὁδὸν ἄνυδρον δυσὶν ἡμέραις πορεύεσθαι, παρήγγειλε δεῖπνον ποιησαμένους, ὕδατος πληρῶσαι τὰ ἀγγεῖα. καὶ ἡλίου δύντος ἤγαγε τὴν δύναμιν διὰ νυκτός. ἡμέρας δὲ γενομένης κατεστρατοπέδευσε, καὶ προσέταξε σιτοποιεῖσθαι τῷ ὕδατι χρησαμένους. καὶ κοιμηθέντας δι' ἡμέρας, δειπνοποιήσασθαι, καὶ συσκευασαμένους, ὁδεῦσαι διὰ τῆς νυκτὸς πάλιν· ὥς τε ἀντὶ δύο ἡμερῶν, δύο νύκτας ἀναψύχοντες διεξῆλθον· καὶ ἡμέρα μία, καὶ τὸ ὕδωρ αὐτοῖς ἱκανὸν ἐγένετο.

μη' Ἰφικράτης περὶ Ἐπίδαυρον λείαν ἦγε πολλήν· ὁ φρουρὸς τῆς χώρας Λάκων ἐδίωκεν αὐτὸν ἐγγίζοντα ταῖς ναυσίν· οἱ μὲν διώκοντες ἦσαν ἐπὶ λόφου. Ἰφικράτης δὲ πρὸ τῆς λείας τοὺς ὁπλίτας τάξας, κούφους καὶ ψιλοὺς κατ' ὀλίγον ἄλλον ἄλλῃ, καὶ τῷ Λάκωνι προσέβαλε· τοῦ δὲ προσέχοντος τοῖς πολλαχόθεν ἐφορμῶσιν, οἱ τοῦ Ἰφικράτους, καὶ τὰ ὑπερδέξια χωρία καταλαβόντες, κατὰ νώτου τῶν πολεμίων ἐγένοντο, καὶ πάντας αὐτοὺς διέφθειραν.

μθ' Ἰφικράτης ἐν Φλιοῦντι διὰ στενῶν τόπων ἐβάδιζε, τῶν πολεμίων ἐπιθεμένων τοῖς τελευταίοις, παραγγείλας τοῖς στρατιώταις ἐκ τῶν στενῶν ὅ τι τάχος ὑπεξιέναι, αὐτὸς διὰ

47 Iphicrates per viam aquæ expertem biduo profecturus, præcepit, ut ſumta cœna, vaſa replerent aquis, et occidente ſole duxit exercitum per noctem. Facto die caſtrametatus eſt, et juſſit cibum capere, atque aquis uti: inde poſtquam quieverunt interdiu, cœnam parare, atque collectis omnibus iterum noctu iter facere. Sic pro biduo duabus noctibus frigus captantes evaſerunt: et una dies atque aqua ipſis recte ſuffecit.

48 Iphicrates ad Epidaurum copioſam prædam agebat: præfectus regionis Lacon eum perſequebatur, appropinquantem navibus. Cum perſequentes eſſent in colle, Iphicrates ante prædam armatos collocans, leves ac inermes paucos etiam hinc inde admiſcuit, et Laconem aggreſſus eſt. Quo impetentibus multis ex locis diſtricto, milites Iphicratis, tum ſuperioribus locis occupatis, ad tergum hoſtium evaſerunt, tum omnes ad internecionem trucidaverunt.

49 Iphicrates circa Phliuntem per anguſta loca copias ducens, hoſtibus poſtremum agmen carpentibus, præcepit ſuis, ut ex anguſtiis protinus ſumma celeritate ſe proriperent: atque ipſe

διὰ μέσου ἐπ' οὐρὰν διαδραμὼν, καὶ τῶν στρατιωτῶν τοὺς ἀρίστους προσλαβὼν, ἀκμάζων ἐμπεσὼν τοῖς ἐπικειμένοις ἀτάκτοις, πολλοὺς αὐτῶν διέφθειρεν.

ν' Ἰφικράτης ἐς Θρᾴκην ἐμβαλὼν ἐν πεδίῳ κατεστρατοπέδευσεν ὑπὸ ὄρους περιεχομένῳ, διέξοδον ἔχοντι στενὴν διὰ γεφύρας, ἣν ἔμελλον διαβάντες οἱ Θρᾷκες νύκτωρ ἐπιθέσθαι. ὁ δὲ πυρὰ πολλὰ καύσας ἐν τῷ στρατοπέδῳ, πρὸς τὴν ὑπώρειαν ἀναδραμὼν σὺν τοῖς στρατιώταις ἐγγὺς τῆς γεφύρας ἐν τῇ ὕλῃ συγκαθίσας ἡσύχασεν. οἱ μὲν δὴ Θρᾷκες διαβάντες τὴν γέφυραν, ὥρμησαν ὡς τὰ πυρὰ, τοὺς πολεμίους ἐκεῖ νομίζοντες εὑρήσειν. Ἰφικράτης δὲ τοὺς στρατιώτας ἐκ τῆς ὕλης ἀναλαβὼν, τὴν γέφυραν διελθὼν, ἀσφαλῶς ἀνεχώρησεν.

να' Ἰφικράτης ἦρχε τοῦ πλείστου στρατεύματος πεζοῦ καὶ ναυτικοῦ, ἐν τῇ δόσει τοῦ μισθοῦ, καθ' ἕκαστον μῆνα ὑφαιρῶν τὸ τέταρτον μέρος, ὥσπερ ἐνέχυρον ἑκάστου κατεῖχεν, ἵνα μὴ λίποιεν τὸ στρατόπεδον. οὕτως ἄρα καὶ πολλοὺς εἶχεν ἀεὶ τοὺς στρατευομένους, καὶ εὐπόρους· τὸ τέταρτον τοῦ μισθοῦ φυλαττόμενον ἔχοντας.

νβ' Ἰφι-

ipſe per medium ad extremum agmen accurrens, cum præſtantiſſimis militibus, integer viribus adortus hoſtes perturbatos et confuſos, magnum illorum numerum interfecit.

50 Iphicrates in Thraciam impreſſionem faciens, caſtra in campo poſuit, qui circumdabatur a monte, et anguſtum exitum per pontem habebat: quem Thraces noctu transgreſſi, aggredi hoſtes volebant. At ille cum multos ignes in caſtris incendiſſet, ad montium radices deſcendens, cum militibus juxta pontem et in ſylva conſidens, quietem agebat. Thraces pontem transgreſſi, impetum ignes verſus fecerunt, rati ſe hoſtes ibi inventuros. Interim Iphicrates militibus ex ſylva aſſumtis, pontem tranſiit, ac tuto receſſit.

51 Iphicrates maximis copiis imperabat, tum terreſtribus, tum navalibus. In ſtipendiorum diſtributione ſingulis menſibus quartam partem ſubtrahens, quaſi arrabonem uniuscujusque retinebat, ne exercitum deſererent. Ita et multos ſemper habuit milites, et divites: quippe qui mercedis quartam partem in ſubſidio habebant.

52 Iphi-

νβ' Ἰφικράτης τοῖς Λακεδαιμονίων συμμάχοις ἀντιστρατοπεδεύων, νύκτωρ τὴν δύναμιν μετημφίασε. τοῖς μὲν στρατιώταις περιθεὶς, τὴν τῶν οἰκετῶν ἐσθῆτα· τοῖς δὲ οἰκέταις τὴν τῶν στρατιωτῶν· οἱ μὲν δὴ στρατιωτικῶς ἠμφιεσμένοι πόῤῥω τῶν ὅπλων ἐβάδιζον, τὴν τῶν ἐλευθέρων σχολὴν μιμούμενοι. οἱ δὲ οἰκετικῶς κατασκευασάμενοι πλησίον τῶν ὅπλων ἦσαν, ὅσα εἰκὸς διακονούμενοι. ταῦτα ὁρῶντες οἱ πολέμιοι κατὰ ζῆλον τῶν ἐναντίων, οἱ μὲν στρατιῶται ῥαθύμως ἔξω τοῦ στρατοπέδου. βαδίζοντες ἐσχόλαζον· οἱ δὲ οἰκέται ταῖς ἀναγκαίαις ὑπηρεσίαις παρέμενον. ἐνταῦθα δὴ σημεῖον αἴρεται· οἱ δὲ Ἰφικράτιοι, τὰ ὅπλα ταχέως ἀναλαβόντες, ἐπὶ τὸ στρατόπεδον τῶν ἐναντίων ἐλθόντες, τῶν μὲν οἰκετῶν τῶν ἐν τῇ διακονίᾳ φυγόντων· τῶν δὲ στρατιωτῶν ἀόπλων καταλειφθέντων, τοὺς μὲν ἀπέκτειναν, τοὺς δὲ αἰχμαλώτους ἤγαγον.

νγ' Ἰφικράτης ἀντιστρατοπεδευόντων τῶν πολεμίων, καὶ κατὰ τὴν ὥραν διὰ παντὸς ἀριστοποιουμένων, προσέταξε τοῖς αὐτοῦ στρατιώταις πρὸ τῆς ἕω προσενέγκασθαι τὸ ἄριστον· τοῦτο πράξας, συνέβαλε τοῖς ἐναντίοις, καὶ τὸν ἀκροβολισμὸν ἄχρι δείλης παρέτεινεν· ἐπεὶ δὲ ἀλλήλων ἐχωρίσθησαν.

52 Iphicrates exadverſum Lacedæmoniorum ſocios caſtra ponens, noctu veſtitum exercitus commutavit, milites ſervilibus veſtibus induens, ſervos vero militaribus. Qui igitur militari habitu amicti erant, procul ab armis ibant, liberorum otium imitantes. At serviliter inſtructi apud arma verſabantur, quemadmodum moris erat ſervientibus. Hæc videntes hoſtes, æmulatione adverſariorum, milites oſcitanter extra caſtra ſpatiantes otium agebant. Servi neceſſariis uſibus erant occupati. Tum vero ſignum tollitur. Iphicratii ſtatim ſumtis armis, ad hoſtium caſtra progreſſi, mancipiis a miniſterio fugientibus, militibus armis deſtitutis, alios occiderunt, alios captivos duxerunt.

53 Iphicrates ex adverſo caſtrametantibus hoſtibus, et ſemper certa hora prandium facientibus, præcepit ſuis militibus, ut ante auroram prandium ſumerent. Hoc facto, pugnam cum hoſtibus commiſit, et velitationem uſque ad ſeram veſperam protraxit. Poſtquam vero ab ſe invicem diſceſſerant, hoſtes

σιν· οἱ μὲν πολέμιοι πρὸς τὸ δεῖπνον ὥρμησαν· ὁ δὲ προηριστηκότας ἔχων τὰς στρατιώτας προσπεσὼν δειπνοποιεμένοις, ὐκ ὀλίγον ὄλεθρον αὐτῶν εἰργάσατο.

νδʹ Ἰφικράτης περὶ Φλιῦντα ὡδοιπόρει, τῆς φάλαγγος διὰ τὰς δυσχωρίας, μακρᾶς ἐκτεταμένης. οἱ πολέμιοι κατὰ τὴν ὐραγίαν ἐπικείμενοι, πολλὰς ἐτίτρωσκον, καὶ πολλὰ ἥρπαζον. ὁ δὲ μετὰ τῶν παρὰ πλευρὰν ἀνδρῶν ἐπιστρέψας, τῇ μὲν φάλαγγι παρήγγειλε θᾶττον προχωρεῖν· τῶν δὲ ἀπὸ τῆς δεξιᾶς, καὶ ἀπὸ τῆς εὐωνύμου πλευρᾶς ἀνδρῶν, ἐπιλέγων τὰς ἡγεμόνας, καὶ τὰς ἀρίστας, 23 μετ' αὐτὰς συνέταττε· τῆς δὲ ὐραγίας ἐγγὺς 24 γενόμενος, προσπεσὼν τοῖς πολεμίοις κεκμηκόσιν ἐν τῇ διώξει καὶ τεταραγμένοις ἐν τῇ τῶν σκευοφόρων ἁρπαγῇ, πολλὰς μὲν αὐτῶν διέφθειρε, πολλῷ δὲ πλείονας ἤγαγεν αἰχμαλώτας.

νεʹ Ἰφικράτης ἐν Κερκύρᾳ Κρινίππυ προσπλέοντος ἐκ Σικελίας ἕνδεκα πληρώμασιν· τῶν πυρσύρων ἀγγειλάντων ἐφορμεῖν αὐτὸν, νήσῳ τινὶ τῶν ἐρήμων προστάξας πυρσὸν ἀνάπτειν φίλιον, νύκτωρ ἐπιπλεύσας ἐκράτησε τῶν δέκα πληρωμάτων, ἑνὸς ἐκφυγόντος.

νϛʹ Ἰφι-

23 *Cant.* μετ' αὐτῦ. 24 Mſſ. γενομένης.

hoſtes ſe ad cœnam conferebant: at ille cum pranſis antea militibus cœnantes obruens, non exiguam ipſorum ſtragem edidit.

54 Iphicrates circa Phliuntem iter faciebat, phalange ob locorum difficultatem in longum protenſa. Hoſtibus extremum agmen carpentibus, et multos vulnerantibus, multaque rapientibus, ille cum his viris qui in latere ibant converſus, phalangi mandavit, ut ocyus procederet. Ex iis vero, qui a dextro lævoque latere erant, aggregatis ducibus et præſtantiſſimis quibusque, eos ad extremum collocavit. Cum jam prope extremum agmen eſſet, impetum faciens in hoſtes perſequendo fatigatos, et diſſipatos in ſarcinarum rapinis, multos ex ipſis occidit, multo plures etiam captivos abduxit.

55 Iphicrates in Corcyra Crinippo e Sicilia cum navibus inſtructis undecim adnavigante, ſpeculatoribus eum appellere jam ſignificantibus, cuidam mandans, ut in deſerta quadam inſula ignem amicum accenderet, noctu adnavigans, omnia navigia cepit, uno ſolum effugiente.

 56 Iphi-

νϛ' Ἰφικράτης 25 ἐν Ἄκῃ πυθόμενος δύο τῶν ἡγεμόνων προδιδόναι, καλέσας τοὺς ἀρίστους τῶν ἐπὶ τοῦ στρατοπέδου, προσέταξεν, ὁπόταν 26 τοὺς αἰτίους τῆς προδοσίας μεταπεμψάμενος ἐξετάζῃ τὸ πρᾶγμα, προλαβεῖν αὐτοὺς τὰ τούτων ὅπλα, καὶ τῶν ὑπ' αὐτοῖς τεταγμένων λόχων· οἱ μὲν προλαβόντες κατέσχον τὰς πανοπλίας. Ἰφικράτης δὲ τὴν προδοσίαν ἐλέγξας, τοὺς μὲν ἡγεμόνας ἐκόλασε θανάτῳ· τοὺς δὲ στρατιώτας γυμνοὺς ἐξήλασε τοῦ στρατοπέδου.

νζ' Ἰφικράτης δισχιλίων μισθοφόρων πρὸς τοὺς Λάκωνας αὐτομολησάντων, ἀπόρρητα γράμματα ἔπεμψε πρὸς τοὺς ἡγεμόνας τῶν ἀποστάντων, παρακαλῶν μεμνῆσθαι τοῦ συγκειμένου καιροῦ, καθ' ὃν καὶ τὴν ἐξ Ἀθηνῶν συμμαχίαν προσδέχοιτο· εἰδὼς τὴν ἐπιστολὴν ἐμπεσουμένην τοῖς φύλαξι τῶν ὁδῶν. ἐπεὶ δὲ οἱ φύλακες ἐκόμισαν τὰ γράμματα τοῖς Λακεδαιμονίοις, οἱ μὲν ὥρμησαν συλλαμβάνειν τοὺς αὐτομόλους. οἱ δὲ ἀγαπητῶς ἐξέφυγον, Ἀθηναίοις μὲν ἄπιστοι γενόμενοι, Λακεδαιμονίοις δὲ δόξαντες.

νη' Ἰφι-

25 *Caſauboni Codd.* ἐν Νάκῃ. Legendum videtur ἐν Θράκῃ *Maſv.* 26 MſT. τοὺς ἐναντίους. forte ἐναιτίους. *Maſv.*

56 Iphicrates Acæ cum audiſſet duos duces proditionem moliri, vocatis præſtantiſſimis qui erant in exercitu, mandavit, ut cum proditionis reos arceſſens, rem perveſtigaret, ipſi confeſtim arma illis et ſequentibus illos manipulis eriperent. Qui mox armaturas occuparunt. Iphicrates vero probata proditione, duces quidem mortis ſupplicio affecit, milites vero nudos e caſtris expulit.

57 Iphicrates cum duo millia mercenariorum ad Lacedæmonios transfugiſſent, clandeſtinas litteras ad duces eorum, qui defecerant, miſit, admonens, ut conſtituti temporis meminiſſent, quo etiam ex Athenis auxilium expectaret: ſciens epiſtolam ad cuſtodes viarum perventuram. Poſtquam autem viarum cuſtodes litteras attulerunt Lacedæmoniis, illi comprehendere transfugas conabantur. Quibus nihil optatius fuit, quam ut effugere poſſent, cum Athenienſibus perfidi extitiſſent, Lacedæmoniis tantummodo viderentur

58 Iphi-

νη' Ἰφικράτης ἐν Χίῳ τοὺς Λακωνίζοντας ἐλέγξαι βουλόμενος, ἐνίους τῶν τριηράρχων ἐκέλευσε, νυκτὸς ἐκπλεύσαντας μεθ' ἡμέραν ἐπιπλεῦσαι κόσμῳ Λακωνικῷ. οἱ μὲν Λακωνίζοντες ὡς εἶδον, μετὰ πολλῆς χαρᾶς ἐπὶ τὸν λιμένα κατέδραμον· ὁ δὲ κυκλωσάμενος αὐτοὺς, 27 καὶ τοὺς ἀπὸ τῆς πόλεως προελθόντας, συνέλαβέ τε καὶ κολασθησομένους Ἀθηναίοις ἔπεμψεν.

νθ' Ἰφικράτης ἐν ἀπορίᾳ χρημάτων τῶν στρατιωτῶν θορυβούντων, καὶ κοινὴν ἐκκλησίαν αἰτουμένων, ἄνδρας ἐμπείρους τῆς Περσίδος γλώττης στολὰς Περσικὰς ἐνδύσασθαι προσέταξε πληθούσης τῆς ἐκκλησίας ἐπιφανῆναι, καὶ παρελθόντας ἀγγέλλειν βαρβαρισὶ, Πλησίον οἱ τὰ χρήματα κομίζοντες· ἡμεῖς δὲ προεπέμφθημεν τοῦτο σημανοῦντες· ταῦτα μηνύσαντες, οἱ στρατιῶται διέλυσαν τὴν ἐκκλησίαν.

ξ' Ἰφικράτης ἐκ τῆς Ὀδρυσιάδος λείαν πολλὴν περιήλασεν· ἐδίωκον οἱ Ὀδρυσαῖοι πλήθει πολλῷ. ὁ δὲ ἱππεῖς ἔχων ὀλίγους, ἔδωκεν αὐτοῖς καιομένας λαμπάδας· καὶ προσελαύνειν ἐκέλευσε τοῖς ἐναντίοις· οἱ δὲ ἵπποι τῶν Ὀδρυσῶν

27 MſT. καὶ τοῖς ἀπὸ τῆς πολ. προσελθοῦσι.

58 Iphicrates in Chio redarguere volens eos, qui Laconum partibus faverent, mandavit quibusdam triremium præfectis, ut ſolventes per noctem, interdiu cum Laconico habitu appellerent. Eos advenientes conſpicati, qui Lacedæmoniorum partes tuebantur, magna cum lætitia in portum accurrebant. Quos ille circumdatos cum iis, qui ex urbe venerant, comprehendit, et puniendos Athenienſibus miſit.

59 Iphicrates in inopia pecuniarum conſtitutus, tumultuantibus militibus et communem concionem poſtulantibus, viros peritos Perſicæ linguæ, ſtolis Perſicis indutos, juſſit frequentiſſima concione ſupervenire, et accedentes barbarice nuntiare: In propinquo ſunt, qui pecunias adferunt. Nos vero præmiſſi ſumus, ut hoc ſignificaremus: quæ cum indicaſſent, milites concionem dimiſerunt.

60 Iphicrates ex Odryſiade multam undiquaque prædam egit. Perſequebantur Odryſenſes magna multitudine. Ille cum paucos equites haberet, dedit eis ardentes faces, et hoſtes invadere juſſit.

δρυσῶν τῆς φλογὸς τὴν ὄψιν ἀσυνήθη μὴ φέροντες, ἀναστρέψαντες ἔφευγον.

ξα΄ Ἰφικράτης ἐπιὼν πόλει, τὸν ἀπὸ τῆς χώρας ποταμὸν διὰ μέσης τῆς πόλεως ῥέοντα διαβῆναι ἀναγκαῖον ἦν, ἑσπέρας διέβη μετὰ τοῦ στρατεύματος, ἵνα τὸ ἐκ τῆς διαβάσεως τοῦ πλήθους θολερὸν διὰ νυκτὸς παροδεῦσαν, λάθῃ τοὺς ἐν τῇ πόλει. καὶ δὴ λαθὼν μεθ' ἡμέραν ἐπέθετο μὴ προσδοκῶσιν.

ξβ΄ Ἰφικράτης ἐν Θράκῃ πολλοὺς ἔλαβεν αἰχμαλώτους Ὀδρυσῶν. οἱ μὲν δὴ σφοδρῶς ἐπέκειντο βάλλοντες καὶ ἀκοντίζοντες. ὁ δὲ τοῖς πρωτοστάταις ἕκαστον αἰχμάλωτον γυμνὸν παρίστησιν ἐξ ἱμάντος [28] ὀπίσω τῶν χειρῶν δεδεμένον. οἱ δὲ Ὀδρυσαῖοι τοὺς οἰκείους μὴ βουλόμενοι τιτρώσκειν, τοῦ βάλλειν καὶ ἀκοντίζειν ἀπείχοντο.

ξγ΄ Ἰφικράτης περὶ Φοινίκην καταπλέων ἑκατὸν τριακοντόροις, ἔνθα τεναγώδης αἰγιαλὸς ἦν, ἰδὼν τοὺς Φοίνικας παρὰ τὴν ἠϊόνα συνθέοντας, παρήγγειλεν, ὅταν τὸ σημεῖον ἀναδειχθῇ, τοῖς μὲν κυβερνήταις ἀγκύρας ἀφεῖναι κατὰ πρύμναν, καὶ τὴν καταγωγὴν ἐν τάξει ποιεῖσθαι· τοῖς

28 Scribe δεδεμένων vel ὀπίσω τὼ χεῖρε δεδεμένον. *Caſ.*

juſſit. Odryſorum equi, inſolitum aſpectum ignis non ferentes, in fugam agebantur.

61 Iphicrates ad urbem accedens (fluvium enim ab regione per mediam urbem labentem tranſire neceſſum erat) veſperi cum exercitu tranſiit, ut quod ex tranſitu multitudinis turbidum factum eſſet, noctu inſciis civibus dilueretur. Atque ſic ignoratus, poſtero die nihil tale expectantes adortus eſt.

62 Iphicrates in Thracia multos Odryſarum ceperat. Illi igitur vehementer jaculando et ſagittando inſtabant. Ipſe vero juxta ſingulos, qui primam aciem tenebant, nudum aliquem captivum manibus loro in tergum revinctis collocavit. Odryſenſes, ne ſuis vulnera infligerent, a jaciendo et jaculando deſtiterunt.

63 Iphicrates prope Phœniciam adnavigans cum centum navibus triginta remorum, cœnoſo littore, conſpicatus Phœnices ad littus concurrere, præcepit, ut cum ſignum oſtenderetur, gubernatores e puppi ancoras dimitterent, et ordine appellerent: milites vero armati ſinguli per remum ſuum in mare ſe demitterent, et

τοῖς δὲ ϛρατιώταις ὡπλισμένοις 29 ἕκαϛον κατὰ τὴν αὐτῦ κώπην, εἰς τὴν θάλασσαν αὐτὸν καθίεναι, καὶ τὴν αὐτῦ τάξιν διαφυλάττειν· ὡς δὲ ἤδη σύμμετρον ὑπέλαβεν εἶναι τὸ τῆς θαλάσσης βάθος, ἀνέτεινε τὸ σημεῖον τῆς ἐκβάσεως. αἱ τριακόντοροι μὲν ἐν τάξει κατήγοντο, διὰ τῶν ἀγκυρῶν· οἱ δὲ ἄνδρες ἐν τάξει προβαλλόμενοι προῆγον. οἱ δὲ πολέμιοι καταπλαγέντες τὴν τάξιν αὐτῶν καὶ τὴν τόλμαν ἔφευγον. οἱ δὲ Ἰφικράτιοι τινὰς μὲν διώξαντες ἀπέκτειναν, τινὰς δὲ ἐζώγρησαν, καὶ λείαν πολλὴν περιελάσαντες· καὶ ταύτην ἐς τὰς ναῦς ἐμβαλόμενοι ϛρατόπεδον ἐπὶ τῆς γῆς κατεϛήσαντο.

ΚΕΦ. Ι.

ΤΙΜΟΘΕΟΣ.

Ἐν Ἀττικῷ ϛρατοπέδῳ σπάνις ἦν νομίσματος· Τιμόθεος ἔπεισε τὺς ἐμπόρυς χρῆσθαι νομίσματι τῇ ἑαυτῦ σφραγίδι· ἀπαλλασσομένυς δὲ τὴν σφραγίδα καὶ τὸ ἀργύριον λαμβάνειν· ἐπίϛευσαν οἱ ἔμποροι, καὶ τὴν ἀγορὰν τοῖς ϛρατιώταις παρέσχον ἐπὶ τῇ σφραγίδι τῦ ϛρατηγῦ.

29 Mſſ. ἕκαϛος.

et ordines ſuos ſervarent. Cum igitur jam mediocrem profunditatem maris eſſe ſuſpicaretur, ſignum egrediendi extendit. Naves quidem triginta remorum ordine appellebant, per ancoras. Milites ordinate periculo ſe offerentes, procedebant. Hoſtes ordinem ipſorum et audaciam admirantes, in fugam ſe dabant. Iphicratii perſequentes, aliquos interemerunt, aliquos vivos ceperunt: multaque præda circumacta, eaque in naves collata, caſtra in terra poſuerunt.

CAP. X.

TIMOTHEUS.

Timotheus, cum in Atticis caſtris maxima eſſet nummi raritas, ſuaſit mercatoribus, ut ipſius ſigillo pro numiſmate uterentur. Reddentes vero ſigillum, etiam argentum accepturos. Crediderunt mercatores, et militibus commeatum præbuerunt ducis ſigillo. Reddentibus

τηγοῦ. ἀπαλλαττομένοις αὐτοῖς, ἐν τῷ τέως εὐπορήσας χρημάτων Τιμόθεος, τὴν τιμὴν διέλυσε τὴν ὁμολογουμένην.

β΄ Τιμόθεος ἀνήγετο τῷ στόλῳ παντί. πταρμὸς ἐγένετο· ὁ κυβερνήτης ἐπισχεῖν ἐκέλευσεν· οἱ ναῦται τῶν τριήρων ἐπιβαίνειν οὐκ ἐθάρρουν· Τιμόθεος μειδιάσας, ποῖον γὰρ ἔφη γέγονεν οἰώνισμα, εἰ τοσούτων περιεστηκότων, εἷς ἔπταρεν; οἱ ναῦται γελάσαντες ἀνήχθησαν.

γ΄ Τιμόθεος παράγγελμα ἔδωκεν ἐκβοηθῆσαι τὴν ταχίστην· ὀλίγοι στρατιῶται προῆλθον. ὁ λοχαγὸς ἠγόρευε, χρῆναι καὶ τοὺς λοιποὺς ἀναμεῖναι. ὁ Τιμόθεος οὐκ ἀνέμεινεν, ὡς τοὺς μέλλοντας προθύμως μαχεῖσθαι τοῖς πολεμίοις ἔχων ἅπαντας· τοὺς δὲ βραδέως ἐξιόντας, ἀχρήστους ἂν γενέσθαι καὶ παρόντας.

δ΄ Ἀθηναῖοι καὶ Λακεδαιμόνιοι περὶ Λευκάδα ἐναυμάχουν, Τιμοθέου στρατηγοῦντος Ἀθηναίων, Νικομάχου ναυμαχοῦντος Λακεδαιμονίων. ἦν ἑορτὴ Σκίρα· Τιμόθεος κατὰ ταύτην τὴν ἡμέραν μυρσίνῃ στεφανώσας τὰς τριήρεις, ἦρε τὸ σημεῖον [30] ἀχθεὶς, ναυμαχήσας ἐνίκησεν· οἱ δὲ στρατιῶ-

30 Scribe ἀναχθεὶς vel καὶ ἀναχθεὶς. *Caſ.*

tibus vero illis, interea abundans pecuniis Timotheus, conſtitutum pretium perſolvit.

2 Timotheus ſolvebat cum univerſa claſſe. Facta ſternutatione, gubernator quieſcere juſſit. Nautæ triremes conſcendere non audebant. Timotheus ſubridens. Qualenam enim, inquit, auſpicium contigit, ſi tot circumſtantibus unus ſternutavit? Nautæ hunc ejus ſermonem cum riſu excipientes, ſolvebant.

3 Timotheus præceptum ſuis dedit, ut quam celerrime ad pugnam exirent. Paucis militibus procedentibus, manipuli ductor ajebat, reliquos etiam expectandos eſſe. Timotheus non expectavit, arbitratus ſe omnes habere, qui alacriter pugnam ſubire vellent: eos vero, qui tarde exirent, inutiles fore, etiam ſi præſto eſſent.

4 Athenienſes et Lacedæmonii ad Leucadem navale prælium committebant, Timotheo Athenienſium ducem agente, Nicomacho Lacedæmoniorum. Erat feſtum Scirra. Timotheus hoc die myrto coronans triremes, ſolvensque, ſignum extulit, et prælio navali vicit. Mili-

στρατιῶται μετὰ ἐλπίδος ἀγαθῆς ἠγωνίσαντο, θεῖον ἔχειν οἰόμενοι σύμμαχον.

έ Τιμόθεος πόλιν περιστρατοπεδεύσας, ἀφώριζε τὸν τόπον τοῖς στρατιώταις, ὅθεν δὴ προνομεύσουσι. τὸ δὲ λοιπὸν μέρος τῆς χώρας, καὶ ὅσον ἦν ὄφελος αὐτῆς, ἀπεδίδοτο. οὐκ ἐπέτρεπε δὲ οὔτε οἰκίαν, οὔτε ἔπαυλιν καθαιρεῖν. οὐ μὴν οὐδὲ ἥμερον δένδρον ἐκκόπτειν, ἀλλ᾽ αὐτοὺς τοὺς καρποὺς λαμβάνειν· καὶ τάδε οἱ στρατηγοῦντι περιῆν· εἰ μὲν κρατοῖεν, τὸ πλείους φόρους ἐκλέγειν. εἰ δὲ ὁ πόλεμος μηκύνοιτο, τροφὰς ἀφθόνους καὶ καταγωγὰς ἔχειν· τὸ δὲ τούτων μεῖζον, πολλὴν τὴν εὔνοιαν παρὰ τῶν πολεμίων ἐθήρευεν.

ϛ́ Τιμόθεος ναυμαχεῖν Λακεδαιμονίοις μέλλων, αὐτὸς μὲν ἐκ τριήρων τὰ πληρώματα παρὰ πρύμναν ἔχων ἀνέπαυσεν. τὰς δὲ ταχυναυτούσας εἴκοσι προσέταξε τοῖς τριηράρχαις ἀντιπαρεξάγειν ταῖς πολεμίαις ναυσὶ, καὶ πυκνὰς ποιεῖσθαι κινήσεις, καὶ τροπάς. οἱ μὲν δὴ πολέμιοι πονέσαντες εἰρεσίᾳ, ἀσθενῶς τὰς κώπας ἀνέφερον. Τιμόθεος δὲ ἀκμαίοις πληρώμασιν ἐπαναχθεὶς, ναυμαχῶν ἐνίκησεν.

ζ́ Τιμό-

tes enim cum bona ſpe pugnam faciebant, numen ſe rati ſocium habere.

5 Timotheus urbem exercitu circumdans, militibus locum definivit, unde prædam agerent. Reliquam regionis partem, et omnes ejus fructus vendebat. Non autem permittebat, neque domum neque tugurium deſtruere, neque vero ſativam arborem exſcindere: ſed ipſos duntaxat fructus capere. et hæc excogitans efficiebat, ut ſi viciſſent, plura tributa colligere poſſent: ſin bellum diutius traheretur, victum copioſum et diverſoria haberent. Quod vero his majus eſt, maximam benevolentiam ab hoſtibus venabatur.

6 Timotheus navali prælio cum Lacedæmoniis contendere volens, ipſe naves claſſiariis inſtructas ex triremibus ad puppim alligans quieſcebat. Celoces vero viginti mandavit triremium præfectis, ut adverſus hoſtiles naves educerent, et crebros motus ac flexus efficerent. Hoſtes igitur defatigati remigando, imbecilliter remos agitabant. Timotheus recens cum navibus armatis ſuperveniens, et navale prælium iniens, victoriam adeptus eſt.

7 Ti-

ζʹ Τιμόθεος τὴν Ὀλυνθίαν βουλόμενος παρελθεῖν, δεδοικὼς τὸ ἱππικὸν τῶν Ὀλυνθίων, ἔταξε τὸ στρατόπεδον 31 εἰς ἑτερόμηκες πλινθίον. τὰ μὲν σκευοφόρα, καὶ τὴν ἵππον εἰς τὸ μέσον λαβὼν, τὰς δὲ ἁμάξας πυκνὰς ἄγων, καὶ συνηρτημένας. τοὺς δὲ ὁπλίτας τούτων ἔξωθεν περιβαλὼν, ὡς τε τοῖς Ὀλυνθίοις ἱππεῦσιν ἀδύνατος ἦν ἡ ἱππασία.

ηʹ Τιμόθεος περὶ Ἀμφίπολιν ἐστρατοπέδευεν· ἤγγειλέ τις ἑσπέρας, ἀθροίζεσθαι τοὺς πολεμίους ἐπ' αὐτόν. καὶ ὡς πολλαπλάσιοι τὸ πλῆθος ὄντες τῆς ὑστεραίας ἐπιθήσοιντο· ὁ δὲ τοῖς μὲν στρατιώταις οὐ προεῖπε τῶν πολεμίων τὸ πλῆθος, ἵνα μὴ καταπλαγεῖεν. αὐτὸς δὲ ὡς ἐπιθησόμενος αὐτοῖς ὀλίγοις οὖσι καὶ ἀτάκτοις, τὸ μὲν ἀχρεῖον τοῦ πλήθους προὔπεμπε διὰ τῶν δυσπόρων, ἧπερ ἥκιστα οἱ πολέμιοι παραφυλάξειν ἔμελλον. αὐτὸς δὲ τὴν φάλαγγα ἐκίνησε, τοὺς ψιλοὺς τελευταίους ἐπιτάξας. τὰς δὲ τριήρεις ἐν τῷ Στρυμόνι ποταμῷ πληρῶσαι οὐ δυνηθεὶς, ἐνέπρησεν. καὶ ταῦτα πάντα μιᾷ νυκτὶ πράξας, ἀσφαλῶς ἀνεχώρησεν.

θʹ Τιμόθεος ἐπολιόρκει Σάμον, ξενολογήσας στρατιώτας ἑπτακισχιλίους, οἷς οὐκ ἔχων δοῦναι μισθὸν, ἔγκαρπον ὁρῶν τὴν

31 εἰς omiſſum eſt in Mſſ.

7 Timotheus volens Olynthiam tranſire et Olynthiorum equitatum metuens, exercitum in longum quadratum agmen inſtruxit, ſarcinis et equitatu in medium conjecto, curruſque frequentes agens et connexos, armatos circum hos foris circumdedit. Ita ut Olynthii equites equitatione non poſſent uti.

8 Timotheus apud Amphipolim caſtra ponebat. Nuntiavit quidam veſperi, hoſtes adverſus ipſum coire, et eum magna multitudine poſtridie aggreſſuros eſſe. Qui militibus hoſtium multitudinem non prædixit, ne terrorem faceret. Sed quaſi aggreſſurus illos paucos, et confuſim agentes, inutilem multitudinem per invia præmiſit, ubi minime cuſtodiam hoſtes eſſent habituri. Ipſe phalangem movit, in poſtremo levis armaturæ milites conſtituens. Triremes vero in Strymone fluvio cum inſtruere non poſſet, incendio conſumſit: et his omnibus una nocte perfectis, abſque periculo diſceſſit.

9 Timotheus oppugnabat Samum, conſcriptis ſeptem millibus mercenariorum: quibus cum perſolvere

τὴν νῆσον, ἐξελὼν χωρίον ἐς προνομὴν, [32] τȣ̀ς ἄλλȣς καρποὺς ἀποδόμενος, ἀσφάλειαν τοῖς καρπολόγοις παρασχὼν, εὐπορήσας χρημάτων ἀπὸ τȣ́των μέρος τῶν μισθῶν διανείμας, προθυμοτέροις χρησάμενος τοῖς στρατιώταις, κατὰ κράτος εἷλε τὴν Σαμίων πόλιν.

ι΄ Τιμόθεος πολιορκῶν Σάμον, ἐπεὶ πολλοὶ ξένοι εἰσπλέοντες συχνὰ τῶν [33] πολιορκιῶν ἀνήλισκον, καὶ διὰ τȣ̃το σπάνις ἦν. παρήγγειλε μὴ πωλεῖν ἄλευρον, [34] μὴ δὲ κοτύλην ἐλαίȣ ἢ οἴνȣ· ἀλλὰ σίτȣ μεδίμνȣ μὴ ἔλαττον. τῶν δὲ ὑγρῶν μετρητὴν τȣλάχιστον· τὰς δὲ σιτȣργȣ̀ς μύλας μηδένα ἔχειν, ἢ ἐν τοῖς λόφοις. ȣ̔́τω δὲ συνέβη τȣ̀ς μὲν ξένȣς ȣ̓κ ἔχοντας τὴν ἀγορὰν τῶν ἐφ' ἡμέραν ἀναγκαίων αὐτοῖς κομίζειν· τὴν δὲ παρασκευὴν τῶν σιτίων μόνȣς ἀναλίσκεσθαι τȣ̀ς στρατιώτας.

ια΄ Τιμόθεος ναῦς ἔχων τεσσαράκοντα, βȣλόμενος ἀπὸ τȣ́των πέντε προπέμψαι πλειόνων ἡμερῶν ἐχȣ́σας ἐφόδια· μισθὸν ȣ̓κ ἔχων δȣ̃ναι, παράγγελμα ἔδωκεν, ἀνάγεσθαι τὰς

32 τῶν ἄλλων καρπῶν Mſſ. 33 Emendat *Caſ.* τῶν παρασκευῶν, quod bene convenit. 34 Conjunctim legendum μηδὲ. *Maſv.*

re ſtipendia non poſſet, videns plenam fructibus inſulam eſſe, loco ad prædandum capto, reliquos fructus vendidit, ſecuritate iis qui legerent præſtita: collectisque hinc affatim pecuniis, partem ſtipendiorum militibus diſpertivit, atque ſic uſus illis alacrioribus, Samiorum urbem vi cepit.

10 Timotheus oppugnans Samum, cum multi peregrini appellentes ea, quæ ad vitam neceſſaria ſunt, con ſumerent, et idcirco caritas eſſet annonæ, præcepit ne venderent farinam, neque heminam oleï, aut vini: ſed frumenti non minus modio: liquidorum vero, ad minus amphoram. Nemoque frumentarias molas haberet, niſi in collibus. Sic accidit, ut cum peregrinis nihil venale eſſet rerum ad quotidianum uſum ſpectantium, ſecum ipſi eas apportarent, frumenti autem et ciborum apparatum ſoli milites conſumerent.

11 Timotheus cum quadraginta naves haberet, volens ex his quinque præmittere, complurium dierum commeatu inſtructas, cum ſtipendia dare non poſſet, præceptum dedit, ut omnes naves

τὰς ναῦς ἀπάσας τριῶν σιτία ἐχούσας· ἐπεὶ δὲ νήσῳ τινὶ προσωρμίσαντο, τοῖς τριηράρχοις ἐκέλευσεν, ἐξ ἑκάστου πληρώματος αὐτῷ κομίσαι δύο σιτία· ταῦτα ταῖς πέντε ναυσὶ διαδοὺς, τὰς μὲν ἐξέπεμψε πλειόνων ἡμερῶν ἐπισιτισμὸν ἐχούσας· αὐτὸς δὲ μετὰ τῶν τριάκοντα καὶ πέντε νεῶν, εἰς τὸν ἴδιον ὅρμον ἐπανῆλθεν.

ιβʹ Τιμόθεος ναυμαχεῖν μέλλων περὶ Λευκάδα Νικολόχῳ τῷ Σπαρτιάτῃ, τῶν μὲν πλειόνων νεῶν τὰ πληρώματα παρήγγειλεν ἐπὶ γῆς ἀναπαύεσθαι παρ' αὐτῇ τῇ θαλάσσῃ. ταῖς δὲ ἄριστα πλεούσαις εἴκοσιν ἀναχθεὶς, προσέταξε τοῖς τριηράρχοις μὴ συνάπτειν ταῖς πολεμίαις τριήρεσιν ἐντὸς βέλους· ἐκκλίνειν δὲ καὶ φυγομαχεῖν ἑκουσίως· ἵνα κατακόπους ποιήσωσι τοὺς ἐναντίους ἐρέτας· ἐπεὶ δὲ οἱ μὲν ἐφυγομάχουν· οἱ δὲ ἐλέλυντο καύματι καὶ πόνῳ· Τιμόθεος τὸ ἀνακλητικὸν ἐσήμανεν. καὶ κατασχὼν ἐπὶ τὴν γῆν ἀναπαυσαμένους ἐρέτας ἐμβιβάσας διὰ τάχους τοὺς πολεμίους πεπονηκότας διώξας, πολλὰς αὐτῶν τριήρεις τὰς μὲν κατέδυσε, τὰς δὲ ἄπλους ἐποίησεν.

ιγʹ Τιμό-

naves ſolverent, quæ trium dierum commeatum haberent. Quæ cum ad inſulam quandam appulerunt, triremium præfectos juſſit ex ſingulis navibus in duos dies commeatum ad ſe adferre. Quem in quinque naves diſtribuit, easque cum plurium dierum commeatu emiſit. Ipſe vero cum triginta quinque navibus ad priſtinam ſtationem rediit.

12 Timotheus navalem pugnam ad Leucadem initurus cum Nicolocho Spartiata, præcepit, ut remiges ex plurimis navibus ſupra terram juxta mare requieſcerent: et cum viginti optime navigantibus ſolvens, mandavit triremium præfectis, ne intra teli jactum cum hoſtium triremibus congrederentur, ſed declinarent et tergiverſarentur de induſtria, ut hoſtium remiges defeſſos redderent. Cum igitur hæ tergiverſarentur, atque illæ præ æſtu ac labore defatigarentur. Timotheus receptui cecinit, et eos qui ſupra terram quietem egerant, remiges naves conſcendere juſſit: atque celeriter hoſtes defatigatos perſecutus, multas ipſorum triremes partim ſubmerſit, partim inutiles ad navigandum reddidit.

13 Timo-

ιγ΄ Τιμόθεος Λακεδαιμονίους καταναυμαχήσας, φοβηθεὶς δέκα ναῦς Λακωνικὰς, ἃς προέπεμψεν ὁ ναύαρχος ἐπὶ καταγωγῇ πλοίων σιταγωγῶν, μή ποτε ἀναχωροῦσι τοῖς Ἀθηναίοις ἐπίθοιντο, παρήγγειλε τοῖς τριηράρχοις τὴν ἀρχαίαν τάξιν μὴ ζητεῖν, ἀλλὰ ἣν ἕκαστος ἐπὶ τοῦ παρόντος χώραν ἔχοι ταύτην φυλάσσειν· ἵνα μὴ μεταγομένων τῶν σκαφῶν ἐπὶ τὰς ἑαυτῶν τάξεις, ἐπιπλεύσαντες οἱ πολέμιοι προσβάλλωσι τῷ ναυτικῷ λελυμένῳ· τάξας δὲ τὰς ναῦς ἐν μηνοειδεῖ σχήματι, τὰ μὲν ἔμβολα τῶν νεῶν, καὶ τὸ περιφερὲς τοῦ σχήματος πρὸς τοὺς ἐναντίους [35] ἐπίστρεψεν· τὰ ναυάγια δὲ καὶ τοὺς αἰχμαλώτους τῶν νεῶν ἐς τὸ κοίλωμα [36] τοῦ μηνικοῦ συναγαγὼν, ἔπλει κατὰ πρύμναν.

ιδ΄ Τιμόθεος Χαλκιδεῦσι πολεμῶν μετὰ Περδίκου Κύπριον χαλκὸν Μακεδονικῷ νομίσματι μίξας, ἐπίσημον ἔκοψεν ὥς τε τὰς παλαιὰς ε΄ δραχμὰς ἔχειν ἀργυρίου τεταρτημόριον, τὸ δὲ λοιπὸν χαλκοῦ φαύλου· πλείστης δ' εὐπορήσας μισθοδοσίας, τοὺς ἐμπόρους καὶ τοὺς ἀπὸ τῆς χώρας ἔπεισε, πρὸς χαλκὸν πιπράσκειν· ἀντιφορτιζόμενα δὲ

35 Mſſ. et Codd. *Caſ.* ἐπίτρεψεν. 36 Scribendum τοῦ ναυτικοῦ vel τοῦ μηνοειδοῦς. *Caſ.*

13 Timotheus navibus cum Lacedæmoniis belligerans, metuens decem naves Laconicas, quas præmiſerat claſſis præfectus ad deducenda navigia, quæ commeatum vehebant, ne in diſceſſu Athenienſes adorirentur, præcepit triremium præfectis, ne priſtinum ordinem quærerent: ſed quem in præſenti quilibet locum occupaſſet, eum teneret, ne dum in ſuos ordines ſcaphæ traducerentur, adnavigantes hoſtes impetum repente facerent in diſſolutas. Collocans autem naves falcata figura, roſtra navium et circumferentiam in hoſtes direxit. Navigiis vero et captivis navium in concavitatem incluſis, ſecundum puppim navigavit.

14 Timotheus bellum gerens adverſus Chalcidenſes, una cum Perdicca, Cyprium æs Macedonico numiſmate permiſcens, inſigne percuſſit, quod priſtinas quinque drachmas valore exæquaret, ejus quarta pars conſtabat argento, reliquum ære vitioſo. Ad hunc modum abundans ſtipendiis, perſuaſit mercatoribus et ejus regionis incolis, ut ære venditiones emptionesque contraherent. Sic mutuo res com-

δὲ τὰ παρ' ἀλλήλων οὐδὲν τοῦ νομίσματος ἐφύλαττον. ἀλλὰ τοῦτο περιήει πάλιν εἰς τὴν μισθοφορὰν τὴν στρατιωτικήν.

ιε' Τιμόθεος ἐπολιόρκει Τορώνην· οἱ μὲν Τορωναῖοι μεγάλα ὕψη ἀντανίστησαν, φορμῶν ψάμμου πληρουμένων· ὁ δὲ Τιμόθεος μηχανήμασι μακροτέροις ἐξ ἱστῶν ἀκίδας περιθεὶς, καὶ δρέπανα ἐπὶ τὰ ἄκρα τοῦ ἱστοῦ ἐμβαλὼν, ταῖς ἀκίσιν τὰς διφθέρας διερρήγνυεν τοῖς δὲ δρεπάνοις ἀνέτεμνε τοὺς φορμοὺς, ὥς τε ῥεῖν τὴν ἄμμον· τοῦτο δρώμενον ἰδόντες Τορωναῖοι πρὸς ὁμολογίαν ἐτράποντο.

ις' Τιμόθεος μετὰ Κερκυραίων, καὶ τῶν ἄλλων συμμάχων πρὸς Λακεδαιμονίους συμμαχῶν, τὰς ἄριστα πλεούσας τῶν νεῶν προέταξε· κελεύσας ἐν τῷ σχήματι τῆς παρατάξεως ἡσυχίαν ἔχειν· ἐπεὶ δὲ οἱ προτεταγμένοι διεναυμάχησαν, ἐπὶ πολὺ κεκμηκότων ἤδη τῶν πολεμίων, σημεῖον ἦρε τοῖς ἡσυχάζουσιν· οἱ δὲ ἀκμῆτες ἐμβαλόντες ἐτρέψαντο τοὺς κεκμηκότας.

ιζ' Τιμόθεος περὶ Λευκάδα Λακεδαιμονίοις ναυμαχήσας ἐνίκησε· πολλῶν συντριβέντων σκαφῶν, περιῆσαν δέκα νῆες τῶν πολεμίων 37 ἀναυμάχητοι, ἃς ἐδεδοίκει. Τιμόθεος

37 Fl. ναυμάχητοι.

commutantes, nihil ex illo numiſmate retinuerunt, ſed illud quaſi circuitu quodam in militare ſtipendium rediit.

15 Timotheus oppugnabat Toronam. Toronenſes altiſſimas moles contra erigebant corbibus arena impletis. Ille longioribus machinis ex malis navium pendentibus, cuſpides apponens, et falces in ſummitate mali affigens, cuſpidibus pelles disrupit. Falcibus autem crates diſſecabat, ita ut arena difflueret. Quod cum vidiſſent Toronenſes, ad fœdus faciendum impellebantur.

16 Timotheus cum Corcyrenſibus, aliisque ſociis contra Lacedæmonios exercitum ducens, naves optime navigantes primo loco collocavit, jubens, inſtructo ordine reliquas quietem agere. Cum priores navale prælium facerent, plane defeſſis jam hoſtibus, ſignum quieſcentibus extulit. Qui recentes adhuc et integri, facto impetu defeſſos in fugam verterunt.

17 Timotheus circa Leucadem navali prælio Lacedæmonios devicit. Multis contritis ſcaphis, decem naves hoſtium ſupererant, navale prælium non expertæ, quas metuebat. Timotheus

rever-

θιος ἐπανιὼν ἐπὶ τὸν ναύσταθμον, καὶ δὴ τὸ ναυτικὸν ἐτάξεν ἐν μηνοειδεῖ σχήματι πρὸς τοὺς πολεμίους τὸ κυρτὸν, ἐντὸς τὰ ναυάγια συναγαγών· τὸν δὲ ἀπόπλουν ἐποιεῖτο 38 πρὸς τὴν γῆν, κελεύσας ἐλαύνειν ἐπὶ πρύμναν, ὅπως ἀντίπρωροι τὰς πολεμίας δέκα ναῦς ῥᾳδίως ἀμύνοιντο. τοῦτο τὸ σχῆμα τῆς τάξεως οἱ ἀπὸ τῶν δέκα νεῶν φοβηθέντες οὐκ ἐπέθεντο.

ΚΕΦ. ΙΑ.

ΧΑΒΡΙΑΣ.

Χαβρίας τοῖς στρατιώταις παρήγγειλεν, ἐπειδὰν μέλλωμεν μάχεσθαι, μή τοι νομίζωμεν ὡς πολεμίοις συμβάλλοντες· ἀλλὰ ἀνθρώποις αἷμα καὶ σάρκα ἔχουσι· καὶ τῆς αὐτῆς φύσεως ἡμῖν κεκοινωνηκόσι.

β΄ Χαβρίας περὶ Νάξον ναυμαχῶν ἐνίκησε Βοηδρομιῶνος 39 ἕκτη ἐπὶ δέκα· αὐτὴν τὴν ἡμέραν ἐπιτήδειον τῇ ναυμαχίᾳ κρίνας, 40 ὅτι ἐν μιᾷ τῶν 41 λθ΄ μυστηρίων. οὕτω γέ

38 MSS. ἐς τὴν γῆν. 39 MSS. et Codd. *Caſ.* ἕκτη ἐπεὶ δὲ κατ᾽ αὐτήν· ſcribe ἕκτη ἐπὶ δέκα. ταύτην τὴν ἡμέραν. *Maſv.* 40 ὅτι· ἦν μία. conjeſt. *Caſ.* 41 Numeri λθ΄ corrupti ſunt, quare aut delendi cum MSS. aut legendum cum Meurſio τῶν θ΄ μυστηρίων. *Maſv.*

reverſus ad navale, nauticum exercitum falcata figura inſtruxit, et contra hoſtes circumferentiam vertens, navigiis intus comprehenſis, abnavigationem ad terram inſtituit, jubens ſecundum puppim impellere, ut proris exadvorſum collocatis, facile ſe ab hoſtilibus decem navibus defenderent. Hanc ordinis figuram hi, qui decem naves tenebant, metuentes, aggredi non audebant.

CAP. XI.

CHABRIAS.

Chabrias militibus dixit: Si pugnam inibimus, ne putemus nos cum hoſtibus manum conſerere, ſed cum hominibus ſanguine ac carne præditis, et qui naturam eandem, communemque nobiſcum habeant.

2 Chabrias ad Naxum prælio navali victoriam conſecutus eſt, Boëdromionis die decima ſexta: pugnæ navali aptam ratus eſſe eam diem, quoniam una ex illis... erat, quibus myſteria celebrabantur. Similiter The-

γέ τοι καὶ Θεμιστοκλῆς τοὺς Πέρσας ἐναυμάχησε περὶ Σαλαμῖνα· ἀλλὰ οἱ μὲν | περὶ Θεμιστοκλέα σύμμαχον ἔσχον τὸν Ἴακχον 42 γολλάδα μύσαι.

γ΄ Χαβρίας, ναῦς Λακωνικὰς κατασκόπους δώδεκα ἐφορμούσας, οὐ μὴν ἔτι ἀναχθῆναι θαρροῦσας, ἐξεκαλέσατο οὕτως πῶς αὐτὰς ἀναχθῆναι. 43 ναυσὶ δεκαδύο κατὰ δύο ζεύξας ἐπὶ τὰ ἱστία τῶν νεῶν, ἐπὶ μιᾶς ἐρέμενος. οἱ πολέμιοι καταφρονήσαντες, ὡς πρὸς ἓξ τριήρεις, αὐτοὶ δεκαδύο ἔχοντες, ἐπανήχθησαν. Χαβρίας ἐπιπλέον αὐτῶν τοῦ πελάγους προελθόντων, καθελὼν τὰ ἱστία, τὰ σκάφη διαζεύξας ἐπέστρεψε, καὶ τὰς ἡμισείας τῶν πολεμίων ἔλαβεν αὐτάνδρους.

δ΄ Χαβρίας διὰ στενῶν τόπων ἀναχωρῶν, ὀλίγους ἔχων, πολλῶν πολεμίων ἐπικειμένων, αὐτὸς τῆς πορείας ἡγούμενους, τοὺς μάλιστα εὐρώστους οὐραγεῖν ἔταξεν, ὅπως προσκειμένους ἀμύνοιντο. οὐδεὶς οὖν τῶν οὐραγούντων ἔφυγεν, οὐ τολμῶν

42 *Fl.* γολλάδας μύσαι. *Cant.* γολάδαι μύσαι. optime in ejusdem margine ἅλαδε μύσαι, uti ſagaciter olim hic reſtituit *Joh. Meurſius*. Secundus myſteriorum dies dictus fuit ἅλαδε μύσαι. Ultima autem verba ſic legenda: οἱ δὲ περὶ χαβρίαν Ἅλαδε μύσαι. *Maſv.* 43 Scribendum ναῦς δεκαδύο κατὰ δύο ζεύξας, ἔτι τὰ ἱστία τῶν δυοῖν ἐπὶ μιᾶς αἰρόμενος. *Maſv.*

Themiſtocles de Perſis navale victoriam retulit ad Salaminem. Verum Themiſtoclem quidem ipſe Bacchus, Chabriam ſecundus dies myſteriorum juvit.

3 Chabrias cum naves Laconicæ ſpeculatrices duodecim appuliſſent, neque amplius auderent ſolvere, ſic eas ut ſolverent elicuit. Naves duodecim binas et binas conjunxit, duarum vela in unam contrahens. Hoſtes ſis contemtis, quaſi adverſus ſex, ipſi cum duodecim ſolverunt. Quibus latius in mare progreſſis, Chabrias velis ſublatis ſcaphas disjunctas immiſit, et partem dimidiam hoſtium navium una cum ipſis hominibus cepit.

4 Chabrias per anguſta loca cum paucis diſcedens, inſtantibus multis hoſtibus, ipſe præcedens dux profectionis, robuſtiſſimos in extremo collocavit, ut inſtantes propulſarent. Nemo igitur ex poſtremis fugam capeſſivit,

τολμῶν τὸν στρατηγὸν παρελθεῖν ὡς κωλυθεὶς, ἢ καὶ κολασθείς· τῷ σχήματι τούτῳ τῆς πορείας ἀσφαλῶς διήγαγε τὸ στρατόπεδον.

έ Χαβρίας Θάμῳ Αἰγυπτίων βασιλεῖ χρημάτων ἀποροῦντι, συνεβούλευσε τοὺς ἐν τῇ χώρᾳ κεκτημένους ἱκανὴν οὐσίαν, κελεῦσαι παραχρῆμα εἰσενεγκεῖν [44] ὅσον τὶς ἔχει χρυσίον ἢ ἀργύριον· [45] κομιδὴν δὲ αὐτοῖς οὐ διδόασι γενέσθαι τῶν φόρων, οὓς κατ' ἔτος ἐτέλουν· οὕτως δὴ πολλὰ [46] συνελέγη χρήματα οὐδενὸς ἀδικηθέντος, ἀλλὰ πάντων ὕστερον ὡς δέδωκαν ἀπολαβόντων.

ς' Χαβρίας [47] εἰς Ἑλλάδα τῆς Λακωνικῆς ἐμβαλὼν νυκτὸς τὸν ποταμὸν διαβὰς λείαν πολλὴν λαβὼν, τὴν μὲν ὑπὲρ τὸν ποταμὸν εἰς τὴν φιλίαν ἀπεπέμψατο. αὐτὸς δὲ τοὺς ἄλλους στρατιώτας φαγεῖν κελεύσας, ἀνέμεινε μέχρι μεσούσης ἡμέρας, τοῦτο προσδοκῶν, ὃ δὴ καὶ ἐγένετο. οἱ γὰρ Λακεδαιμόνιοι μαθόντες ἐξεβοήθησαν, ὡς ἀφαιρησόμενοι τὴν λείαν ἐπὶ τοῦ ποταμοῦ. καὶ σπουδῇ δραμόντες διακόσια

44 *Fl.* ὅσον τὶς ἔχοι. 45 legendum cum utroque codice, κομιδὴν δὲ αὐτοῖς ὧν διδόασι γενέσθαι τῶν φόρων. *Maſv.* 46 *Cant.* συνελέγει. 47 Scribe εἰς Ἕλος, quod fuit τῆς Λακωνικῆς oppidum. *Caſ.*

peſſivit, non audens ducem præterire, quippe prohibitus vel etiam punitus. Hac profectionis conſtitutione tuto exercitum traduxit.

5 Chabrias Thamo Ægyptiorum regi, pecuniis indigenti, conſilium dedit, ut ditiores regionis incolas juberet confeſtim quantum unusquisque poſſet auri vel argenti contribuere: pro iis vero quæ darent, annua tributa eis remitteret. Hoc pacto multas pecunias collegit, neque tamen injuriam cuiquam fecit. Sed omnes poſtea, quemadmodum dederant, receperunt,

6 Chabrias in Laconicam faciens impreſſionem, noctu fluvium transgreſſus, multa præda capta eam trans fluvium in amicam et ſociam terram miſit, Ipſe vero cum reliquis militibus cibum ſumere juſſis, remanſit uſque ad meridiem, hoc ipſum expectans, quod etiam contigit. Nam Lacedæmonii re cognita ad prædam recuperandam fluvium transgreſſi ſunt: et cum ſummo ſtudio

 ducenta

κόσια ςάδια κεκμηκότες, ἀσύντακτοι, διεσπαρμένοι, πρὸς μάχην ἦσαν ἄχρηςοι. ὁ δὲ τὺς αὐτῦ ςρατιώτας βεβρωκότας, ἀναπαυσαμένυς, συντεταγμένυς [48] πρὸς διαγωγὴν ῥᾳδίως τὺς πλεῖςυς αὐτῶν διέφθειρεν.

ζ Χαβρίας ἦν ἐν Αἰγύπτῳ ςρατηγῶν τῷ βασιλεῖ τῶν Αἰγυπτίων. τῦ Περσῶν βασιλέως ἐπιςρατεύσαντος πεζῇ δυνάμει, καὶ ναυτικῇ, ὁ τῶν Αἰγυπτίων βασιλεὺς ναῦς πολλὰς ἔχων ἠπόρει πληρωμάτων συγκεκροτημένων. Χαβρίας καταλέξας Αἰγυπτίων τὺς νεωτάτυς ἱκανὺς πληρῶσαι ναῦς διακοσίας, ἐξελὼν τὰς κώπας τῶν τριηρῶν ξύλα μακρὰ παραβαλὼν ἐπὶ τὸν αἰγιαλὸν, ὥς τε ἐφ' ἕνα καθῆσθαι, δὺς αὐτοῖς τὰς κώπας, καὶ [49] κελεύσας τῶν διγλώσσων ἐπιςήσας, ὀλίγαις ἡμέραις ἐλαύνειν αὐτὺς [50] ἐβάδιζεν ἐρετῶν συγκεκροτημένων ἐπλήρωσεν.

η' Χαβρίας ὁπότε νεοσύλλογον ἔχων δύναμιν καὶ μέλλοι παρατάττεσθαι, διὰ τῦ κήρυκος ἐκέλευσε τὺς ἀῤῥώςως ἔχοντας, χωρὶς τίθεσθαι τὰ ὅπλα. ὅσοι δὲ δειλοὶ δι'

48 Interpres pro πρὸς διαγωγὴν legiſſe videtur προσάγων. *Maſv.* 49 κελευςὰς recte conjiciente *Caſaubono.* 50 ἐδίδαξε conject. *Caſ.*

ducenta ſtadia percurriſſent, defeſſi, inordinati, atque diſperſi ad pugnam inutiles erant. At ille ſuos milites cœnatos, quiete refectos, atque ordinatos adducens, ſine negotio multos ex hoſtibus interfecit.

7 Chabrias in Ægypto regis Ægyptiorum exercitum ducebat. Cum rex Perſarum pedeſtribus ac navalibus copiis expeditionem faceret, Ægyptius navibus abundans, exercitatis claſſiariis egebat. Chabrias delectis junioribus ex Ægyptiis eo numero, ut ducentis navibus inſtruendis ſufficerent, remos e triremibus ſuſtulit, longisque contis verſus littus projectis, effecit, ut ſinguli ordine ſederent: dansque eis remos, et præficiens hortatores utramque linguam *Græcam* et *Ægyptiam* callentes, paucos dies ipſos agere docuit, et exercitatis remigibus naves implevit.

8 Chabrias, ſi recens collectum exercitum haberet, et pugnam initurus eſſet, per præconem juſſit, ut qui male haberent, ſeorſim arma deponerent. Quotquot igitur erant

51 δι᾽ ἀῤῥωστίαν προσποιούμενοι χωρὶς ἐτίθεντο τὰ ὅπλα, τούτοις ἐς μὲν τὴν μάχην οὐκ ἐχρῆτο· ἐς δὲ τὰς προκαταλήψεις τῶν ὀχυρῶν τόπων· ἵνα τὸ γοῦν πλῆθος ἐπιφαινόμενον αὐτῶν φόβον ἐνεργάζοιτο τοῖς πολεμίοις· καιροῦ δὲ παραστάντος, ποιεῖ ταχέως αὐτοὺς ἀπομίσθους.

θʹ Χαβρίας προσπλεύσας πολεμίᾳ πόλει, νυκτὸς τοὺς πελταστὰς ἀπεβίβασεν. αὐτὸς δὲ ἀρχομένης ἕω, ἐπὶ τὸν λιμένα ἔπλει ἀποτέρω τῆς πόλεως ὄντα. οἱ ἐκ τῆς πόλεως ἐξέδραμον κωλύσοντες ἀποβῆναι τοὺς ἐκ τῶν νεῶν· οἱ δὲ ἐκ τῆς ἐνέδρας πελτασταὶ ὄπισθεν ἐπιφανέντες τοὺς μὲν διέφθειραν αὐτῶν, τοὺς δὲ ζωγρίᾳ λαβόντες, τῶν νεῶν ἐπιβάντες, ἀνήχθησαν.

ιʹ Χαβρίας ἀπὸ τῶν πελταστῶν δέκα τοὺς δρομικωτάτους ἐφ᾽ ἑκάστην ναῦν παρεβιβάσατο. καὶ νυκτὸς ἐς τὴν πολεμίαν ἀπεβίβασε, καὶ ληλατεῖν τὴν χώραν ἐκέλευσεν. οἱ δ᾽ ἐκ τῆς πόλεως ἐκβοηθήσαντες, ἐπικρατεῖν τῶν ληλατούντων ἔμελλον. ὁ δὲ προϊδὼν, κατὰ σπουδὴν ἐπὶ τὴν πόλιν ἔπλει. οἱ δὲ ἐκβοηθήσαντες, τὸν ἐπίπλουν ἰδόντες, ἐσπούδασαν, ἵνα μὴ καταλάβοι τὴν πόλιν. ὁ δὲ τὰς ναῦς

τῆς

51 Scribe ὡς δὴ ἀῤῥ. *Caſ.*

erant timidi, morbum ſimulantes, arma ſeponebant. His ad pugnam quidem non utebatur, ſed ad præoccupanda loca munita, ut ſaltem ipſorum multitudo apparens, metum hoſtibus faceret. Occaſione vero data, ſtatim eos ſtipendiis privavit.

9 Chabrias ad hoſtilem urbem appellens, noctu ſcutatos egredi fecit. Ipſe vero prima luce ad portum navigabat, longe ab urbe diſſitum. Cives excurrebant, ut e navibus egredi prohiberent. Scutati vero ex inſidiis impetentes a tergo, quosdam ex iis occiderunt, et quibusdam captis vivis, in naves ingreſſi ſolverunt.

10 Chabrias ex ſcutatis decem velociſſimos in ſingulas naves impoſuit, et noctu in hoſtile ſolum emiſit, atque prædam ex regione agere juſſit. Cives ex urbe ſuis rebus opem ferentes, capturi prædatores erant. Quo ille viſo, confeſtim ad urbem navigabat. Egreſſi cum adnavigantem vidiſſent, diligentiam adhibuerunt, ne urbem caperet. Ille naves ad ter-

ram

52 τῆς χώρας προσορμίσας, τοὺς πελταστὰς καὶ τὴν λείαν ὅσην ἔλαβεν ἀναλαβὼν, καὶ δὴ ἀποπλεύσας ᾤχετο.

ια΄ Χαβρίας ἐν Νάξῳ μέλλων ναυμαχεῖν πρὸς Πόλλιν, παρήγγειλε τοῖς τριηράρχαις ἐὰν ἰσοπαλεῖς κατὰ τὸν κίνδυνον ὦσι, τὰ σημεῖα τῶν ἰδίων νεῶν λάθρα καθελόντας, εἰδέναι τὰς ἐπισήμους πολεμίας οὔσας. ἐπεὶ δὲ τοῦτο ἐγένετο, οἱ μὲν τοῦ Πόλλιδος κυβερνῆται ταῖς ναυσὶ τῶν Ἀθηναίων ἀπαντῶντες, διὰ τὸ μὴ ἔχειν αὐτοὺς τὸ Ἀττικὸν σημεῖον ἀμφιγνοοῦντες παρέπλεον. οἱ δὲ τῶν Ἀθηναίων κατὰ τὸ παράγγελμα ἐπισήμοις τῶν νεῶν ἔφθανον διαδόντες διττὰς ἐμβολάς. τὸ τέχνασμα τοῦτο νίκην Ἀθηναίοις ἔδωκεν.

ιβ΄ Χαβρίας εἰς Αἴγιναν νυκτὸς καταπλεύσας, τριακοσίους ἄνδρας εἴς τινα τόπον ἐπιτήδειον ἀποβιβάσας, αὐτὸς παρέπλει. οἱ μὲν ἐκ τῆς πόλεως ἐπεξελθόντες, τοῖς ἀποβᾶσι παρετάσσοντο· καὶ πολλοὺς αὐτῶν ἀνῄρουν· ὁ δὲ διὰ τάχους ἐς τὴν πόλιν εἰσέπλευσεν· οἱ δὲ πολῖται φοβηθέντες μὴ τῆς πόλεως ἀποκλεισθῶσι, καταλιπόντες τὴν πρὸς τοὺς τριακοσίους μάχην, ἀνεχώρησαν ἐπὶ τὴν πόλιν.

ιγ΄ Χα-

52 Scribendum τῇ χώρᾳ. *Caſ.*

tam appellens, acceptis ſcutatis et præda, quam ceperant, diſceſſit.

11 Chabrias in Naxo adverſus Pollin navale prælium geſturus, præcepit triremium præfectis, ut ſi in æquali et ancipiti periculo eſſent, ſuarum navium ſignis abſconditis inſignitas hoſtiles eſſe ſcirent. Hoc facto, Pollidis gubernatores Athenienſium navibus obviam facti, cum non haberent Atticum ſignum, dubii et ancipites præternavigarunt. Athenienſes vero quemadmodum præceptum erat, utrinque in inſignitas naves impreſſionem fecerunt. Hæc machinatio, victoriam Athenienſibus attulit.

12 Chabrias noctu in Æginam navigans, triginta viris in locum idoneum expoſitis, ipſe præternavigabat. Cives ex urbe progreſſi, pugnam cum egreſſis incipiebant, et multos ex eis perimebant. Ille confeſtim ad urbem navibus contendit. Cives metuentes ne excluderentur, deſerta pugna, quam cum triginta viris inceperant, in urbem reverſi ſunt.

13 Cha-

ιγʹ Χαβρίας πρὸς τὰς ἐπιβολὰς τῶν κυμάτων ὑπὸ τὴν παρεξειρεσίαν ἑκατέρου τοίχου δέῤῥεις κατελάμβανεν· καὶ κατὰ 53 μόνας ἀρτίους τῷ καταστρώματι κατὰ τὸ ὕψος φράγμα κατελάμβανεν αὐτὸ πρὸς τὰς παρεξειρεσίας· τοῦτο δὲ ἐκώλυε τὴν ναῦν ὑποβρύχιον φέρεσθαι. καὶ τοὺς ναύτας ὑπὸ τῶν κυμάτων βρέχεσθαι. καὶ τὰ ἐπιφερόμενα κύματα οὐχ ὁρῶντες διὰ τὴν τοῦ φράγματος πρόσθεσιν, οὐκ ἐξανίσταντο διὰ τὸν φόβον, οὐδὲ τὴν ναῦν ἔσφαλον.

ιδʹ Χαβρίας πρὸς τοὺς πελαγίους πλοῦς, καὶ τοὺς ἐν τῇ θαλάττῃ χειμῶνας κατεσκεύαζεν ἑκάστῃ τῶν νηῶν δισσὰ πηδάλια, καὶ τοῖς μὲν ὑπάρχουσι ἐν ταῖς εὐδίαις ἐχρῆτο. εἰ δὲ ἡ θάλασσα κοίλη γίνοιτο, θάτερα διὰ τῆς παρεξειρεσίας κατὰ τὰς θρανίτιδας κώπας 54 πατηθῇ, τοὺς αὐχένας ἔχοντα καὶ τοὺς οἴακας ὑπὲρ τοῦ καταστρώματος, ὥς τε ἐξαιρουμένης τῆς πρύμνης, τούτοις τὴν ναῦν κατευθύνεσθαι.

ιεʹ Χαβρίας καταλαβὼν τὴν Λακωνικὴν, καὶ λείαν πολλὴν ἁρπάσας, Σπαρτιατῶν ἐκβοηθησάντων ὧν Ἀγησίλαος

53 κώπας conjeƈt. *Maſv.* 54 *Cant.* πατηχθεῖ legendum cum *Caſ.* παρετίθη.

13 Chabrias adverſus impetus fluƈtuum ad proram et puppim ex utroque latere pluteos affixit, et ſeorſim æquales navis tabulato, in altitudine munitionem hanc cum extremis partibus conjungens. Id impedimento fuit, quominus patens fluƈtibus navis ferretur, et nautæ minus madeſcerent. Sic etiam cum impetentes fluƈtus cernere non poſſent, propter munimenti appoſitionem, non perterriti ſunt metu, neque navim reliquerunt.

14 Chabrias adverſus pelagias navigationes, et marinas procellas ſingulis navibus duo gubernacula comparavit, atque priſtinis in tranquillitate utebatur. Sin mare cavum fieret, alia per ſpatium, quod eſt inter remiges et proram, juxta remos ſupremos adaptabat, anſas et clavos habentia ſupra tabulatum, ita ut elevata puppi hiſce moderaretur navem.

15 Chabrias cum Laconum terram occupaſſet, multamque prædam abegiſſet, exeuntibus ad ferendum ſuis auxilium Spartiatis, duce Ageſilao,

52 τῆς χώρας προσορμίσας, τοὺς πελταστὰς καὶ τὴν λείαν ὅσην ἔλαβεν ἀναλαβὼν, καὶ δὴ ἀποπλεύσας ᾤχετο.

ια΄ Χαβρίας ἐν Νάξῳ μέλλων ναυμαχεῖν πρὸς Πόλλιν, παρήγγειλε τοῖς τριηράρχαις ἐὰν ἰσοπαλεῖς κατὰ τὸν κίνδυνον ὦσι, τὰ σημεῖα τῶν ἰδίων νεῶν λάθρα καθελόντας, εἰδέναι τὰς ἐπισήμους πολεμίας οὔσας. ἐπεὶ δὲ τοῦτο ἐγένετο, οἱ μὲν τοῦ Πόλλιδος κυβερνῆται ταῖς ναυσὶ τῶν Ἀθηναίων ἀπαντῶντες, διὰ τὸ μὴ ἔχειν αὐτοὺς τὸ Ἀττικὸν σημεῖον ἀμφιγνοοῦντες παρέπλεον. οἱ δὲ τῶν Ἀθηναίων κατὰ τὸ παράγγελμα ἐπισήμοις τῶν νεῶν ἔφθανον διαδόντες διττὰς ἐμβολάς. τὸ τέχνασμα τοῦτο νίκην Ἀθηναίοις ἔδωκεν.

ιβ΄ Χαβρίας εἰς Αἴγιναν νυκτὸς καταπλεύσας, τριακοσίους ἄνδρας εἴς τινα τόπον ἐπιτήδειον ἀποβιβάσας, αὐτὸς παρέπλει. οἱ μὲν ἐκ τῆς πόλεως ἐπεξελθόντες, τοῖς ἀποβᾶσι παρετάσσοντο· καὶ πολλοὺς αὐτῶν ἀνῄρουν· ὁ δὲ διὰ τάχους ἐς τὴν πόλιν εἰσέπλευσεν· οἱ δὲ πολῖται φοβηθέντες μὴ τῆς πόλεως ἀποκλεισθῶσι, καταλιπόντες τὴν πρὸς τοὺς τριακοσίους μάχην, ἀνεχώρησαν ἐπὶ τὴν πόλιν.

ιγ΄ Χα-

52 Scribendum τῇ χώρᾳ. *Caſ.*

tam appellens, acceptis ſcutatis et præda, quam ceperant, diſceſſit.

11 Chabrias in Naxo adverſus Pollin navale prælium geſturus, præcepit triremium præfectis, ut ſi in æquali et ancipiti periculo eſſent, ſuarum navium ſignis abſconditis inſignitas hoſtiles eſſe ſcirent. Hoc facto, Pollidis gubernatores Athenienſium navibus obviam facti, cum non haberent Atticum ſignum, dubii et ancipites præternavigarunt. Athenienſes vero quemadmodum præceptum erat, utrinque in inſignitas naves impreſſionem fecerunt. Hæc machinatio, victoriam Athenienſibus attulit.

12 Chabrias noctu in Æginam navigans, triginta viris in locum idoneum expoſitis, ipſe præternavigabat. Cives ex urbe progreſſi, pugnam cum egreſſis incipiebant, et multos ex eis perimebant. Ille confeſtim ad urbem navibus contendit. Cives metuentes ne excluderentur, deſerta pugna, quam cum triginta viris inceperant, in urbem reverſi ſunt.

13 Cha-

ιγʹ Χαβρίας πρὸς τὰς ἐπιβολὰς τῶν κυμάτων ὑπὸ τὴν παρεξειρεσίαν ἑκατέρου τοίχου δέῤῥεις κατελάμβανεν· καὶ κατὰ 53 μόνας ἀρτίους τῷ καταστρώματι κατὰ τὸ ὕψος φράγμα κατελάμβανεν αὐτὸ πρὸς τὰς παρεξειρεσίας· τοῦτο δὲ ἐκώλυε τὴν ναῦν ὑποβρύχιον φέρεσθαι. καὶ τοὺς ναύτας ὑπὸ τῶν κυμάτων βρέχεσθαι. καὶ τὰ ἐπιφερόμενα κύματα οὐχ ὁρῶντες διὰ τὴν τοῦ φράγματος πρόσθεσιν*, οὐκ ἐξανίσταντο διὰ τὸν φόβον, οὐδὲ τὴν ναῦν ἔσφαλον.

ιδʹ Χαβρίας πρὸς τοὺς πελαγίους πλοῦς, καὶ τοὺς ἐν τῇ θαλάττῃ χειμῶνας κατεσκεύαζεν ἑκάστῃ τῶν νηῶν δισσὰ πηδάλια, καὶ τοῖς μὲν ὑπάρχουσι ἐν ταῖς εὐδείαις ἐχρῆτο. εἰ δὲ ἡ θάλασσα κοίλη γίνοιτο, θάτερα διὰ τῆς παρεξειρεσίας κατὰ τὰς θρανίτιδας κώπας 54 πατηθῇ, τοὺς αὐχένας ἔχοντα καὶ τοὺς οἴακας ὑπὲρ τοῦ καταστρώματος, ὥς τε ἐξαιρουμένης τῆς πρύμνης, τούτοις τὴν ναῦν κατευθύνεσθαι.

ιεʹ Χαβρίας καταλαβὼν τὴν Λακωνικὴν, καὶ λείαν πολλὴν ἁρπάσας, Σπαρτιατῶν ἐκβοηθησάντων ὧν Ἀγησίλαος

53 κώπας conject. *Maſv.* 54 *Cant.* πατηχθεῖ legendum cum *Caſ.* παρετίθη.

13 Chabrias adverſus impetus fluctuum ad proram et puppim ex utroque latere plureos affixit, et ſeorſim æquales navis tabulato, in altitudine munitionem hanc cum extremis partibus conjungens. Id impedimento fuit, quominus patens fluctibus navis ferretur, et nautæ minus madeſcerent. Sic etiam cum impetentes fluctus cernere non poſſent, propter munimenti appoſitionem, non perterriti ſunt metu, neque navim reliquerunt.

14 Chabrias adverſus pelagias navigationes, et marinas procellas ſingulis navibus duo gubernacula comparavit, atque priſtinis in tranquillitate utebatur. Sin mare cavum fieret, alia per ſpatium, quod eſt inter remiges et proram, juxta remos ſupremos adaptabat, anſas et clavos habentia ſupra tabulatum, ita ut elevata puppi hiſce moderaretur navem.

15 Chabrias cum Laconum terram occupaſſet, multamque prædam abegiſſet, exeuntibus ad ferendum ſuis auxilium Spartiatis, duce Ageſilao,

λαος ἡγεῖτο, συναγαγὼν τοὺς στρατιώτας ἐπὶ λόφον ὑψηλὸν, τὰ σκευοφόρα καὶ τοὺς αἰχμαλώτους ἀγαγὼν ἐπὶ τὸ ὀχυρώτατον, περιεστρατοπέδευσεν. οἱ δὲ Λάκωνες ἀπὸ πέντε σταδίων ἀντεστρατοπέδευσαν. Χαβρίας παρήγγειλεν ὡς πλεῖστα πυρὰ καῆναι διὰ νυκτός· καὶ περὶ δευτέραν φυλακὴν παρήγγειλε, τὰ μὲν ὑποζύγια καὶ τὰ βοσκήματα καταλιπεῖν. αὐτοὺς δὲ ἀναχωρεῖν κατὰ τὸ ὄπισθεν μέρος τοῦ λόφου. οἱ μὲν δὴ λαθόντες ἀνεχώρησαν· οἱ δὲ Λάκωνες τό τε πῦρ ὁρῶντες, τῆς τε φωνῆς τῶν ὑποζυγίων ἀκούοντες, μένειν τοὺς Ἀθηναίους νομίζοντες, ὑπὸ τὴν ἕω διασκευασάμενοι, πρὸς μάχην σύνθημα λαβόντες, τῷ λόφῳ προσῆγον. ἐπεὶ δὲ ἐγγὺς γενόμενοι κενὸν τὸ στρατόπεδον εἶδον, ἀνεβόησεν Ἀγησίλαος, ἄριστός γε στρατηγὸς Χαβρίας.

ΚΕΦ. ΙΒ.

ΦΩΚΙΩΝ.

Φωκίων Ἀθηναίους ὡρμηκότας στρατεύειν ἐπὶ Βοιωτοὺς ἐκώλυεν· οἱ δὲ πολλῇ ὁρμῇ χρώμενοι τὸν πόλεμον ἐψηφίσαντο, καὶ Φωκίωνα στρατηγόν. ὁ δὲ τὸν κήρυκα ἀνειπεῖν

geſilao, milites in collem excelſum conduxit: jumentisque et captivis in munitiſſimum locum impoſitis, caſtra circum ea locavit. Lacones quinque ſtadiorum ſpatio e regione caſtrametabantur. Imperavit Chabrias, ut ignes plurimi per noctem incenderentur: et ſecunda vigilia promulgavit, ut relictis jumentis et pecudibus ipſi per poſteriorem collis partem diſcederent. Qui mandato parentes, clam diſceſſerunt. Lacones et ignem conſpicientes, et jumentorum vocem exaudientes, cum Athenienſes remanere putarent, ſub diluculum vaſis conclamatis, accepta ad ineundam pugnam teſſera, ad collem proceſſerunt. Poſtquam vero appropinquaſſent, et inania caſtra inveniſſent, exclamavit Ageſilaus: Optimus equidem dux eſt Chabrias.

CAP. XII.

PHOCION.

Phocion Athenienſibus expeditionem adverſus Bœotos ſuſcipere volentibus, reſtitit. Qui magnis propenſiſque ſtudiis bellum decreverunt, et Phocionem ducem crearunt. At ille præconem juſſit proclamare: Omnes Athe-

πεῖν ἐκέλευσεν· ὅσοι Ἀθηναίων μέχρι ἑξήκοντα ἐτῶν ἀπὸ ἥβης, πέντε ἡμερῶν σιτία λαβόντες, εὐθὺς ἀπὸ τῆς ἐκκλησίας ἕπεσθέ μοι. ὁ θόρυβος ἦν πολύς. οἱ πρεσβύτεροι καὶ μᾶλλον ἐβόων, ἀνεπήδουν, ἠγανάκτουν. τότε δὴ Φωκίων, οὐδὲν, ἔφη, δεινὸν ὑπομενεῖτε· κἀγὼ γὰρ ὁ στρατηγὸς ὀγδοηκοστὸν ἔχων 55 ἔτος 56 μεθ᾽ ὑμῶν κείσομαι. τοῦτο ἀκούσαντες Ἀθηναῖοι, τῆς ὁρμῆς τῆς ἐπὶ τὸν πόλεμον ἐπαύσαντο καὶ μετεβάλλοντο.

ΚΕΦ. ΙΓ.

ΧΑΡΗΣ.

Χάρης ἐν τῷ στρατοπέδῳ κατασκόπους ὑπονοήσας εἶναι, φυλακὴν ἔξωθεν τοῦ χάρακος ἐπιστήσας, προσέταξεν ἕκαστον ἐπιλαμβάνεσθαι τοῦ πλησίον· καὶ μὴ πρότερον προσαφίεναι, πρὶν εἰπεῖν ὅς τις εἴη, καὶ τίνος τάξεως. οὕτω δὴ συνέβη τοὺς κατασκόπους ἁλῶναι, μὴ δυναμένους εἰπεῖν μήτε τάγμα, μήτε λόχον, μήτε συσσίτιον, μήτε σύνθημα.

β´ Χάρης

55 MſT. ut et Codd. *Caſ*, *μέρος*. 56 Quidam Codd. *μεθ᾽ ὑμῶν ἔσομαι* quid ſi, *ἐκεῖ ἔσομαι*. *Caſ*

Athenienſes ab ætate puberum uſque ad annum ſexageſimum, aſſumto quinque dierum commeatu, mox a concione me ſequimini. Ibi tum magnus oriri tumultus, et præ cæteris potiſſimum ſenes vociferari, proſilire, atque indigne ferre. Tum Phocion: Nihil, inquit, vobis grave aut indignum accidet. Nam ego quoque dux octogeſimum annum habens, vobiſcum una jacebo. Hoc audito, Athenienſes belli ſtudium ac voluntatem remiſerunt atque mutarunt.

CAP. XIII.

CHARES.

Chares in exercitu ſuſpicatus exploratores verſari, præſidium extra vallum collocavit, mandavitque, ut unusquisque proximum apprehenderet: neque ante dimitteret, quam dixiſſet quisnam eſſet, et cujus ordinis. Ita factum eſt, ut caperentur exploratores, cum neque ordinem, neque manipulum, neque contubernium, neque ſignum indicare poſſent.

β' Χάρης ἐν Θρᾴκῃ χειμῶνος ὄντος ὑπερβολῇ, τοὺς στρατιώτας ὁρῶν φειδομένους τῶν ἱματίων, καὶ πρὸς τὸ πράττειν ἃ χρὴ διακειμένους ὀκνηρῶς, παρήγγειλεν αὐτοῖς, ἀλλάττειν παρ' ἀλλήλων τὰ ἱμάτια. τούτου γὰρ γενομένου, τῶν ἀλλοτρίων ἐσθήτων ἕκαστος οὐ φειδόμενος, ἑτοιμότερος ἦν πράττειν τὰ κελευόμενα.

γ' Χάρης ἀπῆγε στρατόπεδον ἐκ Θρᾴκης, ἐπέκειντο οἱ Θρᾷκες καὶ τὴν οὐραγίαν ἔθραυον· ὁ δὲ βουλόμενος, [57] ἀποσπάσας τοὺς πολεμίους, διελθεῖν ἀσφαλῶς τόπον ὕποπτον, [58] συνιδὼν ἀναβιβάσας τῶν σαλπιγκτῶν ἐπὶ τοὺς ἵππους, καὶ συμπέμψας αὐτοῖς ὀλίγους τῶν ἱππέων, ἐκέλευσε παριππευσαμένους τὴν ταχίστην, γενομένους ὄπισθεν τῶν πολεμίων, τὸ πολεμικὸν σημῆναι· οἱ μὲν ἐσήμηναν· οἱ δὲ προσκείμενοι Θρᾷκες ἐνέδραν εἶναι νομίσαντες, τὴν τάξιν λύσαντες, φεύγοντες ᾤχοντο· Χάρης δὲ ἀσφαλῆ τὴν ἀποχώρησιν ἐποιήσατο.

ΚΕΦ. ΙΔ.

ΧΑΡΙΔΗΜΟΣ.

Χαρίδημος Ἰλιέων λεηλατούντων αὐτοῦ τὴν πόλιν, οἰκέτην Ἰλιέα προσελθόντα ἐπὶ λείαν συλλαβὼν, μεγάλοις δώ-

ροις

57 *Uterque Codex ἀποσπάσαι.* 58 *συχνοὺς. Caſ.*

2 Chares in Thracia, cum vehementiſſima tempeſtas ingruiſſet, conſpicatus milites veſtimentis parcere, et ſegniter imperata facere: mandavit, ut veſtes invicem commutarent. Hoc facto, cum ſinguli alienarum veſtium nullam rationem haberent, promtius id, quod imperatum fuerat, exequebantur.

3 Chares exercitum e Thracia deducebat. Inſtantibus Thracibus, et poſtremum agmen carpentibus: cum vellet abſtractis hoſtibus, tuto locum ſuſpectum tranſire: re deliberata impoſitis in equos tubicinibus, et miſſis una paucis equitibus, juſſit ut obequitantes ſtatim ad hoſtium terga penetrarent, et claſſicum canerent. Quibus canentibus, Thraces qui inſequebantur, inſidias eſſe ſuſpicati, perturbatis ordinibus fugam capeſſiverunt. Chares vero ſecure ac ſine detrimento diſceſſit

CAP. XIV.

CHARIDEMUS.

Charidemus Ilienſibus urbem ejus deprædantibus, ſervum Ilienſem progreſſum ad prædam comprehendit, eumque

ρους ἔπεισε προδοῦναι τὴν πόλιν· ἵνα δὲ πιστὸς φανείη τοῖς φυλάττουσι τὰς πύλας, ἔδωκεν αὐτῷ πολλὰ πρόβατα, καὶ ἀνδράποδα δίς που καὶ τρὶς ἀγαγεῖν. οἱ δὲ φύλακες ταῦτα νειμάμενοι, συνεχώρουν αὐτῷ πολλάκις ἐξίεναι νύκτωρ, καὶ σὺν αὐτῷ ἄνδρας πλείονας, τὴν λείαν περιελαύνοντας. Χαρίδημος τοὺς μὲν σὺν αὐτῷ συλλαβὼν ἔδησε. τὰ δὲ τούτων ἱμάτια περιβαλὼν ἰδίοις ἀνδράσιν ὡπλισμένοις, ἔδωκεν αὐτοῖς τά τε ἄλλα τῆς λείας, καὶ ἵππον ὡς αἰχμάλωτον. οἱ φύλακες ἵνα δέξαιντο τὸν ἵππον, πᾶσαν τὴν πύλην ἀνέῳξαν· οἱ στρατιῶται τῷ ἵππῳ συνεισπεσόντες τοὺς τε φύλακας ἀπέκτειναν, καὶ τὴν λοιπὴν δύναμιν δεξάμενοι, τῆς πόλεως ἐκράτησαν. ὥς τε, εἰ χρή τι καὶ παῖξαι, δεύτερον ἑάλω τὸ Ἴλιον, πάλιν ἵππῳ κατεστρατηγημένον.

ΚΕΦ. ΙΕ.

ΔΗΜΗΤΡΙΟΣ ὁ ΦΑΛΗΡΕΥΣ.

Δημήτριος Φαληρεὺς συλλαμβάνεσθαι μέλλων ὑπὸ τοῦ Θρᾳκῶν βασιλέως, κατακρύψας αὑτὸν ἐς ἅμαξαν χορτοφόρον, ἐς τὴν ὅμορον χώραν διεσώθη.

ΚΕΦ. Ιϛ.

eumque magnis propoſitis muneribus, ad prodendam urbem adduxit. Verum quo majorem ei fidem haberent, portarum cuſtodes, multàs oves, mancipiaque bis terve dedit, ut adduceret. Cuſtodes vero patientes hæc, ſæpius illi per noctem exeundi poteſtatem fecerunt: cumque eo homines complures, qui prædam agerent. Charidemus ſocios ejus comprehenſos in vincula conjecit. Horum autem veſtibus quosdam ex ſuorum numero armatos induit, deditque eis tum aliam prædam, tum equum quaſi captivum. Cuſtodes ad recipiendum equum, totam portam aperuerunt. Milites cum equo irruentes, cuſtodes trucidaverunt, reliquamque manum recipientes, urbe potiti ſunt. Itaque ſi quid ludendum eſt, iterum dolo per equum ſtructo, captum eſt Ilium.

CAP. XV.

DEMETRIUS.

Demetrius Phalereus cum ſe a Thraciæ rege interceptum, captum iri cerneret, ſemetipſum in currum ſtramine onuſtum abdens, in finitimam regionem ſalvus et incolumis pervenit.

CAP. XVI.

ΚΕΦ. Ις.
ΦΙΛΟΚΛΗΣ.

Φιλοκλῆς Πτολεμαίου στρατηγὸς Καύνῳ προσεστρατοπέδευσε, καὶ χρήμασι διαφθείρας τοὺς σιτοφύλακας, συνέθετο. οἱ μὲν ἐν τῇ πόλει παρήγγειλαν τοῖς στρατιώταις δώσειν. οἱ δὲ τὰς φυλακὰς τῶν τειχῶν ἀπολιπόντες, τὸν σῖτον ἐμετροῦντο. Φιλοκλῆς ἐν τούτῳ τῷ καιρῷ προσπεσὼν ἀφύλακτον ἔλαβε τὴν πόλιν.

Τέλος τοῦ γ′ βιβλίου τῶν Πολυαίνου Στρατηγημάτων.

CAP. XVI.
PHILOCLES.

Pilocles Ptolemæi dux ad Caunum poſuit caſtra, et pecuniis annonæ præfectos corrupit, et cum illis ſocietatem iniit. Qui promulgarunt in urbe, ſe frumentum militibus daturos. Illi relictis murorum cuſtodiis, frumentum metiebantur. Interea Philocles nudatam præſidiis urbem adortus cepit.

Τάδε

Τάδε ἔνεστιν ἐν τῷ τετάρτῳ τῶν

ΠΟΛΥΑΙΝΟΥ

ΣΤΡΑΤΗΓΗΜΑΤΩΝ.

HAEC INSUNT IN QUARTO LIBRO

POLYAENI

STRATEGEMATUM.

Ἀργαῖος, στρατηγήμα	α	Argæus, Strateg.	1
Φίλιππος	κβ	Philippus	22
Ἀλέξανδρος	λβ	Alexander	32
Ἀντίπατρος	γ	Antipater	3
Παρμενίων	α	Parmenio	1
Ἀντίγονος	κα	Antigonus	21
Δημήτριος	ιβ	Demetrius	12
Εὐμένης	ε	Eumenes	5
Σέλευκος	ς	Seleucus	6
Περδίκκας	β	Perdiccas	2
Κάσσανδρος	δ	Caſſander	4
Λυσίμαχος	γ	Lyſimachus	3
Κρατηρὸς	α	Craterus	1
Πολυσπέρχων	α	Polyſperchon	1
Ἀντίοχος Σελεύκου	α	Antiochus Seleuci	1
Ἀντίοχος Ἀντιόχου	α	Antiochus Antiochi	1
Ἀντίοχος Ἱέραξ	α	Antiochus Hierax	1
Φίλιππος Δημητρίου	β	Philippus Demetrii	2
Πτολεμαῖος	α	Ptolemæus	1
Ἄτταλος	α	Attalus	1
Περσεύς	α	Perſeus	1

Τέλος τοῦ πίνακος.

ΠΟ

ΠΟΛΥΑΙΝΟΥ
ΣΤΡΑΤΗΓΗΜΑΤΩΝ.
βιβλίον τέταρτον.

ΠΡΟΟΙΜΙΟΝ.

Καὶ τόδε ὑμῖν τέταρτον βιβλίον, ἱερώτατοι βασιλεῖς, Ἀντωνῖνε καὶ Οὐῆρε, προσφέρω τῶν Στρατηγημάτων· τοῦτο μὲν δὴ καὶ ἥδιον τῶν ἄλλων συγγράψας, ἐν ᾧ καταμάθοιτε ἂν τὰς ἀρετὰς τῶν ὑμετέρων προγόνων, οἳ τῆς Μακεδονίας ἐβασίλευσαν.

Τέλος τοῦ προοιμίου.

ΚΕΦ. Α.
ΑΡΓΑΙΟΣ.

Ἀργαῖος βασιλεὺς Μακεδόνων, Ταυλαντίων Γάλαυρος. Ταυλάντιοι στρατεύουσιν ἐπὶ Μακεδόνας. Ἀργαῖος, ἦν γὰρ αὐτῷ χεὶρ ὀλίγη, κελεύει τὰς παρθένους τῶν Μακεδόνων, ἐπα-

POLYAENI
STRATEGEMATUM
LIBER QUARTUS.

PROOEMIUM.

Etiam hunc librum Strategematum, ſanctiſſimi Imperatores Antonine et Vere, vobis dedico: eumque majori cum voluptate, quam alios conſcripſi, veſtrorum quod in eo majorum virtutes conſpiceretis, qui Macedoniæ imperium tenuerunt.

CAP. I.
ARGAEUS.

Argæus rex Macedonum, Taulantinorum Galaurus. Taulantii contra Macedones exercitum ducunt. Argæus (erat enim ei manus perexigua) jubet virgines Macedonum

ἐπειδὰν οἱ πολέμιοι προσάγωσι τὴν φάλαγγα, αὐτὰς ἐκ τοῦ ὄρους τῆς Ἐρεβοίας ἐπιφανῆναι· οἱ μὲν δὴ προσῆγον· αἱ δὲ ἐπεφάνησαν, καὶ κατῄεσαν ἀπὸ τοῦ ὄρους, παρθένοι πολλαὶ θύρσους ἀντὶ δοράτων πάλλουσαι, καὶ στεφάνοις τὰ πρόσωπα σκιάζουσαι. Γάλαυρος ἐξεπλάγη, ἄνδρας εἶναι τὰς παρθένους ἀπὸ μακροῦ νομίζων. καὶ τὸ ἀνακλητικὸν ὑπεσήμαινεν. Ταυλάντιοι δὲ ἔφευγον, τά τε ὅπλα ἀποβαλόντες, καὶ τὰ σκευοφόρα καταλιπόντες· Ἀργαῖος ἀμαχεὶ κρατήσας, ἱερὸν ἱδρύεται Διονύσῳ Ψευδάνορι· καὶ τὰς παρθένους, ἃς πάλαι Κλώδωνας ἔκληζον οἱ Μακεδόνες, αὐτὸς κλήζειν ἔταξε, διὰ τὴν μίμησιν τῶν ἀνδρῶν, Μιμαλλόνας.

ΚΕΦ. Β.

ΦΙΛΙΠΠΟΣ.

Φίλιππος ἐπὶ στρατοπέδου [1] δόκιμον Ταραντῖνον λουτρῷ θερμῷ χρησάμενον, τὴν ἡγεμονίαν ἀφείλετο· φήσας, ἀγνοεῖν μοι δοκεῖς τὰ Μακεδόνων· παρ' οἷς οὐδὲ γυνὴ τεκοῦσα θερμῷ λοῦται.

β' Φιλιπ-

1 Δόκιμον nomen proprium putat eſſe *Caſaub.*

num, cum hoſtes agmen ſuum adducerent, ipſas e monte Erebœæ ſeſe oſtendere. Appropinquantibus igitur hoſtibus, apparebant, et e montibus deſcendebant magno numero virgines, thyrſoſque pro haſtis vibrabant, et ſertis faciem obumbrabant. Galaurus perterrebatur, viros eſſe virgines e longinquo exiſtimans, et receptui ſignum dabat. Taulantii abjectis armis, impedimentiſque relictis, terga verterunt. Argæus ſine prælio victoriam adeptus, templum ædificat Baccho Pſeudanori, quaſi dicas virili ſpecie decipienti: atque virgines, quæ antea *κλώδωνας* Macedones appellabant, ipſe propter virorum imitationem, *μιμαλλόνες* dici, decreto juſſit.

CAP. II.

PHILIPPUS.

Philippus in exercitu magnæ exiſtimationis quendam Tarentinum, quod calidis balneis fuiſſet uſus, imperatorio munere ac dignitate privavit, inquiens: Neſcire mihi videris Macedonum conſuetudinem ac mores, apud quos ne mulierem quidem puerperam aqua calida lavari videas.

2 Phi-

ΠΟΛΥΑΙΝΟΥ
ΣΤΡΑΤΗΓΗΜΑΤΩΝ.
βιβλίον τέταρτον.

ΠΡΟΟΙΜΙΟΝ.

Καὶ τόδε ὑμῖν τέταρτον βιβλίον, ἱερώτατοι βασιλεῖς, Ἀντωνῖνε καὶ Οὐῆρε, προσφέρω τῶν Στρατηγημάτων· τοῦτο μὲν δὴ καὶ ἥδιον τῶν ἄλλων συγγράψας, ἐν ᾧ καταμάθοιτε ἂν τὰς ἀρετὰς τῶν ὑμετέρων προγόνων, οἳ τῆς Μακεδονίας ἐβασίλευσαν.

Τέλος τοῦ προοιμίου.

ΚΕΦ. Α.
ΑΡΓΑΙΟΣ.

Ἀργαῖος βασιλεὺς Μακεδόνων, Ταυλαντίων Γάλαυρος. Ταυλάντιοι στρατεύουσιν ἐπὶ Μακεδόνας. Ἀργαῖος, ἦν γὰρ αὐτῷ χεὶρ ὀλίγη, κελεύει τὰς παρθένους τῶν Μακεδόνων, ἐπι-

POLYAENI
STRATEGEMATUM
LIBER QUARTUS.

PROOEMIUM.

Etiam hunc librum Strategematum, ſanctiſſimi Imperatores Antonine et Vere, vobis dedico: eumque majori cum voluptate, quam alios conſcripſi, veſtrorum quod in eo majorum virtutes conſpiceretis, qui Macedoniæ imperium tenuerunt.

CAP. I.
ARGAEUS.

Argæus rex Macedonum, Taulantinorum Galaurus. Taulantii contra Macedones exercitum ducunt. Argæus (erat enim ei manus perexigua) jubet virgines Macedonum

ἐπειδὰν οἱ πολέμιοι προσάγωσι τὴν φάλαγγα, αὐτὰς ἐκ τοῦ ὄρους τῆς Ἐρεβοίας ἐπιφανῆναι· οἱ μὲν δὴ προσῆγον· αἱ δὲ ἐπεφάνησαν, καὶ κατήεσαν ἀπὸ τοῦ ὄρους, παρθένοι πολλαὶ θύρσους ἀντὶ δοράτων πάλλουσαι, καὶ στεφάνοις τὰ πρόσωπα σκιάζουσαι. Γάλαυρος ἐξεπλάγη, ἄνδρας εἶναι τὰς παρθένους ἀπὸ μακροῦ νομίζων. καὶ τὸ ἀνακλητικὸν ὑπεσήμαινεν. Ταυλάντιοι δὲ ἔφευγον, τά τε ὅπλα ἀποβαλόντες, καὶ τὰ σκευοφόρα καταλιπόντες· Ἀργαῖος ἀμαχεὶ κρατήσας, ἱερὸν ἱδρύσατο Διονύσῳ Ψευδάνορι· καὶ τὰς παρθένους, ἃς πάλαι Κλώδωνας ἐκλῆζον οἱ Μακεδόνες, αὐτὸς κλῆζειν ἔταξε, διὰ τὴν μίμησιν τῶν ἀνδρῶν, Μιμαλλόνας.

ΚΕΦ. Β.

ΦΙΛΙΠΠΟΣ.

Φίλιππος ἐπὶ στρατοπέδου [1] δόκιμον Ταραντῖνον λουτρῷ θερμῷ χρησάμενον, τὴν ἡγεμονίαν ἀφείλετο· φήσας, ἀγνοεῖν μοι δοκεῖς τὰ Μακεδόνων· παρ' οἷς οὐδὲ γυνὴ τεκοῦσα θερμῷ λοῦται.

β′ Φιλιπ-

1 *Δόκιμον* nomen proprium putat eſſe *Caſaub.*

num, cum hoſtes agmen ſuum adducerent, ipſas e monte Ereboeæ ſeſe oſtendere. Appropinquantibus igitur hoſtibus, apparebant, et e montibus deſcendebant magno numero virgines, thyrſoſque pro haſtis vibrabant, et ſertis faciem obumbrabant. Galaurus perterrebatur, viros eſſe virgines e longinquo exiſtimans, et receptui ſignum dabat. Taulantii abjectis armis, impedimentiſque relictis, terga verterunt. Argæus ſine prælio victoriam adeptus, templum ædificat Baccho Pſeudanori, quaſi dicas virili ſpecie decipienti: atque virgines, quæ antea *κλώδωνας* Macedones appellabant, ipſe propter virorum imitationem, *μιμαλλόνας* dici, decreto juſſit.

CAP. II.

PHILIPPUS.

Philippus in exercitu magnæ exiſtimationis quendam Tarentinum, quod calidis balneis fuiſſet uſus, imperatorio munere ac dignitate privavit, inquiens: Neſcire mihi videris Macedonum conſuetudinem ac mores, apud quos ne mulierem quidem puerperam aqua calida lavari videas.

2 Phi-

β′ Φίλιππος ἐν Χαιρωνείᾳ παρατασσόμενος Ἀθηναίοις εἴξας ἐνέκλινεν· στρατηγὸς Ἀθηναίων Στρατοκλῆς ἐκβοήσας, οὐ χρὴ ἀποστῆναι προσκειμένους, ἕως ἂν τοὺς πολεμίους κατακλείσωμεν ἐς Μακεδονίαν· οὐκ ἀνῆκε διώκων. Φίλιππος εἰπὼν, οὐκ ἐπίστανται νικᾷν Ἀθηναῖοι, ἐπὶ πόδα ἀνεχώρει, συνεσπασμένην ἔχων τὴν φάλαγγα, καὶ ἐντὸς ὅπλων πεφυλαγμένος· μετ᾽ ὀλίγον ὑπερδεξίων τόπων λαβόμενος, παραθαῤῥύνας τὸ πλῆθος, ἀναστρέψας, εὐρώστως ἐμβάλλει τοῖς Ἀθηναίοις. καὶ λαμπρῶς ἀγωνισάμενος ἐνίκησεν.

γ′ Φίλιππος ἐπὶ Θηβαίους ἐστράτευεν. Ἀέροπος, καὶ Δαμάσιππος ἡγεμόνες ἀπὸ πανδοκείου μισθωσάμενοι ψάλτριαν, ἐς τὸ στρατόπεδον εἰσήγαγον. οὐ μὴν ἔλαθον Φίλιππον· ἀλλὰ καὶ μαθὼν ἀμφὼ τὼ ἡγεμόνε τῶν ὅρων τῆς αὐτοῦ βασιλείας ἐξεκήρυξεν.

δ′ Φίλιππος πρέσβεις ἔπεμψεν ἐς πολεμίων Θρακῶν πόλιν· οἱ μὲν ἐκκλησίαν συνήγαγον, καὶ τοὺς πρεσβευτὰς ἐκέλευον ἀγορεύειν· καὶ ἦν ἁπάντων σπουδὴ περὶ τὴν ἀκρόασιν ὧν ἀγγέλλουσι. Φίλιππος ἐν τῷ καιρῷ τούτῳ μὴ προσδοκῶσιν ἐπιθέμενος, τῆς πόλεως ἐκράτησεν.

ε′ Φίλιπ-

2 Philippus ad Chæroneam commiſſo cum Athenienſibus prælio cedens, quaſi ad fugam inclinabat. Dux Athenienſium Stratocles exclamans: Non prius ab urgendis hoſtibus deſiſtendum eſt, donec eos in Macedoniam concludamus, nihil a perſequendo remiſit. Philippus inquiens: Neſciunt Athenienſes vincere, contractam habens phalangem pedetentim receſſit, et armis intus munitus. Paulo poſt cum excelſiora loca occupaſſet, militibus confirmatis revertitur, et ſumma vi in Athenienſes impetum facit, atque collatis ſignis egregie ſuperavit.

3 Philippus cum Thebanis bellum gerebat: Aëropus et Damaſippus duces e publico diverſorio conductam mercede pſaltriam in caſtra duxerunt. Neque vero latere Philippum potuerunt: qui re cognita duces ambos e ſui regni finibus exterminavit.

4 Philippus in hoſtium Thracum urbem legatos miſit. Illi convocata concione, legatos verba facere juſſerunt, omniumque animi erant intenti ad audiendum quid adferrent. Interea Philippus nec opinantes adortus, urbem cepit.

5. Phi-

ε' Φίλιππος ᾔτησε παρὰ τῶν πολεμίων Ἰλλυριῶν ὑποσπόνδους νεκρούς· τῶν δὲ διδόντων, ἡνίκα οἱ ἔσχατοι ἐκομίζοντο, σημήνας ἀφυλάκτοις ἐπῆλθεν.

ς' Φίλιππος ἐν παλαίστρᾳ καὶ Μηνηγέτης ὁ παγκρατιαστὴς ἐκυλίοντο· οἱ στρατιῶται κύκλῳ περιστάντες κατεβόων τὴν μισθοφορὰν ἀπαιτοῦντες. οὐκ ἔχων ὁ Φίλιππος προσῆλθεν ἱδρῶτι ῥεόμενος, κεκονιμένος προσμειδιάσας αὐτοῖς, δίκαια, ἔφη, λέγετε, ὦ συστρατιῶται, ἀλλά τοι κἀγὼ διὰ τοῦτο νῦν ἐπὶ τὸν βάρβαρον ἀλείφομαι, ὅπως ὑμῖν πολλαπλασίως ἀποτίσαιμι τὰς χάριτας· ταῦτα εἰπών, καὶ ταῖν χεροῖν κροτῶν διὰ μέσων δραμὼν ἐς κολυμβήθραν ἀπέρριψεν. καὶ οἱ Μακεδόνες ἐγέλασαν. ὁ Φίλιππος μέχρι τοσούτου διαβαπτιζόμενος πρὸς τὸν παγκρατιαστὴν καὶ κατὰ τοῦ προσώπου ῥαινόμενος οὐκ [2] ἀνῆγεν, ἕστ' ἂν οἱ στρατιῶται καμόντες ἀπερρύησαν· τοῦ στρατηγήματος τούτου καὶ αὐτὸς Φίλιππος παρὰ τοὺς πότους ἐμέμνητο πολλάκις, ὡς ἀστείως διακρουσάμενος τοὺς ἀπαιτοῦντας.

ζ' Φίλιππος ἐν Χαιρωνείᾳ γινώσκων τοὺς μὲν Ἀθηναίους ὀξεῖς καὶ ἀγυμνάστους, τοὺς δὲ Μακεδόνας ἠσκηκότας, καὶ

2 Ἀνῆκεν. *Caſ.*

5 Philippus mortuos ab hoſtibus Illyriis ad ſepulturam poſtulavit. Quibus concedentibus, cum extremi apportarentur, dato ſigno ex improviſo eos obruit.

6 Philippus et Menegetes pancratiaſtes in palæſtra verſabantur. Milites interea circumſtantes, ingenti vociferatione ſtipendia flagitabant. Philippus cum non haberet, acceſſit, ſudore diffluens, pulvere reſperſus, atque arridens eis: Recte, inquit, dicitis, o commilitones. Verum ego quoque nunc ob eam cauſſam adverſus barbarum ungor, ut cumulate vobis gratiam rependam. His dictis, manibus plaudens, per medios eos cucurrit, atque ſeipſum in piſcinam abjecit, quam rem Macedones ridebant. Philippus uſque eo ſe immergere contra pancratiaſten, et faciem conſpergere non ante deſtitit, quam milites defeſſi diſcederent. Hujus ſtrategematis Philippus inter pocula perſæpe mentionem faciebat, quod jucundiſſimo ludibrio inſtantes repuliſſet,

7 Philippus ad Chæroneam cum ſciret Athenienſes eſſe celeres et inexercitatos, Macedones autem frequenti

καὶ γεγυμνασμένους, ἐπὶ πολὺ τὴν 3 παράταξιν ἐκτείνας, ταχέως παρέλυσε τοὺς Ἀθηναίους, καὶ εὐχειρώτους ἐποίησε.

η' Φίλιππος ἐπὶ τὴν Ἀμφισσέων ἐστράτευεν. Ἀθηναῖοι καὶ Θηβαῖοι τὰ στενὰ προκατελάβοντο. καὶ ἦν. ἡ δίοδος ἀμήχανος· ἐξαπατᾷ τοὺς πολεμίους Φίλιππος ἐπιστολὴν πεπλασμένην Ἀντιπάτρῳ πέμψας ἐς Μακεδονίαν, ὡς τὴν μὲν 4 στρατιὰν τὴν ἐπ' Ἀμφισσεῖς ἀνεβάλλοιτο, σπεύδοι δὲ ἐς Θρᾴκην, πεπυσμένος τοὺς ἐκεῖ νεωτερίζειν. 5 ὁ γραμματοφόρος διὰ τῶν στενῶν .... οἱ στρατηγοὶ Χάρης, καὶ Πρόξενος, αἱροῦσιν αὐτόν· καὶ τὴν ἐπιστολὴν ἀναγνόντες, πιστεύουσι τοῖς γεγραμμένοις· καὶ τὴν φυλακὴν τῶν στενῶν ἀπολείπουσι· Φίλιππος δὲ λαβόμενος ἠρεμίας ἀφυλάκτως διεπέμψατο, καὶ τοὺς στρατηγοὺς ἀναστρέψαντας ἐνίκησε, καὶ τῆς Ἀμφίσσης ἐκράτησεν.

θ' Φίλιππος οὐκ ἔλαττω δι' ὁμιλίας, ἢ διὰ μάχης κατειργάζετο. καὶ νὴ Δία μεῖζον ἐφρόνει, ἐφ' οἷς διὰ τῶν

3 *Cant.* τὴν τάξιν. 4 Scribe στρατείαν. *Caſ.* 5 Deeſt verbum. Lege πορεύεται ὁ γραμματοφ. vel ἄδευεν. *Idem.*

quenti uſu exercitatos, prælio valde tracto, continuo perturbavit Athenienſes, et ſuperatu faciles reddidit.

8 Philippus in Amphiſſenſium terram expeditionem parabat. Athenienſes et Thebani anguſtias præoccupaverant: neque quemadmodum tranſiri poſſet, ulla ratio poterat inveniri. Decipit hoſtes Philippus, fictis litteris ad Antipatrum miſſis in Macedoniam, ſe expeditionem, contra Amphiſſenſes ſuſceptam, in aliud tempus rejicere: atque jam in Thraciam feſtinare, quod ejus regionis incolas novis rebus ſtudere audiviſſet. Tabellarius per anguſtias iter facit: quem duces Chares et Proxenus capiunt, cumque epiſtolam legiſſent, fidem habentes ſcriptis, anguſtiarum cuſtodiam relinquunt. Philippus tranquillitatem nactus, ſine periculo tranſiit, et redeuntes duces ſuperavit, Amphiſſaque potitus eſt.

9 Philippus non minores res oratione quam prælio confecit: et hercle magis ſibi placebat in his, quæ verbis,

τῶν λόγων ἐκτᾶτο, ἢ διὰ τῶν ὅπλων· τῶν μὲν γὰρ κοινωνεῖν αὐτῷ τοὺς στρατιώτας· τῶν δὲ [6] αὐτῷ μόνῳ μετεῖναι.

ι΄ Φίλιππος ἤσκει τοὺς Μακεδόνας τρόπῳ κινδύνων, ἀναλαβόντας. τὰ ὅπλα τ΄ στάδια πολλάκις ὁδεύοντας φέροντας ὁμοῦ κράνη, πέλτας, κνημίδας, σαρίσσας, καὶ μετὰ τῶν ὅπλων ἐπισιτισμὸν, καὶ ὅσα σκευὴ καθημερινῆς διαίτης.

ια΄ Φίλιππος ἀφικόμενος εἰς Λάρισσαν, [7] ἵνα τὰς τῶν Ἀλευαδῶν ἐξοικίας καθέλῃ, νοσεῖν ὑπεκρίνατο. ὅπως εἰσιόντας αὐτοὺς ὡς ἐπισκεψομένους συλλάβοι. Βοΐσκος ἐξήγγειλε τοῖς Ἀλευάδαις τὴν ἐπίθεσιν· καὶ διὰ τοῦτο τέλος οὐκ ἔσχεν ἡ πρᾶξις.

ιβ΄ Φίλιππος ἠξίωσε Σαρνουσίοις ἐκκλησιάζουσι διαλεχθῆναι. οἱ μὲν συνίεσαν. τοῖς δὲ στρατιώταις παρηγγέλλετο ἱμάντας ὑπὸ μάλης κομίζειν· ἐπεὶ δὲ ὁ Φίλιππος ἀνέτεινε τὴν δεξιὰν ὡς δημηγορήσων, τοῦτ᾽ ἦν ἄρα σημεῖον τοῖς

[6] Scribe αὐτῷ μόνῳ. *Maſv.* [7] Legendum cum *Cant.* ἵνα τοὺς τῶν Ἀλευάδων ἐξ οἰκίας καθέλοι, niſi quod pro οἰκίας habeat οἰκείας. *Maſv.*

bis, quam quæ armis in ſuam poteſtatem redegiſſet. Horum enim partem ſibi vindicare milites exiſtimabat: at illa ad ſuam uniuſ laudem pertinere.

10 Philippus exercebat Macedones perinde ac ſi periculum immineret, ita ut aſſumtis armis trecenta ſæpe ſtadia conficerent, ferentes una galeas, ſcuta, tibialia, ſariſſas, et cum his armis etiam commeatum, atque omnia vaſa, quæ ad quotidianum victum requirebantur.

11 Philippus cum veniſſet Lariſſam, ut Aleuadarum ædificia demoliretur, morbum ſimulabat, ut eos ad viſendum accedentes comprehenderet. Bœſcus Aleuadis inſidias enuntiavit, atque ita res ad finem perduci non potuit.

12 Philippus petebat, ut ſibi in Sarnuſiorum concione verba facere liceret. Quibus congreſſis, imperaverat militibus, ut lora ſub axillis ferrent. Cum autem Philippus dextram extenderet quaſi concionaturus, id vide-

τοῖς στρατιώταις τοῦ δῆσαι πάντας τοὺς παρόντας· 8 ..ως Ἀρνούντιοι δεθέντες εἰς Μακεδονίαν ἤχθησαν πλείους μυρίων.

ιγ´ Φίλιππος διωκόμενος ὑπὸ Θρακῶν, παρήγγειλεν, ἐπειδὰν ὁ σαλπιγκτὴς φεύγειν σημήνῃ, τοῖς μὲν οὐραγοῦσι προβαλλομένοις μένειν, τοῖς δὲ ἄλλοις φεύγειν· ὅπως τοὺς μὲν πολεμίους ἐπιστήσειε διώκοντας, τοῖς δὲ οἰκείοις προλαβεῖν τῆς ὁδοῦ παράσχοι.

ιδ´ Φίλιππος τὰς παρόδους τῆς Βοιωτίας Βοιωτῶν φυλαττόντων· ἦν δὲ στενὸς ὄρους αὐχήν· οὐκ ἐπὶ τοῦτον ὥρμησεν· ἀλλὰ τήν τε χώραν πυρπολῶν, καὶ τὰς πόλεις πορθῶν φανερὸς ἦν. Βοιωτοὶ δὲ οὐχ ὑπομένοντες ὁρᾷν τὰς πόλεις πορθουμένας, κατέβησαν ἀπὸ τοῦ ὄρους. Φίλιππος ὑποστρέψας διὰ τοῦ ὄρους διεξεπαίσατο.

ιε´ Φίλιππος τοῖς Μεθωναίων τείχεσι κλίμακας προσήγαγε· καὶ δι' αὐτῶν πολλοὺς Μακεδόνας ἀνεβίβασε πολιορκητάς· ἐπεὶ δὲ ἀνέβησαν ἐπὶ τὰ τείχη, ἀφεῖλε τὰς κλίμακας, ὅπως ἐλπίδα τοῦ καταβῆναι μὴ ἔχοντες, προθυμότερον τῶν τειχῶν κρατήσειαν.

ις´ Φίλιπ-

8 Lege ſaltem οὕτω Σαρνούντιοι, quanquam et pro eo cum *Cant.* et *Interprete* ſcripſerim Σαρνούσιοι. *Maſv.*

licet ſignum militibus dederat, ut omnes præſentes vinculis conſtringerent. Hoc modo Sarnuſii vincti ducebantur in Macedoniam plus decem millibus.

13 Philippus, cum eum Thraces inſequerentur, præcepit, ut cum tubicen fugam ceciniſſet, ii qui poſtremum agmen tenebant, objectis armis manerent, reliqui fugerent, ut hoſtes a perſequendo remoraretur, atque ſuis viam præoccupandi facultatem daret.

14 Philippus cum tranſitus Bœotiæ præſidiis tenerentur (erant autem anguſtæ montis fauces) non ad hunc iter direxit, ſed in oculis omnium agros urbesque incendio et vaſtitate populabatur. Bœoti cum civitates ſuas vaſtari ob oculos videre non ſuſtinerent, a monte deſcenderunt. Ita Philippus reverſus per montem evaſit.

15 Philippus Methonenſium mœnibus ſcalas admovebat, et per eas magnum numerum Macedonum ad oppugnandum adducebat. Poſtquam vero aſcenderant in muros, ſcalas amovit, ut omni ſpe deſcenſionis interciſa, fortius atque animoſius muros obtinerent.

16 Phi-

ιϛʹ Φίλιππος ἐνέβαλεν εἰς τὴν [9] Ἀρβηλίων χώραν· ἡ δέ ἐστι φαραγγώδης, καὶ δασεῖα. καταδυομένων τῶν βαρβάρων ἐς τὰ ἄλση, καὶ τοὺς θάμνους, θηρευτικὰς κύνας πολλὰς ἐξήγαγεν· αἳ τοὺς πολεμίους ἐξιχνεύουσαι, τοὺς πλείστους αὐτῶν ἐθήρευον.

ιζʹ Φίλιππος Ἀμφίπολιν ἀπαιτούμενος ὑπὸ Ἀθηναίων, ὁμοῦ δὲ καὶ Ἰλλυριοῖς πολεμῶν, οὐκ ἀπέδωκεν, ἀλλ᾽ ἀφῆκεν ἐλευθέραν· Ἀθηναῖοι δὲ ἠγάπησαν τὸ ἐλευθέραν ἀφεῖσθαι. Φίλιππος ὁπότε τῶν Ἰλλυριῶν κρατήσας μείζω δύναμιν ἐκτήσατο, τηνικαῦτα πάλιν Ἀμφίπολιν κατέσχεν, Ἀθηναίων καταφρονήσας.

ιηʹ Φίλιππος ἐπολιόρκει [10] Φαλκιδόνα πόλιν [11] Θεσσαλονίκης· Φαλκιδόνιοι παρέδωκαν τὴν πόλιν· ὡς δὲ εἰσῆλθον οἱ Φιλίππειοι μισθοφόροι, περιπταίουσιν ἐνέδρᾳ· πολλοὶ γὰρ ἀπὸ τῶν στεγῶν καὶ τῶν πύργων ἔβαλλον, καὶ ἠκόντιζον. Φίλιππος πρὸς τὴν ἐνέδραν ὀξέως ἀντεστρατήγησεν· ἦν τὰ ὄπισθεν τῆς πόλεως ἤρεμα, τῶν πολιτῶν συνδρα-

9 *Maſv.* legi vult Ἀργιλίων. Ἄργιλος civitas eſt Thraciæ, ad fluvium Strymona. 10 *Cant.* ubique Χαλκιδόνα. 11 *Uterque Cod,* Θεσσαλονίκην. *Codd. Caſ.* Θεσσαλικήν.

16 Philippus in Arbeliorum regionem irruptionem faciebat. Ea multas habet fauces, atque denſa eſt arboribus. Occultantibus ſeſe barbaris inter nemora et frutices, canes venatorias permultas eduxit, quæ veſtigia hoſtium perſequentes, plurimos ex ipſis capiebant.

17 Philippus, cum Amphipolim ab eo repeterent Athenienſes, eodem tempore bellum gerens cum Illyriis, non reddidit, ſed liberam dimiſit. Athenienſes hoc ipſo contenti fuerunt, quod libera eſſet dimiſſa. Philippus ſuperatis Illyriis majores vires adeptus rurſus Amphipolim, contemtis Athenienſibus, occupavit.

18 Philippus oppugnabat Phalcedonem urbem Theſſalicam. Phalcedonii civitatem tradebant. Cum autem introirent Philippi mercenarii, in inſidias incidunt. Multi enim e tectis et turribus lapides et jacula mittebant. Philippus adverſus inſidias mox conſilium reperit. Poſterior urbis pars erat tranquilla: quippe cives omnes

δραμόντων ἐπὶ τὴν ἐνέδραν· κατὰ ταῦτα τοὺς Μακεδόνας προσβάλλειν ἐκέλευσε, καὶ προστιθέναι κλίμακας· ἀναβάντων δὲ ὑπὲρ τὸ τεῖχος, οἱ Φαλκιδόνιοι τοῦ βάλλειν τοὺς μισθοφόρους ἀποσχόμενοι, σπουδῇ ἔθεον ἀμυνούμενοι τοὺς τειχοκρατοῦντας· οἱ δὲ πρὶν ἥκειν εἰς χεῖρας, ἤδη τῆς πόλεως ἐκράτουν.

ιθ' Φίλιππος ποθῶν κτήσασθαι Θετταλίαν, αὐτὰς μὲν φανερῶς οὐκ ἐπολέμει Θετταλοῖς. Πελινναίων δὲ πολεμούντων Φαρσαλίοις, καὶ Φεραίων Λαρισσαίοις, τῶν δὲ ἄλλων ἐς τούτους διῃρημένων, ἀεὶ προσεβοήθει τοῖς καλοῦσι· νικῶν δὲ, οὐκ ἀναστάτους ἐποίει τοὺς ἡττωμένους· ὅπλα οὐ παρῃρεῖτο· τείχη οὐ κατέβαλε· τὰς στάσεις ἔτρεφε μᾶλλον ἢ ἔλυεν· τῶν ἀσθενεστέρων ἐπεμελεῖτο· τοὺς δυνατωτέρους καθῄρει. τοῖς δήμοις φίλος ἦν· τοὺς δημαγωγοὺς ἐθεράπευεν· τούτοις τοῖς στρατηγήμασι Φίλιππος ἐκράτησε Θετταλίας, οὐ τοῖς ὅπλοις.

κ' Φίλιππος πολιορκῶν χρόνῳ μακρῷ Κάρας ὀχυρὸν χωρίον, ἑλεῖν οὐχ οἷός τε ὢν, ἀποχωρῆσαι βουλόμενος ἀσφαλῶς, καὶ τὰ ὄργανα τῆς πολιορκίας περισώσασθαι, νύκτα

mnes ad inſidias concurrerant. In eo loco Macedones impreſſionem facere juſſit, et ſcalas apponere. Qui cum aſcendiſſent mœnia, Phalcedonii deſiſtentes a jaculandis mercenariis, incitato curſu ad eos repellendos ferebantur, qui muros tenebant. At illi, priusquam pugna commiſſa eſſet, urbe potiti ſunt.

19 Philippus cum Theſſaliam ſuæ ditionis facere cuperet, ipſe quidem nullum aperte bellum Theſſalis inferebat. Sed cum Pallenenſes cum Pharſaliis bellum gererent, et Pherenſes cum Lariſſæis, aliique alterutrorum partibus adhærerent, ſemper auxilio veniebat iis, qui ejus opem implorarent. Victoriam vero nactus, exciſionem aut vaſtitatem nullam victis inferebat, arma non eripiebat: muros non demoliri, factiones magis alere quam diſſolvere, imbecilliorum curam gerere, potentiores affligere, atque de medio tollere, populis amicus eſſe, tribunos plebis et oratores colere. His ſtrategematis Philippus Theſſaliam ſubigebat, non armis.

20 Philippus oppugnans longo tempore Caras munitiſſimum oppidum, cum nulla ratione capere poſſet, atque diſcedere ſine periculo, et inſtrumenta oppugnationis ſalva deportare cuperet: noctem

νύκτα σκοτεινὴν παραφυλάξας, ἐκέλευσε τοῖς μηχανοποιοῖς διαλύειν μὲν τὰ ὄργανα· μιμεῖσθαι δὲ κτύπον οἷος ἂν γένοιτο συμπηγνύντων. οἱ δὲ ἐν ταῖς Κάραις ἀκούσαντες τοῦ κτύπου, τὰς πύλας ἔνδοθεν ἀσφαλέστερον ἀπέκλειον, καὶ τοῖς μηχανήμασιν ἀντιμηχανήματα ἐυτρέπιζον. Φίλιππος δὲ περὶ ταῦτα ἀσχολουμένων διὰ νυκτὸς αὐτοῖς μηχανήμασιν ἀφανὴς ἦν.

κα´ Φίλιππος ἐπολιόρκει Βυζαντίους ἔχοντας οὐκ ὀλίγην χεῖρα συμμάχων. τούτους ἀπολιπεῖν τὴν συμμαχίαν ἐτεχνάσατο, πέμψας αὐτομόλους ἀγγέλλοντας, ὡς αἱ πόλεις αὐτῶν ὑπὸ Φιλίππου πολιορκοῖντο, πέμψαντος ἄλλας δυνάμεις ἐκεῖ καὶ οὐ μακρὰν ἁλώσεως αἱ πόλεις. οἱ μὲν ταῦτα ἤγγελον. Φίλιππος δὲ φανερὸς ἦν διαπέμπων μέρη τῆς στρατιᾶς ἄλλο ἀλλαχοῦ εἰς δόκησιν, οὐκ ἐπὶ πρᾶξιν· οἱ σύμμαχοι ταῦτα ὁρῶντες καὶ ἀκούοντες ἀπολιπόντες Βυζαντίους ἐπὶ τὰς αὐτῶν πατρίδας ἐστέλλοντο.

κβ´ Φίλιππος τὴν Ἀβδηριτῶν καὶ Μαρωνιτῶν καταλαβὼν ἐπανήει, καὶ ναῦς ἔχων πολλὰς, καὶ στρατιὰν πεζὴν ἄγων· Χάρης περὶ Νεάπολιν ἐναυλόχει, τριήρεις ἔχων εἴκοσι.

noctem caliginoſam elegit, juſſitque machinatores diſſolvere machinas: ipſo tamen ſonitu fabricantium morem referre. Carenſes audito ſonitu, portas intrinſecus firmius claudebant, et machinis contraria tormenta parabant. Cum illi in his occupati tenerentur, Philippus clam una cum ipſis tormentis per noctem diſceſſit.

21 Philippus Byzantios oppugnabat, non exiguam ſociorum manum poſſidentes. Eos ad defectionem ſollicitare machinabatur, miſſis transfugis, qui nuntiarent, ipſorum urbes oppugnari a Philippo, qui alias eo copias miſiſſet: neque procul abeſſe, quin urbes capiantur. Qui cum hos adferrent nuntios, Philippus palam exercitus partes alias in alia loca ad opinionem, non rem gerendam dimittebat. Socii cum id viderent et audirent, deſertis Byzantiis ad ſuam patriam ſinguli proficiſcebantur.

22 Philippus Abderitarum et Maronitarum occupata regione, revertebatur cum navium magno apparatu et pedeſtribus copiis. Chares circa Neapolim inſidias navales habebat, cum viginti trire-

κοσι. Φίλιππος ἐπιλεξάμενος τῶν νεῶν τέσσαρας ἄριστα πλεούσας ἐπλήρωσεν ἐρετῶν ἀκμῇ, καὶ τέχνῃ, καὶ ῥώμῃ ἀρίστων. καὶ παράγγελμα ἔδωκε προαναχθῆναι τοῦ στόλου παντός· καὶ παραπλεῖν τὴν Νεάπολιν, οὐ πολὺ τῆς γῆς ἀπέχοντας. οἱ μὲν παρέπλεον· ὁ δὲ Χάρης, ὡς ἀναρπασόμενος τὰς τέσσαρας ναῦς ἐπηνέχθη ταῖς εἴκοσιν· αἱ δὲ τέσσαρες ἐλαφραὶ καὶ ἀρίστους ἐρέτας ἔχουσαι, ταχέως εἰς τὸ πέλαγος μετεωρίζονται· τῶν δὲ ἀμφὶ τὸν Χάρητα συντεταγμένως διωκόντων, ἔλαθεν ὁ Φίλιππος, Νεάπολιν ἀσφαλῶς παραπλεύσας, Χάρης δὲ οὐδὲ τὰς τέσσαρας ναῦς κατέλαβεν.

ΚΕΦ. Γ.

ΑΛΕΞΑΝΔΡΟΣ.

Ἀλέξανδρος ἐστρατήγει πάντας ἀνθρώπους εἰς εὔνοιαν ὑπεραγαγέσθαι. καὶ δὴ δίεγνω πάντας ἀντὶ βροτῶν, καὶ ἀνδρῶν, καὶ φωτῶν, καὶ μερόπων, καὶ ἀνθρώπων, Ἀλεξάνδρους καλεῖν.

β' Ἀλέ-

triremibus. Philippus in delectas quatuor naves optime navigantes remiges impoſuit, ætatis vigore, arte, atque robore præſtantiſſimos, et mandatum iis dedit, ut ante claſſem univerſam ſolverent, atque Neapolim præterlegerent, neque longe a terra recederent: illi præternavigabant. Chares vero ad diripiendes quatuor naves, ſuas viginti deduxit. Quatuor vero leves, et remigibus optimis præditæ, celeriter in altum pelagus provehuntur. Dum autem Chares cum ſuis certo ordine inſequeretur, Philippus clam et tuto Napolin præternavigavit. Chares vero, ne quatuor illas quidem naves cepit.

CAP. III.

ALEXANDER.

Alexander. operam dabat, ut omnes homines in unam ſocietatem redigeret. Itaque decreverat omnes non mortales, aut viros, aut articulate loquentes, aut homines, ſed Alexandros appellare.

2 Ale-

β´ Ἀλέξανδρος πολεμῶν προσέταττε τοῖς στρατηγοῖς ξυρεῖν τὰ τῶν Μακεδόνων γένεια, ἵνα μὴ παρέχοιεν πρόχειρον λαβὴν τοῖς ἐναντίοις.

γ´ Ἀλέξανδρος πολιορκῶν Τύρον, βυλόμενος μέγα χῶμα τοῖς τείχεσι τῶν Τυρίων μεταβαλεῖν, πρῶτος αὐτὸς κόφινον λαβὼν χῦν πληρώσας προσήνεγκεν. οἱ Μακεδόνες ὡς εἶδον αὐτυργῦντα τὸν βασιλέα, παραχρῆμα τὰς χλαμύδας ἀποῤῥίψαντες, τὰ χωρία διὰ τάχυς ἤγειραν.

δ´ Ἀλέξανδρος Τύρῳ πολιορκίαν περιβαλὼν ἐπ᾽ Ἀραβίας ἐςέλλετο· Τύριοι τῆς ἀπυσίας αὐτῦ καταφρονήσαντες, τῶν τειχῶν προελθόντες, τοῖς Μακεδόσι προσπεσόντες ἐκράτυν πολλαχῆ. Παρμενίων Ἀλέξανδρον ἀνακαλεῖται. ὁ δὲ διὰ τάχυς ἐπανελθὼν, Μακεδόνων τὺς ἐγκλίνοντας ἰδὼν, τοῖς ἡττωμένοις ὐκ ἐβοήθησεν· ἐς δὲ τὴν πόλιν κενὴν ἀνδρῶν ὁρμήσας, κατὰ κράτος αἱρεῖ τὴν Τύρον· Τύριοι τὴν πόλιν ἁλῦσαν ἰδόντες, αὐτίκα σφᾶς αὐτὺς, καὶ τὰ ὅπλα τοῖς Μακεδόσι προήκαντο.

ε´ Ἀλέξανδρος Δαρείῳ παρατάσσεσθαι μέλλων, παράγγελμα τοῖς Μακεδόσιν ἔδωκεν· ἢν ἐγγὺς γένησθε τῶν Περσῶν, ἐς γόνυ κλίναντες ταῖν χεροῖν διατρίβετε τὴν γῆν. ἣν

2 Alexander bellum gerens imperabat ducibus, ut barbas Macedones raderent, ne facilem anſam hoſtibus ad capiendum præberent,

3 Alexander Tyrum oppugnans, cum magnum aggerem mœnibus Tyriorum adjungere cuperet, primus ipſe corbem arena refertum apportavit. Macedones cum regem ſuis manibus opus facere viderent, confeſtim abjectis chlamydibus, celeriter molem erexerunt.

4 Alexander Tyro obſidione cincta, in Arabiam proficiſcebatur. Tyrii ob ejus abſentiam elati, progreſſi extra mœnia, cumque Macedonibus manum conſerentes, perſæpe vincebant. Parmenion Alexandrum revocat. Qui ſubito reverſus, cum fugientes Macedones conſpiceret, non victis auxilio venit: ſed in urbem inanem viris impetum faciens, vi Tyrum capit. Tyrii captam urbem conſpicati, mox ſemetipſos, et arma Macedonibus tradiderunt.

5 Alexander cum Dario ſigna collaturus, præceptum dedit Macedonibus: Si in conſpectum veneritis Perſarum, procidentes in genua, terram manibus conterite, ubi

ἦν δὲ ἡ σάλπιγξ ὑποσημήνη. τότε δὴ ἀναστάντες θυμῷ καὶ ῥώμῃ τοῖς πολεμίοις ἐμβάλλετε. οἱ μὲν δὴ Μακεδόνες οὕτως ἐποίησαν· οἱ δὲ Πέρσαι σχῆμα προσκυνήσεως ἰδόντες, τὴν πρὸς τὸν πόλεμον ὁρμὴν ἐξέλυσαν· καὶ ταῖς γνώμαις ἐγένοντο μαλακώτεροι. Δαρεῖος δὲ ἐκυδριοῦτο, καὶ φαιδρὸς ἦν, ὡς [12] ἀμαχὶ κρατῶν· οἱ Μακεδόνες ὑπὸ τῷ συνθήματι τῆς σάλπιγγος ἀναπηδήσαντες, ῥυμηδὸν ἐμβάλλουσι τοῖς πολεμίοις, καὶ τὴν φάλαγγα ῥήξαντες, ἐς φυγὴν ἐτρέψαντο.

ϛʹ Ἀλέξανδρος ἐν Ἀρβήλοις τὴν ὑστάτην μάχην Δαρείῳ παρετάσσετο· μοῖρα Περσῶν οὐκ ὀλίγη περιελθόντες, τὰ σκευοφόρα τῶν Μακεδόνων διήρπαζον. ὁ Παρμενίων Ἀλεξάνδρῳ συνεβούλευε τοῖς σκευοφόροις βοηθεῖν. ὁ δὲ, οὐδὲν, ἔφη, παραλύειν τῆς φάλαγγος χρή· ἀλλὰ τοῖς πολεμίοις αὐτοῖς μάχεσθαι· ἡττηθέντες μὲν γὰρ, οὐκ ἔτι τῶν σκευοφόρων χρήζομεν· νικήσαντες δὲ καὶ τὰ ἡμέτερα καὶ τὰ τῶν πολεμίων ἕξομεν.

ζʹ Ἀλέξανδρος ἐκράτησε τῆς Ἀσίας· οἱ Μακεδόνες ἦσαν ἐπαχθεῖς αὐτῷ καὶ βαρεῖς· καὶ πάντα, φασὶν, αὐτοῖς ἐβιάζοντο παρ᾽ αὐτοῦ γίγνεσθαι. ὁ δὲ προσέταξεν ὁπλι-

12 Ἀμαχεί. *Caſ.*

ubi vero tuba ſignum dederit, tum conſurgentes, ſtrenue et fortiter impetum in hoſtes facite. Macedones ita fecerunt. Perſæ formam adorationis conſpicati, incitatum ad bellum impetum remiſerunt, animisque facti ſunt molliores. Darius gloriabatur ac gaudebat, ſe absque prælio victoriam obtinere. Macedones ad ſignum tubæ exilientes, vehementi impetu in hoſtes feruntur, et eos rupta phalange in fugam convertunt.

6 Alexander ad Arbela poſtremam pugnam cum Dario committebat. Non exiguus Perſarum numerus circumibant, et Macedonum impedimenta diripiebant. Parmenion hortabatur Alexandrum, ut impedimentis opem ferret. Qui, nequaquam, inquit, phalanx eſt diſſolvenda: ſed cum hoſtibus ipſis prælium faciendum: nam ſi victi fuerimus, non indigebimus amplius impedimentis: ſin evaſerimus victores, non ſolum noſtra, verum etiam hoſtium obtinebimus.

7 Cum Alexander Aſiam deviciſſet, Macedones ei moleſti erant, et graves, atque omnia per vim ab eo volebant extorquere. Qui mandavit,

ὁπλισαμένους ἰδίᾳ στῆναι τοὺς Μακεδόνας· εἰς δὲ τοὐναντίον τοὺς Πέρσας· ἐπεὶ δὲ διέστησαν, ἐπιλέξασθε, οἱ Μακεδόνες, ἔφη, ὃν βούλεσθε τῶν ἡγεμόνων. ἐγὼ δὲ ἡγήσομαι τῶν Περσῶν. ἢν μὲν νικήσητε, ποιήσω πάντα ὅσα ἂν κελεύητε, ἢν δὲ ἡττηθῆτε, μαθόντες ὅτι οὐδὲν αὐτοὶ δύνασθε, τὴν ἡσυχίαν ἄγετε. τὸ στρατήγημα ἐξέπληξε τοὺς Μακεδόνας· καὶ τοῦ λοιποῦ πρὸς τὸν Ἀλέξανδρον ἐγίνοντο μετριώτεροι.

η´ Ἀλέξανδρος ἐν τῇ πρώτῃ παρατάξει πρὸς τοὺς Πέρσας, ὁρῶν ἐνδιδόντας ἤδη τοὺς Μακεδόνας, περιππεύων ἀνεβόα· ἔτι ἅπαξ ἐπαγάγωμεν ἄνδρες Μακεδόνες, ἔτι γενναίως ἅπαξ. καὶ δὴ τῆς ἐμβολῆς εὐρώστου γενομένης, ἐς φυγὴν ἐτράποντο οἱ βάρβαροι. παρὰ τοσοῦτον ἡ νίκη γίνεται τότε.

θ´ Ἀλέξανδρος ἦν ἐν Ἰνδοῖς, καὶ τὸν Ὑδάσπην ποταμὸν διαβαίνειν ἔμελλε. Πῶρος Ἰνδῶν βασιλεὺς ἐπέκεινα τοῦ ποταμοῦ τὴν δύναμιν ἀντιπαρετάσσετο, καὶ διαβαίνειν ἀδύνατον ἦν. Ἀλέξανδρος ἄνω τοῦ ποταμοῦ ἀντιπαρεξῆγεν. καὶ ὁ Πῶρος ἄνω πάλιν· Ἀλέξανδρος τοῦ ποταμοῦ κάτω. καὶ τῷ Πώρῳ ὁμοίως κάτω. τοῦτο ἐγίνετο καὶ πολλάκις

καὶ

davit, ut armati Macedones ſeorſim a cæteris ſtarent: e regione vero Perſæ. Qui cum diſceſſiſſent: Deligite, inquit, Macedones ducem, quem volueritis: Ego vero Perſis præero. Si viceritis, faciam omnia quæ volueritis: ſin victi fueritis, experti vos nihil per vosmetipſos poſſe quidem, quietem agite. Hoc ſtrategema Macedones perterruit, atque in poſterum modeſtiores reddidit.

8 Alexander in prima conflictione adverſus Perſas videns jam cedere Macedones, obequitans clamabat: Adhuc ſemel accedamus, viri Macedones, adhuc ſemel ſtrenue. Cumque valida fieret impreſſio, barbari terga vertere cogebantur. Adeo levi momento tunc victoria conſtitit.

9 Alexander in India per Hydaſpen fluvium exercitum traducere volebat. Porus Indorum rex ad alteram ripam fluminis aciem conſtitutam habebat, atque prorſus omnem tranſitum intercluſerat. Alexander ad ſuperiorem partem fluminis contra manum educebat, atque etiam Porus. eodem Alexander ad inferiorem, et eodem modo faciebat Porus: idque

ſæpe,

καὶ ἐπὶ πολλὰς ἡμέρας. ὥς τε οἱ μὲν Ἰνδοὶ κατεγέλασαν τῆς δειλίας τῶν πολεμίων, καὶ συμπαραθέοντες ἐπαύσαντο· ὡς οὐκ ἂν ποτὲ ἀποβῆναι τολμησόντων, οἳ τοσάκις οὐκ ἐθάρρησαν· Ἀλέξανδρος δὲ ὀξυτάτῳ δρόμῳ, παρὰ τὰς ὄχθας ἀναδραμὼν, ἐπιβὰς πλοίων καὶ ζευγμάτων, καὶ διφθερῶν χόρτου πεπληρωμένων, διέβη τὸν ποταμὸν, ἐξαπατήσας Ἰνδοὺς τῷ τῆς διαβάσεως ἀνελπίστῳ.

ι′ Ἀλέξανδρος κατέστρεψε τὴν Ἰνδῶν· τῶν δὲ στρατιωτῶν ἐφελκομένων λάφυρα Περσικὰ, καὶ πλοῦτον ὑπέρογκον ἐπὶ τῶν ἁμαξῶν, καὶ τὴν πρὸς Ἰνδοὺς μάχην οὐκ ἀναγκαίαν ἡγουμένων, τοσαῦτα δὲ κεκτημένων· πρώτας ὑπέπρησε τὰς βασιλικὰς ἁμάξας, εἶτα τὰς τῶν ἄλλων. οἱ Μακεδόνες ἐλαφροὶ γενόμενοι, καὶ ἐν χρείᾳ τοῦ πάλιν κτήσασθαι καταστάντες, ἐπὶ τὸν πόλεμον ὥρμησαν προθυμότερον.

ια′ Ἀλέξανδρος Θρακῶν παρεσκευασμένων καταγνοὺς ἁμάξας πολλὰς ἐπαφιέναι τοῖς Μακεδόσι, παρήγγειλεν αὐτοῖς ἐκκλίνειν μὲν ὅσας δύναιντο· εἰ δὲ καταλαμβάνοιντο, καθιέντας αὑτοὺς πρὸς τὴν γῆν, ὑπερτιθέναι τὰς ἀσπίδας, ὅπως συμβαίνοι φερομέναις ταῖς ἁμάξαις ὑπερπηδᾷν. τοῦτό

τοι

ſæpe, et multis diebus: ita ut Indi timiditatem hoſtium riſui haberent, atque una diſcurrere hinc inde deſiſterent, eo quod nunquam tranſituros flumen exiſtimabant, qui toties auſi non fuiſſent. Alexander vero curſu celerrimo ad ripam aſcendens, conſcenſis navibus ac ratibus et utribus fœno plenis fluvium trajecit, deceptis Indis tranſitum deſperantibus.

10 Alexander Indiam in ſuam poteſtatem redegit. Militibus autem contrahentibus ſpolia Perſica, et immenſas divitias in curribus, pugnamque cum Indis non neceſſariam ducentibus, tot opes adeptis, primum regios currus, poſt alios etiam incendit et combuſſit. Macedones non tot rebus onuſti, et in neceſſitate alias divitias ſibi comparandi conſtituti, majori ſtudio ad bellum ferebantur.

11 Alexander cum Thraces ita paratos eſſe didiciſſet, ut magnam vim curruum in Macedones immiterent, præcepit eis, ut quos poſſent, devitarent: ſin interciperentur, dimiſſi ipſi in terram ſcutis ſe tegerent, ut ea currus incitati

τοι καὶ ἐν αὐτῇ τῇ πείρᾳ γινόμενον, ἤλεγξε τοῖς Θρᾳξὶν ἄχρηστον τὴν παρασκευὴν τῶν ἁμαξῶν

ιβ´ Ἀλέξανδρος ἔλαβε Θήβας τῆς δυνάμεως ἱκανὴν ἀποκρύψας, καὶ τάξας ἐπ᾽ αὐτῆς Ἀντίπατρον· τὴν δὲ φανερὰν [13] αὐτῆς ἦγεν ἐπὶ τοὺς ἐχυροὺς τῶν τόπων. Θηβαῖοι δὲ ἐπεξῆλθον, καὶ πρὸς τὴν ὁρωμένην δύναμιν οὐκ ἀγεννῶς ἀντιπαρετάσσοντο. Ἀντίπατρος ἐν τῷ καιρῷ τῆς μάχης τὴν κεκρυμμένην δύναμιν ἀναστήσας, κύκλῳ περιελθὼν ᾗ σαθρὸν καὶ ἀφύλακτον ἦν τὸ τεῖχος, ταύτῃ κατελάβετο τὴν πόλιν· καὶ σημεῖον ἦρεν. Ἀλέξανδρος ἰδὼν ἀνεβόησεν, ὡς ἤδη τὰς Θήβας ἔχοι· Θηβαῖοι δὲ εὐρώστως μαχόμενοι, ὡς εἶδον ἐπιστραφέντες ἑαλωκυῖαν τὴν πόλιν, ἔφευγον.

ιγ´ Ἀλέξανδρος ἡμιθωράκια τοῖς φεύγουσι στρατιώταις ἀντὶ θωράκων ἔδωκεν, ἵνα μένοντες μὲν, ἀσφάλειαν ἔχοιεν τῶν κατὰ πρόσωπον κρυπτομένων· φεύγοντες δὲ, τὰ ὄπισθεν μέρη φυλάσσειν μὴ δύναιντο. οὐ τοίνυν ἔφευγεν οὐδεὶς, γυμνωθῆναι δεδοικὼς, ἀλλὰ πάντοτε ἐνίκων μένοντες.

ιδ´ Ἀλέ

13 *Fl.* αὐτοῖς ἦγεν. Sed legendum cum interprete αὐτὸς ἦγεν. *Maſu.*

citati tranſilirent. Hoc experientia probatum, Thracibus inutilem curruum apparatum effecit.

12 Alexander Thebas cepit, maxima copiarum occultata parte, quibus Antipatrum ducem præfecit. Manifeſtam autem ipſe duxit ad loca munitiora. Thebani contra eam exibant, et adverſus eum exercitum, qui in conſpectu erat, non inſtrenue pugnabant. Antipater in medio prælio, partem abſtruſam educens et circumveniens, mœnia qua maxime erant infirma, et cuſtodum expertia, civitatem eam occupavit, ſignumque ſuſtulit. Alexander conſpicatus, exclamavit jam ſe Thebas obtinere. Thebani fortiter pugnam facientes, cum converſi aſpicerent urbem captam, in fugam ſeſe conjecerunt.

13 Alexander ſemithoraces ſuis militibus pro thoracibus dedit, ut ſi manſiſſent, ſecuritatem ac munitionem haberent, anterioribus partibus occultatis: ſin fugiſſent, averſa hoſtibus nuda paterent. Itaque nemo fugam capeſſere voluit, metuens ne tergum hoſtibus nudaret, ſed manentes omni tempore victoriam parabant.

14 Ale-

ιδ' Ἀλέξανδρος ὁπότε παρὰ τῶν μάντεων ἤκȣεν καλὰ γεγονέναι τὰ ἱερὰ, περιφέρειν ἐκέλευε τὰ ἱερεῖα, καὶ δεικνύειν τοῖς ϛρατιώταις· ἵνα μὴ μόνον ἀκȣόντες, ἀλλὰ καὶ ὁρῶντες, ἀγαθὰς ἔχοιεν περὶ τȣ̃ κινδύνȣ τὰς ἐλπίδας.

ιε' Ἀλέξανδρος διαβὰς ἐς τὴν Ἀσίαν, Μέμνονα ϛρατηγȣ̃ντα Πέρσαις ὕποπτον ἐποίησε· προστάξας τοῖς Μακεδόσιν ἐξιȣ̃σιν ἐπὶ τὰς προνομὰς ἀπέχεσθαι τῶν τȣ̃ Μέμνονος χωρίων.

ιϛ' Ἀλέξανδρος Γρανικὸν διαβαίνων, Πέρσας, ἐξ ὑπερδεξίων ἐπιόντας αὐτȣ̀ς, αὐτὸς ἐπὶ ὕδωρ τȣ̀ς Μακεδόνας ἀναγαγὼν, ὑπερεκέρασεν· ἡ δὲ φάλαγξ προσπεσȣ̃σα, τȣ̀ς πολεμίȣς ἐτρέψατο.

ιζ' Ἀλέξανδρος ἐν Ἀρβήλοις παρετάσσετο. Δαρεῖος τὸ μεταίχμιον τῆς συμβολῆς τριβόλοις κατέσπειρε· τȣ̃το δὴ συνιδὼν ὁ Μακεδὼν, τȣ̃ δεξιȣ̃ κέρως ἡγȣ́μενος, ἐπὶ δόρυ παρήγγειλεν ἀκολȣθεῖν· ὅπως περιέλθοι τὸν τόπον τὸν κατεσπαρμένον τοῖς τριβόλοις. ὁ δὲ Πέρσης ἀντιπαράγειν πειρώμενος, ἐπ' ἀσπίδα διέσπα [14] συνέχων τὴν ἵππον, τοῖς διασπάσμασιν ἐμβαλὼν Ἀλέξανδρος, ὁμοίως δὲ καὶ Παρ-

14 συνεχῶς conjeſt. *Caſ.* quæ etiam verſione expreſſa eſt.

14 Alexander cum ab aruſpicibus cognoviſſet, deos omnia fauſta portendere, circumferre hoſtias juſſit, et militibus demonſtrare, ut non ſolum ex auditu, verum etiam ex aſpectu ſpem bonam de periculo haberent.

15 Alexander cum Aſiam tranſiiſſet, Memnonem hoſtium ducem Perſis ſuſpectum fecit. Imperabat enim egredientibus ad prædandum Macedonibus, ut a Memnonis agris abſtinerent.

16 Alexander cum Granicum tranſiiſſet Perſis ex præcelſis et altiſſimis locis apparentibus, ipſe Macedonibus per fluvium ductis, eos circumvenit. Phalanx autem hoſtes aggreſſa, in fugam convertit.

17 Alexander ad Arbela aciem inſtruebat. Darius medium inter duas acies ſpatium, quo prælium committendum erat, muricibus conſtravit. Id conſpicatus Macedo, dextrum cornu ducens, obliquato in latus dextrum agmine ſequi ſe juſſit, ut circumiret locum muricibus ferreis conſtratum. Perſa contra ducere conatus, ſiniſtrorſum confeſtim laxavit equitatum. In laxatos ordines impreſſione facta, Alexander ſimul et Par-

Παρμενίων ἀπὸ τοῦ λαιοῦ, τὰς μὲν τριβόλους ἐξένευσαν, τοὺς δὲ πολεμίους φεύγειν ἠνάγκασαν.

ιή Ἀλέξανδρος Τίγριν διαβὰς, Περσῶν τὴν χώραν καταπιμπράντων, ἔπεμψε τοὺς κατὰ κράτος διώξοντας, ἵν᾽ ἀγαπητῶς αἱρούμενοι σώζεσθαι, τὴν χώραν ἀκέραιον καταλίποιεν.

ιθ́ Ἀλέξανδρος ἐν Ὑρκανίᾳ πυθόμενος μοχθηρὰ περὶ αὐτοῦ λογοποιεῖν τοὺς Μακεδόνας, καὶ τοὺς Ἕλληνας. συναγαγὼν τοὺς φίλους, ἔφη βούλεσθαι γράμματα πέμπειν οἴκαδε δηλώσοντα ὡς ἐπανήξοι μετὰ χρόνον ἐτῶν τριῶν· τὸ δὲ αὐτὸ καὶ τοὺς φίλους ἐκέλευε τοῖς οἰκείοις ἐπιστέλλειν· οἱ μὲν δὴ πάντες ἐνέγραψαν. ἐπεὶ δὲ οἱ γραμματοφόροι τρεῖς ἀπεῖχον σταθμοὺς, ἀνακαλεσάμενος αὐτοὺς, λύσας τὰς ἐπιστολὰς ἔμαθεν τί φρονοῦντες ἕκαστοι διετέλουν.

ḱ Ἀλέξανδρος χωρίῳ τῆς Ἰνδικῆς ἐχυρῷ προσεκάθητο. φοβηθέντες Ἰνδοὶ, συνέθεντο μεθ᾽ ὅπλων ἐξελθεῖν. οἱ μὲν ἐξελθόντες λόφον ἕτερον κατελάβοντο, καὶ φυλακὰς καθίσαντο· καὶ Ἀλέξανδρος ἐπῆγε τὴν δύναμιν, τῶν Ἰνδῶν ἐπιβοωμένων τὰς συνθήκας· ὁ δὲ περὶ ἐξόδου μὲν ὡμολόγει συντίθεσθαι. περὶ δὲ ἀφέσεως μηδὲν ὑπεσχῆσθαι.

κά Ἀλέ-

Parmenion a lævo cornu murices declinarunt, et hoſtes fugam capere coëgerunt.

18 Alexander Tigrim trajiciens, Perſis terram igni populantibus, miſit qui omni vi et contentione eos perſequerentur, ut ſuæ ſaluti conſulentes, regionem intactam relinquerent.

19 Alexander in Hyrcania cum audiſſet, malos de ſe jactari ſermones a Macedonibus et Græcis, convocatis amicis, dixit ſe domum litteras miſſurum eſſe, quibus nuntiaret, ſe reverſurum intra triennium. Idem etiam amicos ſuis familiaribus per litteras ſcribere juſſit: qui omnes ad unum ſcripſerunt. Cum vero tabellarii tres manſiones abeſſent, revocatis iis, literas reſignavit, et quam ſententiam et opinionem haberent ſinguli, cognovit.

20 Alexander caſtellum Indiæ valde munitum obſidebat. Indi metu compulſi transegerunt, ut ſibi cum armis liceret egredi. egreſſi, collem alium occupaverunt, cuſtodiasque conſtituerunt. Alexander exercitum adducens, Indis fœderis religionem implorantibus, de exitu duntaxat ſe fidem dediſſe inquit, de dimiſſione nihil a ſe promiſſum fuiſſe.

21 Ale-

καὶ Ἀλέξανδρος Πιττάκου, ὃς ἦν ἀδελφιδοῦς Πώρου, λοχῶντος κατὰ τὴν ὁδὸν, ἣ στενὸς ἦν αὐλὼν, μῆκος μὲν ἱκανῶς ἐκτεταμένος, πλάτος δὲ συνεσταλμένος ἄχρι τεσσάρων σταδίων· ἡ διέξοδος στενὴ παντάπασιν· ἐν τοιαύτῃ χωρίου φύσει τῆς ἵππου διφαλαγγίαν ποιήσας, [15] προσήει παραγγείλας ἐφ᾽ ἡνίαν, καὶ παρὰ τὴν κίνησιν ἕκαστον ἕπεσθαι τῷ ἡγουμένῳ· καὶ γενομένων μὲν τῶν ἐναντίων κατὰ τὸ δεξιὸν ἐπιστρέφειν ἐπὶ δόρυ, καὶ τοῦ λοιποῦ ἐξ ἡνίας παρεμβάλλειν. ὅταν δὲ τῆς δεξιᾶς πορείας τὴν οὐραγίαν ἴδωσιν, ἐπάγειν ἐπὶ τοὺς πολεμίους. ταῦτα παραγγείλας, ὀρθίαν αὐτὸς ἐποιεῖτο τὴν πορείαν· ὥς τε γνώμονι σχῆμα παραπλήσιον ἦν· ὁπότ᾽ οὖν οἱ τοῦ λαιοῦ μέρους τὴν δεξιὰν οὐραγίαν ἰδόντες ἀλαλάξαντες προσῆγον· ὁμοίως δὲ καὶ οἱ ἀπὸ τοῦ δεξιοῦ ἐφ᾽ ἡνίαν στρέφοντες ἐπῆγον τοῖς Ἰνδοῖς. οἱ δὲ συγκλεισθῆναι φοβηθέντες, ὥρμησαν ὁμοῦ πάντες ἐπὶ τὴν στενὴν ἔξοδον· ὥς τε οἱ μὲν ὑπὸ τῶν Μακεδόνων ἀνῃροῦντο, οἱ δὲ πλείους ὑπ᾽ ἀλλήλων καταπατούμενοι διεφθείροντο.

κβ´ Ἀλέ-

15 Lego προήει non προσήει. et mox, ſi recte eſt ſcriptum, παρὰ τὴν κίνησιν, tollerem καὶ. *Caſ.*

21 Alexander Pittaco, qui patruelis erat Pori, inſidias juxta viam tendente, quæ anguſtam convallem habebat, longitudine ſatis protenſam, latitudine vero ad quatuor ſtadia contractam, tranſitumque difficilem omnino et arctum. In hac loci natura, duplicem equitatus aciem inſtruxit, et adverſus hoſtes eduxit: dato præcepto, ut ad ſiniſtram in motu quilibet antecedentem ſequeretur: et ſi hoſtes ad dextrum latus veniſſent, converterent ſe ad dextram, ac deinceps qui a ſiniſtra ſunt, certo ordine ſe collocarent: cum vero dextræ turmæ extremum agmen vidiſſent, hoſtes aggrederentur. His mandatis, ipſe directe iter faciebat, ita ut gnomoni figura non eſſet diſſimilis. Cum igitur qui ſiniſtrum latus obtinebant, extremum a dextera parte agmen ſunt conſpicati, clamore ſublato impetum fecerunt, ſimiliterque a dextro cornu ad ſiniſtram flectentes Indos invaſerunt: illi metuentes ne concluderentur, omnes ſimul ad anguſtum exitum contenderunt. Itaque nonnulli Macedonum manibus interfici, plures vero a ſeſe mutuo conculcati, mortem occumbere.

22 Ale-

κβ' Ἀλέξανδρος ἐν τῇ πρὸς Πῶρον μάχῃ, τὸ μὲν ἱππικὸν ἐπὶ τοῦ δεξιοῦ κέρως ἔταξεν [16] ἐν τόπῳ· τὸ δὲ λοιπὸν ἐν ἐπικαμπίῳ· τὴν δὲ φάλαγγα, καὶ τοὺς ἐλέφαντας ἐπὶ τοῦ λαιοῦ κέρως ἔστησεν. καὶ ἀπὸ τούτων [17] ἐπικαμπίων ἔταξεν· Πῶρος δὲ πολλοὺς ἐλέφαντας ἀντιπαρατάξας, αὐτὸς μὲν κατὰ τὸ λαιὸν, ἐπὶ τοῦ ἡγουμένου ἐλέφαντος ἦν· τοὺς δὲ λοιποὺς ἐλέφαντας ἐκ διαστήματος πεντήκοντα ποδῶν μέχρι τοῦ δεξιοῦ κέρως ἔστησεν· τὰ δὲ μέσα τῶν θηρίων ἀνδράσι πεζοῖς ἀνεπλήρωσεν. ὥς τε ἦν τὸ σχῆμα τείχει μεγάλῳ παραπλήσιον· οἱ μὲν ἐλέφαντες ἐοικότες πύργοις· οἱ δὲ πεζοὶ μεσοπυργίοις. ἔνθα δὴ παραγγείλας Ἀλέξανδρος τοὺς πεζοὺς ἀντιπαράγειν τοῖς πολεμίοις· αὐτὸς εἰς τὴν ἵππον ἐπὶ δόρυ σφοδρότερον ἤλασεν, βουλόμενος ὑπερκεράσαι τοὺς ἐναντίους· τοῦτο φυλασσόμενος Πῶρος, ἀντιπαρήγγειλεν. τῷ δὲ μὴ φθάνειν τὰ θηρία διέσπα κατὰ πολλὰ τὴν τάξιν· τῶν Μακεδόνων τοῖς διασπάσμασιν ἐμπιπτόντων, ἠναγκάζετο κατὰ πρόσωπον ἐπιστρέφων ἀγωνίζεσθαι· ἐν τούτῳ φθάνουσιν οἱ περὶ τὸν Ἀλέξανδρον ἱππεῖς

16 Scriptum fortaſſe fuit ἐν μετώπῳ aut ἐν πλινθίῳ. *Caſ.*
17 ἐπικάμπιον mavult *Idem.*

22 Alexander in pugna adverſus Porum partem equitatus in dextro cornu ſeparatim conſtituit, ex reliquo aciem incurva facie inſtruxit. Phalangem autem et elephantos in cornu ſiniſtro collocavit, et poſt hos milites inflexos poſuit. Porus multis elephantis oppoſitis, ipſe a parte ſiniſtra in principe fuit elephanto. Reliquos autem elephantos ex intervallo quinquagenum pedum uſque ad cornu dextrum ordinavit. Spatium vero relictum inter belluas, pedeſtribus militibus replevit, ita ut ingentis cujusdam muri imaginem referrent, elephanti turribus ſimiles, pedites vero parietibus inter turres interjectis. Hic Alexander mandans, ut pedeſtres copiæ eos invaderent, ipſe in equitatum ad dextram vehementiorem impetum fecit, volens hoſtium cornu alterum circumvenire. Hoc ut caveret Porus, contra ſuis præceptum dedit. At cum beſtiæ equos celeritate antevertere non poſſent, multis in locis aciem diſturbabat. Macedonibus laxatas partes aggredientibus, cogebatur ſe convertere, et a fronte pugnam facere. Interim equites Alexandri

πεῖς, ἐκπεριελθόντες, καὶ κατὰ νώτου συνελάσαντες τοὺς Ἰνδοὺς, τελευτάτην νίκην ἀνείλοντο.

κγ´ 18 Ἔτι ὁ βασιλεὺς Ἀλέξανδρος Ἰνδικῆς Θεσσαλῶν τὰ Τέμπη φυλασσόντων, τῆς Ὄσσης τὰς ὀρθίους πέτρας ὑπορύξας, καὶ προσπλάσας βαθμίδας μικρὰς, διὰ τούτων αὐτός τε καὶ οἱ Μακεδόνες ἀκροβατοῦντες ἀνέπτησαν ἐπὶ τὰς κορυφὰς, καὶ τὴν Ὄσσαν ὑπερβάντες Θεσσαλίαν εἶχον· Θεσσαλοὶ δὲ τὰ στενὰ τῶν Τεμπῶν ἐφύλασσον. ἔτι νῦν τοῖς διοδεύουσι τὰ Τέμπη, πάρεστιν ὁρᾷν τὰς πέτρας τῆς Ὄσσης κλιμακηδὸν ᾠκοδομημένας· καλοῦσι δὲ αὐτὰς, τὴν Ἀλεξάνδρου Κλίμακα.

κδ´ Ἀλέξανδρος ἐν μὲν τοῖς Μακεδόσιν ἢ ἐν τοῖς Ἕλλησι δικάζων, μέτριον καὶ δημοτικὸν ἔχειν τὸ δικαστήριον ἐδοκίμαζεν· ἐν δὲ τοῖς βαρβάροις, λαμπρὸν καὶ στρατηγικὸν, ἐκπλήσσων τοὺς βαρβάρους, καὶ τῷ τοῦ δικαστηρίου σχήματι. ἐν γοῦν Βάκτροις, καὶ Ὑρκανίοις, καὶ Ἰνδοῖς δικάζων, εἶχε τὴν σκηνὴν, ὧδε 19 πεποικιλμένην· ἡ σκηνὴ τὸ μέγεθος ἦν κλινῶν ἑκατόν· χρύσεοι κίονες ὑπετίθεντο αὐτῇ

πεντή-

18 *Uterque Codex*: μεθ' ἣν βασιλεὺς Ἀλέξανδρος Ἰνδικῆς. ſunt, meo quidem judicio, hæc verba ultima præcedentis ſtrategematis, hoc autem inchoandum eſſe: Ἀλέξανδρος, Θεσσαλῶν κ. τ. λ. 19 *Fl.* πεποιημένην.

xandri circumvenientes a tergo in unum Indos cogunt, perfectiſſimamque victoriam conſequuntur.

23 Alexander rex Indiæ, cum Theſſali Tempe præſidiis impoſitis obtinerent, ſuffoſſis præcipitibus Oſſæ petris, et effectis exiguis gradibus, per eos ipſe et Macedones adſcendentes, in juga evaſerunt: atque Oſſam tranſgreſſi, Theſſaliam occupaverunt, Theſſalis Tempe anguſtias tenentibus: Etiamnum videre eſt iis, qui Tempe perambulant, petras Oſſæ in ſcalarum modum ædificatas, quam Scalam Alexandri appellant.

24 Alexander, ſi inter Macedones, aut etiam Græcos judicium exerceret, mediocre vulgareque tribunal probabat: ſin inter barbaros, ſplendidum et imperatorium, ut etiam tribunalis figura metum barbaris incuteret. Cum igitur inter Bactros et Hyrcanios atque Indos judicia inſtitueret, tabernaculum hoc fere modo ornatum habuit. Tabernaculum amplitudine tantum erat, ut centum men-

ſas

πεντήκοντα· ὑπερτείνοντες οὐρανίσκοι διάχρυσοι, ποικίλμασιν ἐκπεπονημένοι, τὸν ἄνω τόπον ἐσκέπαζον. Πέρσαι μὲν πρῶτοι πεντακόσιοι μηλοφόροι περὶ τὴν σκηνὴν ἐντὸς ἵσταντο, πορφυραῖς καὶ μηλίναις ἐσθῆσιν ἐξησκημένοι, μετὰ δὲ τοὺς μηλοφόρους, τοξόται τὸν ἴσον ἀριθμὸν ἔχοντες, ταῖς ἐσθῆσι διήλλαττον. οἱ μὲν γὰρ αὐτῶν φλόγινα, οἱ δὲ κυάνεα, οἱ δὲ ὑσγινοβαφῆ περιεβέβληντο· τούτων προΐσταντο Μακεδόνες ἀργυράσπιδες φ΄, τῶν μεγίστων ἀνδρῶν. κατὰ δὲ τὸ μέσον τῆς σκηνῆς, ὁ χρυσοῦς ἔκειτο θρόνος, ἐφ' οὗ προκαθήμενος ἐχρημάτιζε· οἱ σωματοφύλακες, [20] ἀφεστήκεσαν ἑκατέρωθεν τοῦ βασιλέως δικάζοντος ἐν κύκλῳ τῆς σκηνῆς· τὸ τῶν ἐλεφάντων ἄγημα διεσκεδασμένον ἐφεστήκει, καὶ Μακεδόνες χίλιοι στολὰς Μακεδονικὰς ἔχοντες. ἐπὶ τούτοις φ΄ Σούσιοι πορφυροσχήμονες· καὶ μετὰ τούτους ἐν κύκλῳ πάντων Πέρσαι μύριοι, [21] πάντων οἱ κάλλιστοι, καὶ μέγιστοι, κεκαλλωπισμένοι παντὶ κόσμῳ Περσικῷ, πάντες ἀκινάκας ἔχοντες. τοιόνδε ἦν Ἀλεξάνδρου τὸ δικαστήριον ἐν τοῖς βαρβάροις.

κε΄ Ἀλέ-

20 Scribe ἐφεστήκεσαν. Paullo poſt, illa verba, ἐν κύκλῳ τῆς σκηνῆς cum ſequentibus melius Interpretis codices conjungunt, poſita poſt vocem δικάζοντος diſtinctione. *Caſaub.* 21 κ.c. Περσῶν οἱ καλ.

ſas poſſet capere. Id fulciebatur aureis columnis quinquaginta. Cœli auro obducti variis ornamentis elaborati, ſupremum locum tegebant. Perſæ primo quinquaginta mala aurea ferentes circum tabernaculum intus ſtabant, purpureis, melinisque veſtibus induti. Poſt hos viros mala aurea ferentes, pari numero jaculatores, qui veſtibus variabant: Nam alii flammeis, alii cæruleis, alii coccineis amiciebantur. Ante hos ſtabant Macedones argentea ſcuta tenentes, quingenti immani magnitudine viri. In medio tabernaculo, aureus thronus poſitus erat, in quo reſidens jus dictabat. Utrumque latus regis judicantis ſatellites cingebant. In circuitu tabernaculi diſperſum hinc inde elephantorum agmen aſtabat, et Macedones mille, ſtolis Macedonicis induti. Poſt hos quingenti Suſii purpurati, poſt quos circumcirca ambibant undique decem Perſarum millia, pulcherrimi, maximique, ornati omni habitu Perſico, omnes acinacibus præditi. Ejusmodi fuit Alexandri curia inter barbaros.

κε′ Ἀλέξανδρος τὴν ἄνυδρον ὁδεύων, αὐτός τε ὑπὸ δίψους ἐπόνει, καὶ οἱ Μακεδόνες· οἱ κατάσκοποι τῆς χώρας, ἐν κοίλῃ πέτρᾳ σμικρὸν ὑδάτιον εὑρόντες, τοῦτο βάλλοντες ἐπὶ κράνος Ἀλεξάνδρῳ κομίζουσιν. ὁ δὲ τῇ στρατιᾷ δείξας ὡς εὐθυμεῖν χρὴ, φανέντος ὕδατος, αὐτὸς μὴ πιὼν ἐξέχεε τὸ κράνος πάντων ὁρώντων. οἱ Μακεδόνες ἀλαλάζοντες, ἐκέλευον αὐτὸν ἡγεῖσθαι τῆς ὁδοῦ πρὸς τὸ δίψος εὐρώστως ἀντέχοντες διὰ τὴν τοῦ βασιλέως ἐγκράτειαν.

κϛ′ Ἀλέξανδρος ἐπὶ ποταμὸν τὸν Τίγριν [22] φθάσας Δαρεῖον ἠπείγετο· πανικὸν ἀπὸ τῆς οὐραγίας διῇξε τὴν στρατείαν πᾶσαν· ὁ βασιλεὺς ἐκέλευσε τῷ σαλπιγκτῇ ὑποσημῆναι σημεῖον ἀφοβίας· τοῖς δὲ πρωτοστάταις τῶν πεζῶν θέσθαι τὰ ὅπλα πρὸ τῶν ποδῶν, καὶ τοῦτο φράζειν τοῖς μετ᾽ αὐτούς· καὶ δὴ πάντες ἐφεξῆς τοῦτο ποιήσαντες, ἔμαθον τὴν αἰτίαν τοῦ φόβου. τὸ μὲν πανικὸν ἐλέλυτο. οἱ στρατιῶται δὲ ἀράμενοι τὰ ὅπλα, προῄεσαν.

κζ′ Ἀλέξανδρος ἐν Ἀρβήλοις Δαρεῖον ἐνίκησεν· Φρασαόρτης Δαρείου συγγενὴς πολλὴν χεῖρα Περσικὴν ἔχων, ἐφύλαττε τὰς Σουσίδας πύλας· αἱ δὲ ἄρα εἰσὶν ὄρη στενὰ καὶ

22 *Fl.* φθάσαι, quomodo etiam legit *Interpres.*

25 Alexander per expertem aquæ viam iter faciens, maxime ſiti laborabat, itemque Macedones: ſpeculatores regionis cum in cavo ſaxo pauxillum aquæ reperiſſent, eam in galeam fuſam Alexandro attulerunt. Ille oſtendens exercitui, ut apparente aqua bonum animum haberent, nequaquam ipſe bibit, ſed in omnium conſpectu galeam effudit. Macedones clamore ſublato voluerunt, ut ipſe viam præcederet, fortiter ſiti reſiſtentes, ob regis continentiam.

26 Alexander ad fluvium Tigrim prævertere Darium feſtinabat: panicum ab extrema acie pervaſit univerſum exercitum. Rex mandavit tubicini, ut ſecuritatis ſignum promulgaret, et anteſignanis militibus, ut ante pedes arma projicerent, atque idem ſequentibus ſe dicerent. Sic omnes ex ordine hoc facientes, cauſſam terroris cognoverunt. Cum panicum ceſſaſſet, milites ſublatis armis proceſſerunt.

27 Alexander ad Arbela Darium ſuperavit. Phraſſaortes Darii cognatus cum magnis copiis Perſicis Suſidas portas cuſtodiebat. Hæ ſunt montes anguſti et excelſi. In hos

καὶ ὑψηλά. τούτοις προσβάλλοντας τοὺς Μακεδόνας εὐκόλως ἀπεκρούοντο οἱ βάρβαροι, σφενδόνας, βέλη, πέτρους ἀφίεντες· ὥς τε ἀνακαλέσας αὐτοὺς Ἀλέξανδρος ἀπὸ τριάκοντα σαδίων χάρακα ἐβάλετο. ἦν δὲ λόγιον Ἀπόλλωνος· ὡς ἄρα ξένος Λύκος ἡγεμὼν αὐτῷ τῆς ὁδοῦ τῆς κατὰ Περσῶν γένοιτο· πρόσεισι δὴ τῷ Ἀλεξάνδρῳ βουκόλος θηρείαν ἔχων σολὴν, ὁμολογῶν ὅτι Λύκιος ἦν, καὶ ὡς κύκλῳ τῶν ὀρῶν ἀτραπὸς εἴη τῷ συνηρεφεῖ τῆς ὕλης 23 ἀποκεκρυμμένη, αὐτῷ δὲ μόνῳ γιγνώσκοιτο διὰ τὴν τῶν βοῶν νομήν. ἀναμνησθεὶς Ἀλέξανδρος τοῦ μαντείου, πιστεύει τῷ βουκόλῳ. τὴν μὲν δὴ πᾶσαν στρατιὰν ἐκέλευσε ἐν στρατοπέδῳ μένειν· καὶ πολλὰ πυρὰ ἀνακάειν ἐφελκομένους τὴν τῶν Περσῶν ὄψιν· Φιλώτᾳ δὲ καὶ Ἡφαιστίωνι παράγγελμα δοὺς ἀπόῤῥητον, ὁπόταν κατὰ κορυφῆς τῶν ὀρῶν ἴδωσι τοὺς Μακεδόνας ἐκφανέντας, αὐτοὺς κάτωθεν προσβαλεῖν. αὐτὸς τοὺς ὑπασπιστὰς ἄγων, καὶ μίαν ὁπλιτῶν φάλαγγα, καὶ τὸ Σκυθικὸν τοξικὸν ὅσον ἦν, διὰ τῆς ἀτραποῦ τῆς λεπτῆς, ὀγδοήκοντα σάδια προελθὼν ηὐλίσατο, πυκαζόμενος ὕλῃ δασυτάτῃ. μέσης δὲ νυκτὸς περιελθὼν ἐπέστη τοῖς πολεμίοις

23 Mſſ. ἀποκεκρυμμένης.

hos impreſſionem facientibus Macedonibus, nullo negotio Barbari reſtiterunt, eosque repulerunt, fundarum, telorum, ſaxorumque jactibus. Itaque revocatis iis, a triginta ſtadiis Alexander vallum muniebat. Extabat oraculum Apollinis, peregrinum Lycum itineris ei contra Perſas ducem futurum. Accedit ad Alexandrum bubulcus, agreſti veſte amictus, inquiens, ſibi Lycio nomen eſſe, in circuitu montium occultam eſſe viam, quod ſylvæ continuis arboribus tegeretur, Sibi vero ſoli propter boum paſcua notam eſſe. Recordatus Alexander vaticinii, bubulco fidem habet. Itaque omnem exercitum ſe caſtris jubet continere, et frequentes ignes incendere, ut Perſarum oculos ad ſe verterent. Philotæ autem et Hephæſtioni mandatum dedit occultum, ut cum in jugis montium conſpexiſſent apparere Macedones, ipſi inferius impetum in hoſtes facerent. Ipſe cum ſatellitibus et uno armatorum agmine, Scythisque ſagittariis omnibus, per anguſtam viam progreſſus octoginta ſtadia caſtrametatus eſt in medio denſiſſimæ ſylvæ. Circa mediam vero noctem in circulum

μίοις καθεύδουσι. ἀρχομένης δὲ ἡμέρας αἱ σάλπιγγες ἐσήμαινον, ἀπὸ τῆς κορυφῆς τῶν ὀρῶν. Ἡφαιστίων δὲ καὶ Φιλώτας, τοὺς ἐκ τοῦ χάρακος Μακεδόνας προσῆγον· οἱ Πέρσαι μέσοι τῶν ἄνωθεν πολεμίων, καὶ τῶν κάτωθεν [24] ἀπολειφθέντες, οἱ μὲν ἐκτείνοντο· οἱ δὲ κατεκρημνίζοντο. οἱ δὲ ἐζωγρεύοντο.

κη' Ἀλέξανδρος ὥρᾳ θέρους ἦγε τὴν [25] στρατείαν παρὰ ποταμὸν, προσκειμένων πολεμίων. ὁρῶν δὲ τοὺς στρατιώτας διψῶντας, καὶ ἀφορῶντας εἰς τὸ ῥεῦμα τοῦ ποταμοῦ, ἵνα μὴ πίνοντες διαλύσειαν τὰς τάξεις, μηδὲ τὸ τῆς ὁδοιπορίας τάχος διακόψειαν, τὸν κήρυκα ἐκέλευεν εἰπεῖν, ἀπεχώμεθα τοῦ ποταμοῦ· θανατῶδες ἔχει τὸ ὕδωρ. οἱ μὲν φοβηθέντες ἀπέσχοντο, καὶ τὴν ὁδὸν ἐτάχυνον. Ἀλέξανδρος δὲ διανύσας, καὶ στρατοπεδεύσας, αὐτὸς μετὰ τῶν ἡγεμόνων ἀπὸ τοῦ ποταμοῦ φανερῶς ἔπιεν· γελάσαντες οἱ στρατιῶται, καὶ τὴν αἰτίαν τῆς ἀπάτης νοήσαντες, ἀδεῶς ὑδρεύσαντο ἐκ τοῦ ποταμοῦ πάντες.

κθ' Ἀλέξανδρος ἐνέβαλεν εἰς τὴν Σογδιανῶν χώραν· ἡ δέ ἐστι πᾶσα τραχεῖα καὶ δύσβατος· πέτρα δὲ κατὰ μέσην

24 ἀπολειφθέντες ex conject. legit *Caſ.* 25 στρατιάν. *Idem.*

culum confecto itinere non procul ab hoſtibus ſomno deditis conſtitit. Illuceſcente die tubæ concinuerunt a vertice montium. Hephæſtion et Philotas e caſtris Macedones eduxerunt. Perſæ in medio ſuperiorum atque inferiorum hoſtium comprehenſi, partim trucidari, partim a præcipitiis devolvi, partim vivi ab hoſtibus capi.

28 Alexander æſtivo tempore exercitum præter fluvium, incumbentibus hoſtibus, duxit. Conſpicatus autem milites ſitire, et in flumen oculos intendere, ne bibentes ordinem diſſolverent, neque profectionis celeritatem impedirent, præconem juſſit proclamare : Contineamus nos ab hoc flumine : nam aquam habet mortiferam. Illi metu commoti, abſtinebant, et iter accelerabant. Alexander perfecto itinere, et caſtris poſitis, ipſe cum ducibus aperte ex fluvio bibit. Ridentes milites, et cauſſam doli animadvertentes, ſine metu omnes e fluvio aquam hauſerunt.

29 Alexander in Sogdianorum regionem exercitum inferebat. Ea eſt univerſa aſpera et invia. In medio petra

μέσην ἀνατείνει ὀρνίθων τοῖς πτηνοῖς βάσιμος. ἐν κύκλῳ δὲ ὕλη δασεῖα καὶ πυκνὴ τοὺς [26] ἀβάτους καρποὺς ἀβατωτέρους εἰργάζετο. τὴν πέτραν [27] Ἀριομάζης μετὰ πολλῆς χειρὸς, καὶ καρτερᾶς Σογδιανῶν κατελάβετο, πηγὰς ὕδατος ἔχων ἔνδον, καὶ παρασκευὴν σιτίων ἄφθονον. Ἀλέξανδρος περιϊππασάμενος καὶ καταμαθὼν τὰς φύσεις τῆς πέτρας, ἐκέλευσε τριακοσίους λογάδας νεανίας, οἷς ἦν ἄσκησις καὶ τέχνη κρημνοβατῶν, ἀόπλους κατόπιν τῆς πέτρας διὰ πυκνῆς ὕλης ἀνέρπειν, καὶ λεπτοῖς κάλοις ἀνιμᾷν ἀλλήλους· ἐπειδὰν δὲ τῶν κορυφῶν κρατήσωσιν, ζώνας λευκὰς, ἃς εἶχον, λυσαμένους, κοντοῖς εὐμήκεσι περιάψαι, καὶ τούτους ὑπὲρ τὴν ὕλην ἀνατείνειν, ὥς τε ἀθρόας καὶ λαμπρὰς τὰς ζώνας ἐπιπλεῖστον τινασσομένας, καὶ τοῖς ἄνω βαρβάροις, καὶ τοῖς κάτω Μακεδόσιν ὁρᾶσθαι. οἱ μὲν δὴ κρημνοβάται σὺν πολλῷ πόνῳ [28] κατὰ κορυφὴν ἀνίσχοντος ἡλίου τὰς ζώνας ἀνέσεισαν· οἱ δὲ Μακεδόνες μέγα καὶ λαμπρὸν κάτωθεν ἠλάλαξαν· ὁ δὲ Ἀριομάζης ἐκπλα-

26 Quid ſi τὰς ἀβ. ἀτραπούς, vel ἀταρπούς? *Caſ.* Legendum τοὺς ἀβάτους κρημνούς. *Maſv.* 27 Curtio lib. VII. cap. 11. eſt *Arimazes. Maſv.* 28 Supple γενόμενοι: cum per magnos labores evaſiſſent in montium juga. *Caſ.*

tra ſurgit, et in altum tendit, ſolis volucrum alis pervia. In ambitu ſylva denſa, crebraque, invia præcipitia, magis inacceſſa reddebat. Petram Ariomazes cum magna validaque Sogdianorum manu occupavit, intusque ſcaturientes aquæ fontes habuit, et commeatus non mediocrem copiam. Alexander obequitans, et naturam petræ, opportunitatemque perſpiciens, juſſit trecentos delectos adoleſcentes, quorum opera atque ars in ſcandendis præcipitiis erat poſita, inermes poſt petram per ſylvam denſam aſcendere, tenuibusque ſe funibus attrahere. Poſtquam vero juga ſuperaſſent, albis cingulis quæ habebant ſolutis, contos bene longos implicarent, eosque ſupra ſylvam extenderent, ut multa et ſplendida cingula frequenter quaſſata à ſuperioribus barbaris, et ab inferioribus Macedonibus conſpicerentur. Præcipitioſum ſcanſores magno labore in jugis, oriente ſole cingula vibrabant. Macedones magnum, clarumque ex inferiore loco clamorem tollere. Ariomazes perterritus, quod omnem

ἐκπλαγεὶς, ὡς πάσης τῆς στρατείας ἀναβαινούσης, καὶ ὡς ἤδη κατὰ κορυφῆς ἑαλωκὼς, αὐτόν τε καὶ τὴν πέτραν παρέδωκεν Ἀλεξάνδρῳ, θειοτέραν αὐτοῦ τὴν δύναμιν καὶ τὴν 29 τέχνην ἡγούμενος.

λʹ Ἀλέξανδρος Καθαίους μοῖραν Ἰνδῶν, ἐξ ἀπονοίας ἀντιστᾶσαν ἡβηδὸν ἔκτεινε, καὶ πόλιν αὐτῶν 30 Σαλγαλὰ τὴν καρτερωτάτην κατέσκαψεν. 31 .... τοὺς Ἰνδοὺς φήμη πονηρὰ ὡς τοῦ Ἀλεξάνδρου φονικῶς καὶ βαρβαρικῶς πολεμοῦντος. ὁ δὲ μεταβάλλειν τὴν δόξαν βουλόμενος, ἄλλην πόλιν διὰ τῆς Ἰνδίας ἑλὼν, ὁμήρους λαβὼν 32 σπεισάμενος, ἐπὶ τρίτην πόλιν ἦλθεν εὐμεγέθη καὶ πολυάνθρωπον, τάξας πρὸ τῆς φάλαγγος τοὺς ὁμήρους, γέροντας, παῖδας, γυναῖκας· οἱ δὲ τοὺς ὁμοφύλους γνωρίσαντες, καὶ τὰ ἔργα τῆς Ἀλεξάνδρου φιλανθρωπίας ὁρῶντες, ἀνοίγουσί τε τὰς πύλας, καὶ μετὰ ἱκετηρίων αὐτὸν ἐδέξαντο· αὐτίκα ἡ φήμη διαδραμοῦσα ἔπεισεν Ἰνδοὺς ἑκόντας Ἀλέξανδρον δέχεσθαι.

λαʹ Ἀλέ-

29 Interpres legit τύχην, quod placet *Caſ.* 30 Σάγγαλα dicitur Arriano lib. V. Σάγαλα Ptolemæo lib. VII. Geogr. cap. I. *Maſv.* 31 Deeſt verbum, vel κατεῖχε, vel ἔθιξεν, vel ἦλθεν ὡς τοὺς Ἰνδοὺς. *Caſ.* Mſſ. ἵνα τοὺς Ἰνδούς: in margine vero *Fl.* additum εἶλε. *Maſv.* 32. κ. ς. ut et *Codd. Caſ.* σπεισάμενος.

omnem exercitum aſcendere, et jam ſe in ſummitate captum exiſtimaret, ſe et petram Alexandro tradidit, divinam ratus ejus eſſe potentiam atque fortunam.

30 Alexander Cathæos Indiæ populum ex deſperatione pugnantem, ad puberem uſque ætatem occidit, urbemque eorum Salgalatam munitiſſimam ſolo æquavit. Fama pervenit ad Indos mala, Alexandrum latronum ac barbarorum more belligerare. Qui mutare opinionem de ſe conceptam volens, aliam urbem Indiæ cepit, obſidesque accepit, unde cum ad tertiam urbem veniſſet maximam ac populoſam, obſides ante aciem collocavit ſenes, pueros, mulieres. Illi cum ſuæ gentis eſſe agnoviſſent, et Alexandri humanitatem ex effectis conſpexiſſent, aperuerunt portas, et ramos oleæ ſuppliciter porrigentes, eum receperunt. Ea fama ſtatim diſcurrens, Indis perſuaſit, ut ſua ſponte Alexandrum acciperent.

31 Ale-

λα' Ἀλέξανδρος τὴν Κοσσαίων χώραν ἑώρα τραχεῖάν τε καὶ ὄρη ὑψηλά, καὶ ἀπρόσιτα, καὶ πλῆθος ἐν τοῖς ὄρεσιν ἀνδρῶν δοκίμων. οὐ τοίνυν ἑλεῖν 33 ἐλπὶς ἦν· ἧκεν τὶς ἀγγέλλων, Ἡφαιςίων ἐν Βαβυλῶνι τέθνηκεν· ὁ δὲ κοινὸν πένθος ἐπαγγείλας ἐπὶ τὴν Ἡφαιςίωνος ταφὴν ἠπείγετο· οἱ σκοποὶ τῶν Κοσσαίων 34 ἀναζευγνύντες ὡς εἶδον αὐτοῖς ...... διεσπάρησαν. Ἀλέξανδρος νύκτωρ ἱππέας πέμψας τὴν ἐς τὰ ὄρη πάροδον ἀφύλακτον κατελάβετο· καὶ τῆς ὁδοιπορίας ἀποκλίνας, ἐπιφανεὶς τοῖς ἱππεῦσι σὺν αὐτοῖς τὴν Κοσσαίων χώραν ἐχειρώσατο. τοῦτο τὸ ἔργον τῆς ἐπὶ Ἡφαιςίωνι λύπης παρηγόρημα φασὶν Ἀλεξάνδρῳ γενέσθαι.

λβ' Ἀλέξανδρος ἐν τοῖς Περσῶν βασιλείοις, ἀνέγνω τὸ βασιλέως ἄριςον καὶ δεῖπνον, ἐν κίονι χαλκῷ γεγραμμένον· ὅπου καὶ οἱ ἄλλοι νόμοι, οὓς ἔγραψε Κῦρος. εἶχεν δὲ οὕτως. 35 πυραμηνῶν ἀλεύρων καθαρῶν τετρακοσίας ἀρτάβας· ἡ δὲ ἀρτάβη ἡ Μηδικὴ μέδιμνος ἐςὶν Ἀττικός· τῶν

33 Mſſ. delent ἦν. *Cant.* ἧκε pro ἧκεν. 34 Mſſ. αὐτοί. commode legi poſſe videtur, ἀναζευγνύντας ὡς εἶδον, αὐτοὶ διεσπάρησαν *Maſv.* 35 *Vulgata* πυρινῶν.

31 Alexander Coſſæorum terram videbat aſperam eſſe, monteſque præcelſos et inacceſſos habere, atque collocatam in montibus egregiorum hominum multitudinem. Nulla igitur capiendi ſpes offerri poterat. Venit quidam nuntius, Hephæſtionem Babylone diem ſuum obiiſſe: ille communem luctum imperans, ad Hephæſtionis ſepulturam properabat. Speculatores Coſſæorum cum noſſent, eos caſtra moviſſe, diſperſi ſunt. Alexander miſſis per noctem equitibus, tranſitum in montem nulla cuſtodia munitum occupavit: et ab itinere deflectens, cum ſe conjunxiſſet equitibus, una cum eis Coſſæorum regionem ſubegit. Hanc rem geſtam ajunt Alexandro pro conſolatione fuiſſe mortis Hephæſtionis.

32 Alexander in Perſarum regia prandium regis legebat, et cœnam in ærea columna inſcriptam. In qua cæteræ quoque leges inerant, quas Cyrus ſcripſerat. Hæc autem erant verba: De triticea farina pura quadringentæ artabæ. Artaba autem Medica modium Atticum

τῶν δὲ δευτέρων ἀλεύρων μετὰ τὰ καθαρὰ τριακόσιαι ἀρτάβαι. καὶ τῶν τρίτων τριακόσιαι ἄλλαι ἀρτάβαι. πυραμηνῶν μὲν ἀλεύρων τῶν πάντων ἀρτάβαι εἰς τὸ δεῖπνον χίλιαι. κριθαμηνῶν δὲ ἀλεύρων τῶν κάρτα καθαρῶν διακόσιαι ἀρτάβαι. τῶν δὲ δευτέρων τετρακόσιαι. [καὶ τῶν τρίτων τετρακόσιαι] τὸ σύμπαν δὲ τῶν κριθαμηνῶν ἀλεύρων χίλιαι ἀρτάβαι. χόνδρου δὲ ἐξ ὀλυρῶν πεποιημένου διακόσιαι ἀρτάβαι. παιπάλης ἐν ἀλφίτῳ πεποιημένης ὡς εἰς κυκεῶνας, δέκα ἀρτάβαι. καρδάμου κεκομμένου σεσησμένου λεπτοῦ, ... πτισσάνης δέκα ἀρτάβαι· σινήπιος σπέρματος, τρίτον μέρος ἀρτάβης· πρόβατα, οἱ ἄρσενες τετρακόσιοι· βόες ἑκατόν· ἵπποι τριάκοντα. χῆνες σιτευτοὶ τετρακόσιοι· τρυγόνες τριακόσιαι· ὀρνίθια παντοδαπὰ μικρὰ ἑξακόσια· ἄρνες τριακόσιοι· νεοσσοὶ χηνῶν ἑκατόν. δορκάδες τριάκοντα. γάλακτος αὐθημερινοῦ δέκα μάρεις· μάρις ἐστὶ δέκα χοεῖς Ἀττικοί. ὀξυγάλακτος ἡδυσμένου δέκα μάρεις. σκορόδων τάλαντον σταθμῷ· κρομμύων ἡμιτάλαντον σταθμῷ, τῶν δριμέων· φύλλου ἀρτάβη. ὀποῦ σιλφίου δύο μναῖ· κυμίνου ἀρτάβη· σιλφίου τάλαντον σταθμῷ. ἱεροῦ ἐκ μήλων γλυκέος τέταρτον μέρος ἀρτάβης· κυκεῶ-

νος

confecit. De ſecundaria poſtea farina poſt puram artabæ trecentæ: et de tertia, aliæ deinde trecentæ artabæ. De omni triticea farina artabæ ad cœnam mille. De hordeacea farina puriſſima ducentæ artabæ. De ſecunda poſt eam quadringentæ, atque itidem de tertia quadringentæ. Summa hordeaceæ farinæ, artabæ mille. Grani ex arinca facti artabæ ducentæ. Pollinis polentæ mixti ad miſcellaneam potionem, decem artabæ. Naſturtii inciſi, cribratique, tenuis, ptiſanæ decem artabæ. De ſinapis ſemine tertia pars unius artabæ. Oves maſculi quadringenti. Boves centum. Equi triginta. Anſeres ſaginati quadringenti. Turtures trecenti. Aviculæ omnis generis ſexcentæ: agni trecenti: pulli anſerini centum: damæ triginta. Lactis recentis decem marides. Maris autem decem valet congios Atticos. Oxygalæ edulcatæ decem marides. Alii talentum: ceparum ſemitalentum, de guſtu aſperiorum genere: phylli artaba: liquoris ſilphii duæ minæ: cumini artaba. Silphii talentum pondere. Sacri ex pomis muſti, quarta pars artabæ. Miſcellaneæ potionis

νος ἐκίδων ὀξίων ἀρτάβη, κηροῦ ἐκ κυμίνου τέταρτον μέρος ἀρτάβης. σταφίδος μελίνης τρία τάλαντα σταθμῷ· [36] κνηθου ἄνθους τρεῖς μνᾶς σταθμῷ· μελανθρύου τρίτον μέρος ἀρτάβης· [37] διαῤῥινὸς σπέρμα δύο [38] καπέτιες· σισαμίων καθαρῶν δέκα ἀρτάβαι. γλεύκους ἐξ οἴνου πέντε μάρεις· ῥαφανίδων [39] ἐψανῶν. γογγυλίδων ἐσκευασμένων ἐν ἅλμῃ πέντε μάρεις· καππάρεως ἐσκευασμένης ἐν ἅλμῃ, ἐξ ἧς τοὺς [40] ἀβυρτάκους ποιοῦσι πέντε μάρεις· ἁλῶν δέκα ἀρτάβαι. Αἰθιοπικοῦ κυμίνου ἓξ καπέτιες. ἡ δὲ καπέτις ἐστὶ χοῖνιξ Ἀττική. ἄνηθον αὖον, τριάκοντα μνᾶς ἕλκον. σελίνου σπέρματος τέσσαρες καπέτιες. ἐλαίου σισαμίνου δέκα μάρεις· ἐλαίου ἀπὸ γάλακτος πέντε μάρεις· ἐλαίου [41] ἀπὸ τῶν κλίνθων πέντε μάρεις· ἐλαίου ἀκανθίνου πέντε μάρεις· ἐλαίου ἀπὸ ἀμυγδάλων τῶν γλυκέων τρεῖς μάρεις· ἀμυγδάλων αὔων τῶν γλυκέων τρεῖς ἀρτάβαι. οἴνου πεντακόσιαι μάρεις. ὅταν δὲ ᾖ ἐν Βαβυλῶνι, ἢ ἐν Σούσοις,

36 Interpres legit ἀνήθου: ſed anethi paulo poſt fit mentio. Lego κνίκου ἄνθους ex Dioſcoride. *Caſ.* 37 ἄρεος ſuſp[illegible] legendum eſſe *Idem.* 38 Mſſ. καπέτιες. 39 *Fl.* αἰψανῶν. *Cant.* ἀνψαιῶν. 40 *Cant.* ἀβυρτάκας. 41 Mſſ. ἀπὸ τερχλίνθων. Legendum videtur ἀπὸ τερμίνθων. *Maſo.*

tionis ecidum auſterarum artaba. Favi ex cumino facti, quarta pars artabæ. Grana panici, tria talenta pondere. Anethi floris, tres minæ pondere. Melanthryon tertia pars artabæ. De diarrhinis ſemine, duæ capetes. Siſami puri decem artabæ. Muſti ex vino quinque marides. Rhaphanorum ſeu gongylidum ſale conditarum quinque marides. Capparis aqua ſalſa præparatæ, unde fiunt abyrtaci, quinque marides. Salis decem artabæ. Æthiopici cumini ſex capetes. Capetis autem eſt chœnix Attica. Anethum aridum, triginta minarum pondere. De apii ſemine quatuor capetes. Olei ſiſamini decem marides. Olei lactei quinque marides. Olei terminthini quinque marides, Olei acanthini quinque marides. Olei de amygdalis dulcioribus tres marides. Amygdalarum aridarum dulcium tres artabæ. Vini quingentæ marides (quod ſi Babylone

Σούσοις, τὸν μὲν ἡμίσεα ἐκ τῶν φοινίκων οἶνον παρέχει, τὸν δὲ ἡμίσεα ἀμπέλινον· ξύλων διακόσιαι ἅμαξαι· ὕλης ἑκατὸν ἅμαξαι· τοῦ ὕοντος μέλιτος ἑκατὸν παλάθαι τετράγωνοι ἀνὰ δέκα μνᾶς ἕλκουσαι. ὅταν ἐν τῇ Μηδικῇ ᾖ, ταῦτα δίδωσι. κνίκου σπέρματος τρεῖς ἀρτάβαι. κρόκου δύο μνᾶς ἕλκοντος σταθμῷ. ταῦτα μὲν 42 εἰς δεῖπνόν τε καὶ ἄριστον· ἀναλίσκεται δὲ δι' ἃ δίδωσι πυραμηνῶν ἀλεύρων τῶν καθαρῶν πεντακοσίας ἀρτάβας· κριθαμηνῶν δὲ καθαρῶν ἀλεύρων χιλίας ἀρτάβας. καὶ τῶν ἑτέρων χιλίας ἀρτάβας. σεμιδάλεως πεντακοσίας ἀρτάβας· χόνδρου τοῦ ἐκ τῶν ὀλυρῶν πεντακοσίας μάριας· κριθὰς τοῖς κτήνεσι δισμυρίας ἀρτάβας· ἀχύρων μυρίας ἁμάξας· κάρφους πεντακισχιλίας ἁμάξας· ἐλαίου σισαμίνου διακοσίας μάριας· ὄξους ἑκατὸν μάριας· καρδάμου κεκομμένου λεπτοῦ τριάκοντα ἀρτάβας. ταῦτα μὲν πάντα 43 διαδίδωσι ταῖς στρατιαῖς ὅσα εἴρηται. βασιλεὺς δὲ σὺν τῷ ἀρίστῳ καὶ τῷ δείπνῳ, καὶ οἷς ἀναλίσκει διαδίδωσι, τοσαῦτα ἀναλίσκει τῆς ἡμέρας. ταύτην τοῦ δείπνου τὴν παρασκευὴν οἱ μὲν ἄλλοι Μακεδόνες ἀναγνόντες ἐθαύμασαν ὡς εὐδαίμονα· Ἀλέ-

42 Mſſ. εἰς τόπον. 43 *Caſaub.* in margine poſuit διαδιδοὺς, ſcripſerim δι' ἃ δίδωσι. *Maſv.*

lone aut Suſis cœnam faciant, dimidium vini de palmis præbet, dimidium de vitibus) lignorum ducenti currus. Materiæ centum currus. Fluentis mellis centum palathæ quadrangulæ, quæ circiter decem minas capiebant. Cum in Media, hæc præſtat. Semen cnici ad tres artabas. Crocum duas minas exæquantem pondere. Hæc in cœnam et prandium. Conſumit autem largiendo triticeæ farinæ puræ quingentas artabas. Hordeaceæ farinæ puræ, mille artabas, aliarumque mille artabas. Similaginis quingentas artabas. Grani ex arinca quingentas marides. Hordeum pro jumentis vicies mille artabas. Palearum decies mille currus. Feſtucarum quinquies mille currus. Olei ſiſamini ducentas marides. Aceti centum marides. Naſturtii conciſi tenuis, artabas triginta. Hæc omnia diſpertit copiis, quæ ſunt enumerata. Rex autem cum prandio, cœnaque, et iis quæ inſumit, largiendo tantum impendit quotidie. Hunc cœnæ apparatum reliqui Macedones legentes, tanquam beatum admirabantur: Alexander

Ἀλέξανδρος δὲ κατεγέλασεν, ὡς κακοδαίμονος, καὶ μακρᾶς ἀσχολίας ἐχούσης· ὥς τε καὶ τὸν κίονα, ἐν ᾧ ταῦτα ἐγέγραπτο, καθελεῖν προσέταξεν. εἰπὼν πρὸς τοὺς φίλους· οὐδαμῶς συμφέρει τοῖς βασιλεῦσιν οὕτως ἀσώτως δειπνεῖν διδάσκεσθαι· ἀνάγκη γὰρ τῇ πολλῇ ἀσωτείᾳ καὶ τρυφῇ πολλὴν ἀνανδρίαν ἕπεσθαι· ὁρᾶτε δὲ καὶ τοὺς τηλικούτων δείπνων πιμπλαμένους, ἐν ταῖς μάχαις ταχέως ἡττωμένους.

ΚΕΦ. Δ.
ΑΝΤΙΠΑΤΡΟΣ.

Ἀντίπατρος ἐν τῇ Τετραχωριτῶν στρατεύων, ἔταξε τὸν χόρτον τῶν ἵππων ἐμπρῆσαι, τὸν περὶ τῇ σκηνῇ· οἱ μὲν ἐνέπρησαν· ὁ δὲ σαλπιγκτὴς ἐσήμαινεν. οἱ δὲ Μακεδόνες περὶ τὴν σκηνὴν ἠθροίζοντο, μετέωρα ἔχοντες τὰ δόρατα. ταῦτα ἰδόντες οἱ Τετραχωρῖται, καταπλαγέντες ἐξέλιπον τὸ χωρίον· ἀμαχεὶ δὲ Ἀντίπατρος ἐκράτησεν.

β' Ἀντίπατρος τὸν Σπερχειὸν διαβῆναι ἠβούλετο· Θετταλῶν δὲ ἱππέων κωλυόντων διαβαίνειν, ὁ μὲν τὴν δύναμιν ἀπήγαγεν εἰς τὴν 44 αὐτὴν στρατοπέδειαν, καὶ παρήγγει-

λε

44 Scribe αὐτοῦ. *Caſ.*

der vero tanquam infelicem et miſerum deridebat, atque multis negotiis impeditum. Itaque columnam etiam, in qua hæc ſcripta exſtabant, convellere juſſit, dicens ad amicos: Nequaquam utile eſſe regibus, tam prodige cœnare diſcere. Neceſſe enim eſſe, ut magnum luxum ac prodigalitatem, eximia mollities conſequatur. Videtis autem, eos, qui tantis cœnis impleri ſolent, in pugnis etiam celeriter ſuperari.

CAP. IV.
ANTIPATER

Antipater in Tetrachoritarum regione militans, juſſit in equorum ſtramen, quod circum tabernaculum erat, ignem injicere. Quo inflammato, tubicen ſignum dedit, ac Macedones circa tabernaculum coibant, haſtas elevatas tenentes. Quo viſo, Tetrachoritæ perterriti, locum reliquerunt; atque ita ſine prælio Antipater victoriam adeptus eſt.

2 Antipater Sperchium tranſire volebat: Equitibus autem Theſſalis prohibentibus trajicere, copias abduxit in caſtra, et Macedonibus impe-

pe-

λε τοῖς Μακεδόσι μένειν ἐν τοῖς ὅπλοις, καὶ τὰ σκευοφόρα μὴ λύειν. οἱ Θετταλοὶ δὲ ἐς τὴν Λαμίαν ἀφιππεύσαντες, ἠριστοποιοῦντο κατὰ τὰς οἰκίας· Ἀντίπατρος τὸν ποταμὸν φθάσας διεβίβασε τὴν δύναμιν, πρὶν ἐκβοηθῆσαι Θετταλοὺς, καὶ κατελάβετο τὴν Λαμίαν προσπεσών.

γʹ Ἀντίπατρος ἐν Θετταλίᾳ βουλόμενος φαντασίαν τοῖς πολεμίοις παρασχεῖν ἱππέων πολλῶν, συναγαγὼν ὄνους πολλοὺς καὶ ἡμιόνους, συνέταξεν εἰς ἴλας καὶ ἀνεβίβασεν ἄνδρας ὅπλισιν ἱππικὴν ἔχοντας· προσέταξε δὲ ἑκάστῃ ἴλῃ τὸν πρῶτον ζυγὸν ἀληθινῶν ἱππέων. τούτους ὁρῶντες οἱ πολέμιοι, καὶ τοὺς ἑπομένους ἱππεῖς εἶναι νομίσαντες, καταπλαγέντες ἔφυγον. τούτῳ τῷ στρατηγήματι καὶ Ἀγησίλαος ἐχρήσατο πρὸς Ἀέροπον ἐν Μακεδονίᾳ, καὶ Εὐμένης πρὸς Ἀντίγονον ἐν Ἀσίᾳ.

ΚΕΦ. Ε.

ΠΑΡΜΕΝΙΩΝ.

Παρμενίων μετὰ τὴν ἐν Ἰσσῷ μάχην ὑπὸ Ἀλεξάνδρου πεμφθεὶς εἰς Δαμασκὸν ἐπὶ τὴν ἀποσκευὴν τῶν 45 πεζῶν, συνῆψε

45 *Freinshemius* ad Curtii lib. III. c. 13. n. 9. legit Περσῶν. *Maſv.*

peravit, ut in armis permanerent, neque jumenta ſolverent. Theſſali Lamiam equitantes, prandium fecerunt in ſingulis ædibus. Antipater prævertens eos, fluvium copias traduxit, priusquam excurrerent ad repellendum Theſſali, et Lamiam irruptione facta cepit.

3 Antipater in Theſſalia volens hoſtibus plurimorum equitum opinionem præbere, contractos multos aſinos atque mulos, turmatim inſtruxit, et in eos viros impoſuit equeſtri armatura præditos: unicuique vero turmæ primum ordinem verorum equitum addidit. Eos hoſtes conſpicati, et ſequentes etiam equites eſſe ſuſpicati, metu perculſi, ſe fugæ mandaverunt. Hoc ſtrategemate Ageſilaus etiam uſus eſt adverſus Aëropum in Macedonia, et Eumenes adverſus Antigonum in Aſia.

CAP. V.

PARMENION.

Parmenion poſt factum ad Iſſum prælium, ab Alexandro miſſus Damaſcum, ad impedimenta peditum, conflixit

συνῆψε τοῖς σκευοφόροις· ἐπεὶ δὲ οἱ βάρβαροι φοβηθέντες ἔφυγον, ἐννοήσας Παρμενίων ὅτι μὴ δύναται διασῶσαι τοσαύτην ἀποσκευὴν τῶν κομιζόντων βαρβάρων φυγόντων, τρεῖς ἴλας ἱππέων πέμψας πρὸς αὐτοὺς, ἐκήρυξεν, ὃς ἂν μὴ ταῖς ἑαυτοῦ χερσὶ λάβηται τῶν ἰδίων ὑποζυγίων, φονευθήσεται. τοῦτο τὸ κήρυγμα οἱ βάρβαροι δείσαντες αὐτοὶ προσῆλθον τοῖς ὑποζυγίοις, καὶ τὴν ἀποσκευὴν διεκόμισαν.

ΚΕΦ. ϛ.

ΑΝΤΙΓΟΝΟΣ.

Ἀντίγονος ἐκράτησε Κορίνθου τοιῷδε στρατηγήματι· Ἀλέξανδρος ὁ κατέχων Ἀκροκόρινθον ἐτελεύτησεν· ἦν αὐτῷ γυνὴ Νίκαια ἡλικίας ἅλις ἔχουσα. ταύτην Ἀντίγονος τῷ υἱῷ Δημητρίῳ μνηστεύεται. ἡ δὲ ἀσμένη μειρακίῳ βασιλεῖ καὶ πρὸς γάμον αὑτὴν ἐπέδωκεν. ἦν θυσία μεγαλοπρεπής· πανήγυρις Ἑλληνική. Ἀμοιβεὺς κιθαρῳδεῖν ἔμελλεν· πολλὴ σπουδὴ περὶ τὴν θέαν ἦν· τὴν Νίκαιαν αὐτὴν ἐν φορείῳ βασιλικῶς κεκοσμημένῳ τρυφῶσαν καὶ θεραπτομέ-

flixit cum calonibus. Poſtquam vero barbari metuentes fugam capeſſerent, cogitans Parmenion ſe non poſſe conſervare tantam impedimentorum multitudinem, ſi calones barbari ſe fugæ traderent, miſſis ad eos tribus equitum turmis promulgavit: Quicunque non propriis manibus ſua jumenta apprehenderit, trucidabitur. Hanc promulgationem veriti barbari, ipſi ad jumenta acceſſerunt, et impedimenta tranſportarunt.

CAP. VI.

ANTIGONUS.

Antigonus Corinthum tali ſtrategemate cepit. Alexander arcem Corinthiorum tenens, e vita diſceſſerat. Huic fuerat uxor Nicæa, ætatis provectioris. Eam Antigonus filio ſuo Demetrio uxorem poſtulat: quæ ſe lubenter adoleſcenti regi in matrimonium tradidit. Sacrificium inſtituebat magnificum, et panegyrim Græcorum, atque Amœbeum, ut cithara luderet, conduxerat. Magno ſtudio ad ſpectandum homines confluebant. Nicæam ipſam lectica regium in modum ornata, luxuriantem ac

πομένην δορυφόροι παρέπεμπον· ἐς δὲ τὸ θέατρον ἐσιούσης, μακρὰ χαίρειν τῷ κιθαρῳδῷ, καὶ τῷ γάμῳ [46] φράσας Ἀντίγονος, ὥρμησεν ἐπὶ τὸν Ἀκροκόρινθον· καὶ τῶν φυλάκων περὶ τὴν πανήγυριν ἀσχολουμένων, καὶ θέαν κατειληφότων, ῥᾳδίως κατέσχε τὸ χωρίον, καὶ τῆς Κορίνθου πάσης ἐκράτησε, στρατηγήματι τῷ γάμῳ χρησάμενος.

β' Ἀντίγονος ταῖς πρεσβείαις χρηματίζων προσεδίδασκεν ἐκ τῶν ὑπομνημάτων, τίνες εἶεν ὡς αὐτὸν οἱ καὶ πάλαι πρεσβεύσαντες, καὶ μετὰ τίνων, καὶ ὑπὲρ οἵων πραγμάτων· ἐν δὲ ταῖς ἐντεύξεσιν ἀπομεμνημένος ἑκάστου, πρὸς τοὺς πρεσβεύοντας [47] ἐξεποίησεν, ὡς μνήμην ἔχων ὑπερβάλλουσαν.

γ' Ἀντίγονος Μέγαρα πολιορκῶν, τοὺς ἐλέφαντας ἐπῆγεν. οἱ Μεγαρεῖς σύας καταλείφοντες ὑγρᾷ πίσσῃ, καὶ ὑφάπτοντες ἠφίεσαν· αἱ δὲ ὑπὸ τοῦ πυρὸς καιόμεναι, κεκραγυῖαι, πολλῷ δρόμῳ εἰς τοὺς ἐλέφαντας ἐνέπιπτον· οἱ δὲ οἰστρῶντες καὶ ταρασσόμενοι, ἄλλος ἄλλῃ διέφευγον· Ἀντίγονος τοῦ λοιποῦ προσέταξε τοῖς Ἰνδοῖς τρέφειν ὗς μετὰ τῶν

46 *Vulgata* φθάσας. 47 *Cant.* ἐποίησεν. Forte ἐξεπόνησεν. *Maſv.*

ac ſuperbientem ſatellites deducebant: quæ cum in theatrum introiiſſet, Antigonus parum de citharœdo et nuptiis ſollicitus amplius, impetum in arcem Corinthiorum fecit, et cuſtodibus circa feſtum et ſpectaculum occupatis, nullo negotio locum munitum obtinuit, univerſaque Corintho potitus eſt, hoc uſus nuptiarum ſtrategemate.

2 Antigonus cum legationibus agens, ſimul ex monumentis docuit, quinam apud ſe antea legationem obiiſſent, et cum quibus: item de quibus rebus ac negotiis. In mutuis vero colloquiis mentionem ſingulorum faciens, apud legatos effecit, ut præſtantiſſima memoria præditus videretur.

3 Antigonus in oppugnatione Megararum elephantos adduxit. Megarenſes, ſues liquida pice ungebant, eaque incenſa dimittebant. Quæ cum urerentur igni, grunnientes incitato curſu in elephantos incidebant. Illi metu perciti et conturbati, alius alio fugam faciebant. Antigonus in poſterum Indis mandavit, ut ſues cum

τῶν ἐλεφάντων, ἵνα τὴν ὄψιν αὐτῶν, καὶ τὴν κραυγὴν τὰ θηρία φέρειν ἐθίζοιτο.

δ' Ἀντίγονος Ἀντίπατρον κινδυνεύοντα [48] κλιθῆναι ὑπὸ Μακεδόνων, ἔσωσε· τοῦ στρατοπέδου μέσος ἦν ποταμὸς ὀξὺς τὸ ῥεῦμα, γέφυραν ἔχων· ἔνθεν οἱ Μακεδόνες ἐσκήνουν· ἐκεῖθεν Ἀντίπατρος, ἔχων ἱππέας ὁμοφρονοῦντας. οἱ μὲν μετὰ πολλοῦ θορύβου καὶ μεγάλης βοῆς ᾔτουν χρήματα, [49] καλεῖν ἀπειλοῦντες εἰ μὴ λάβοιεν. Ἀντίπατρος δὲ μὴ ἔχων δοῦναι, ἦν ἐν ἀμηχανίᾳ. Ἀντίγονος ἔφη πρὸς αὐτόν, ἀλλ' ἔγωγέ σοι δώσω καιρὸν ἀφόδου· ταῦτα εἰπών, ἐν αὐτῇ τῇ πανοπλίᾳ, διαδραμὼν τὴν γέφυραν, μέσας τεμὼν τὰς φάλαγγας ἑκάστῳ προσήει ἐοικὼς δημηγορήσοντι· οἱ Μακεδόνες ὡς ἀνδρὶ τῶν ἐπιφανῶν ἐξεχώρουν καὶ παρῄεσαν, καὶ πάντες εἵποντο ἀκουσόμενοι ὧν λέγειν μέλλει. ἐπεὶ δὲ περιέστη τὸ πλῆθος, μακρὰ ἐδημηγόρησεν ἀπολογούμενος ὑπὲρ Ἀντιπάτρου, ἐπαγγελλόμενος, παρακαλῶν, διαλλάσσων· ἐν δὲ τῷ καιρῷ τῆς μακρᾶς δημηγορίας, Ἀντίπατρος

48 Scribendum λιθασθῆναι. *Maſv.* 49 βαλεῖν vel ἀνελεῖν. conjeẞ. *Caſ.*

cum elephantis alerent, ut ad earum adſpectum, clamoremque ferendum, aſſueſierent belluæ.

4 Antigonus Antipatrum, cum in periculum veniſſet, ut lapidibus obrueretur a Macedonibus, eripuit. Inter medium exercitum flumen erat rapidiſſimum, ponte conjunctum. Hinc ſua tabernacula Macedones habebant, inde Antipater cum quibusdam ſibi adhærentibus equitibus. Illi magno cum tumultu et vociferatione ſtipendia petebant, mortem minitantes, niſi accepiſſent. Antipater non habens quod numeraret, in ſummis difficultatibus verſabatur. Cui Antigonus: At, inquit, ego tibi diſcedendi facultatem præſtabo. His dictis, cum ipſa armatura per pontem cucurrit, et medias phalanges dividens, ſingulos adibat concionaturo ſimilis. Macedones viro illuſtri cedebant et deflectebant, omnesque ſequebantur audituri quid dicere vellet. Poſtquam vero circumſtitit multitudo, longam orationem habuit, defendens Antipatrum, promittendo, hortando, conciliando. Inter hanc prolixam concionem,

πατρὸς μετὰ τῶν ἱππέων τὴν γέφυραν [50] προελθὼν, ἐξέφυγεν τοὺς ἀπὸ τῶν στρατιωτῶν λίθους.

ε' Ἀντίγονος ὁ πρῶτος αὐτὸς ἰσχυροτέραν ἔχων χεῖρα τῷ πολέμῳ σχολαίτερον ἐχρῆτο. εἰ δὲ ἀσθενεστέραν, βιαίους κινδύνους τὰς ἐπιθέσεις ἐποιεῖτο, τοῦ ζῆν ἀγεννῶς, τὸ θνήσκειν ἀνδρείως αἱρετώτερον ἡγούμενος.

ς' Ἀντίγονος [51] οὗτος περὶ Καππαδοκίαν ἐχείμαζεν. ἀπέστησαν αὐτοῦ οἱ Μακεδόνες ὁπλῖται τρισχίλιοι. οὗτοι καταλαβόμενοι λόφους καρτεροὺς, Λυκαονίαν ἐπόρθουν, ἤδη δὲ καὶ Φρυγίαν· Ἀντίγονος κτεῖναι μὲν τοσούτους ὠμὸν ἡγεῖτο· ἐδεδοίκει δὲ καὶ μὴ προσθοῖντο τοῖς πολεμίοις, ὧν Ἀλκέτας ἦρχεν· τοιοῦτό τι οὖν ἐμηχανήσατο· καθῆκε πρὸς αὐτοὺς Λεωνίδαν τῶν ἰδίων ἡγεμόνων ἐπὶ κοινοπραγίᾳ τῆς ἀποστάσεως δή· οἱ δὲ ἄσμενοι τὸν ἄνδρα ἐδέξαντο, καὶ στρατηγὸν εἵλοντο· Λεωνίδας πρῶτον μὲν ἔπεισεν αὐτοὺς, προστίθεσθαι μηδενί· ὥς τε γε τοῦτο πρῶτον Ἀντιγόνῳ κατώρθωτο· ἔπειτα δὲ κατήγαγεν αὐτοὺς ἀπὸ τῶν λόφων ἐς χωρίον

50 παρελθών. *Caſ.* 51 Mſſ. ὅις. forte ὡς, poſito poſt ἐχείμαζεν commate. *Maſv.*

Antipater tranſiens cum equitibus pontem, militum lapides effugit.

5 Idem hic Antigonus primus, ſi fortiorem manum haberet, moderatius bellum adminiſtrabat: ſin imbecilliorem quam ut violentum periculum ſuſtinere poſſet, impreſſiones faciebat, viriliter obitam mortem, quam turpem vitam, magis expetendam arbitratus.

6 Idem hic Antigonus in Cappadocia hibernabat. Defecerunt ab eo Macedonum armatorum tria millia. Hi collibus munitioribus occupatis, Lycaoniam populabantur, atque jam etiam Phrygiam. Antigonus tot homines morte mulctare, crudele putabat. Metuebat autem, ne ſe cum hoſtibus, quorum Alcetas principatum tenebat, conjungerent. Itaque talem dolum machinatus eſt. Dimiſit ad eos Leonidam, unum de ſuis ducibus, qui ſe participem defectionis praeberet. Illi hominem libenter receperunt, eumque ducem creant. Leonidas primum iis perſuaſit, ne cum aliquo ſe conjungerent. Hoc igitur primum Antigono pro animi ſententia ſucceſſit. Poſtea deduxit eos a collibus in locum

χωρίον ἱππάσιμον, ἀφίππους ὄντας· ἐνταῦθα προσιππασάμενος Ἀντίγονος, Ὁλκίαν καὶ δύο τῆς ἀποστάσεως ἐξάρχους συνέλαβεν. οἱ μὲν ὑπὲρ σωτηρίας αὐτῶν ἱκέτευον. ὁ δὲ ἀφήσειν τούτους ὑπέσχετο, εἰ μετὰ ἡσυχίας εἰς Μακεδονίαν ἐπανέλθοιεν. ἐπὶ τούτοις ἐσπείσαντο, καὶ ἀνεχώρησαν. Ἀντίγονος Λεωνίδαν τῶν ἀνδρῶν ἡγήσασθαι [52] μέχρι Μακεδονίας .... ὡς ἀσφαλῶς αὐτοὺς εἰς τὴν οἰκείαν παραπέμψοντα.

ζʹ Ἀντίγονος Ἄτταλον, Ἀλκέταν, Δόκιμον, στρατηγοὺς Μακεδόνων οὐκ ἀδόξους [53] ἐν αὐλῷ Πισιδικῷ στρατοπεδεύοντας ἐδίωκε [54] τοῦ ζῆν· τῶν δὲ ἐλεφάντων κλαγξάντων καὶ φριξαμένων, ᾔσθοντο ὡς Ἀντίγονος προσάγοι· μόνῳ γὰρ τούτῳ παρασκευὴ τοιούτων θηρίων ἦν. Ἀλκέτας τὸ πελταστικὸν ἀναλαβὼν, τὴν διὰ τῶν ὀρῶν τραχεῖαν καὶ δύσβατον οὖσαν ἠπείγετο καταλαβέσθαι· Ἀντίγονος Ἀλκέταν μὲν οὐκ ἐδίωξεν· λοξώσας δὲ τὴν στρατιὰν ὑπὸ τὰς τῶν ὀρῶν λαγόνας, ἔσπευδεν ἐπὶ τὸ στρατόπεδον· κατέλαβε

52 *μέχρι Μακεδονίας ἐκέλευσε. Caſaub.* 53 Scribe ἐν αὐλῶνι. *Idem.* 54 ἐγγὺς ὢν ἤδη, vel ἤδη ἐγγίζων, vel λαθὼν, ut videtur legiſſe Interpres. conject. *Ejusd.*

cum equitibus idoneum, cum ipſi carerent equis. Hic adequitans Antigonus, Holciam atque duos auctores defectionis comprehendit. Illi pro ſalute impetranda, ſupplices illi ſe abjecerunt: qui promiſit, ſe eis diſcedendi facultatem permiſſurum, ſi quiete reverti in Macedoniam vellent. His conditionibus utebantur, ac domum regreſſi ſunt. Antigonus Leonidam eos ducere juſſit uſque in Macedoniam, ut eos ſecure domum deduceret.

7 Antigonus Attalum, Alcetam, et Docimum duces Macedonum, non parvæ exiſtimationis viros, in Piſidicis anguſtiis caſtrametantes, clam perſequebatur. Elephantis clangorem edentibus atque horrentibus, Antigonum adventare ſenſerunt. Solus enim hic ejusmodi belluarum apparatum circum ſe habebat. Alcetas aſſumtis ſecum ſcutatis operam dabat, ut aſperam, difficilemque per montana viam occuparet. Antigonus omittens Alcetam, obliquatam aciem ſub latera montium ſumma cum celeritate adverſus hoſtes ducebat, eosque de improviſo obruit, par-

βε δὲ τῶν πολεμίων τὰς μὲν ἄρτι ὁπλιζομένας, τὰς δὲ ἀόπλας, ταρασσομένας δὲ πάντας· ὥς τε φόνα μὲν ἀπεχόμενος, σωτηρίαν δὲ ὑποσχόμενος, χωρὶς μάχης ἐνίκησεν.

η' Ἀντίγονος νῆας ἔχων ἑκατὸν τριάκοντα, ὧν ἦν ναύαρχος Νικάνωρ· ἐναυμάχησε πρὸς τὸ Πολυσπέρχοντος ναυτικόν. ὃ Κλεῖτος ἐναυάρχει· Ἑλλήσποντος, ἔνθα ἡ μάχη· Νικάνωρ, τῶν αὐτᾶ ὑπ' ἀπειρίας πρὸς ἐναντίον κῦμα βιαζομένων, ἀπέβαλε ναῦς ἑβδομήκοντα. τῶν πολεμίων λαμπρῶς νικησάντων· παρῆν Ἀντίγονος ἑσπέρας, καὶ τὴν ἧτταν ἐκ ἔδεισεν, ἀλλὰ τὰς μὲν ἐπὶ τῶν λοιπῶν νεῶν ἑξήκοντα ἑτοίμας εἶναι πρὸς ναυμαχίαν, αὖθις νυκτὸς ἐκέλευσε. τῶν δὲ ὑπασπιςῶν τὰς ἀλκιμωτάτας ἐπιςήσας τοῖς σκάφεσι προσέταξεν ἀπειλεῖν ὡς ἀποκτενᾶσι τὰς μὴ χωρᾶντας ἐς μάχην· Βυζάντιον δὲ φίλην ἔχων, ἐγγὺς ἆσαν, ἐντεῦθεν ὑπηρεσίαν ναυτικὴν διὰ τάχας 55 ἐκέλευσε πελταςὰς καὶ ψιλὰς, καὶ τοξότας χιλίας 56 παρὰ τὰς ναῦς τῶν πολεμίων ὁρμάσας, ἀπὸ γῆς ἀκοντίζειν, καὶ τοξεύειν ἔταξεν. ταῦτα μὲν ἐν νυκτὶ μιᾷ διετέτακτο· ἀρχομέ-

55 ἐκάλεσε. conject. Caſ. 56 ὃς παρὰ τ. ν. Idem.

partim arma circumdantes, partim inermes, omnesque perturbatos. Quamobrem abſtinens a cæde, promiſſa ſalute, ſine prælio victoriam adeptus eſt.

8 Antigonus naves habebat centum et triginta, quibus præerat Nicanor. His cum Polyſperchontis claſſe navale prælium committebat, quam ducebat Clitus. In Helleſponto pugna conſerebatur. Nicanor ſuis ob imperitiam in adverſos fluctus coactis, ſeptuaginta naves perdidit. Cum victoriam palam hoſtes in manibus haberent, ſub veſperam Antigonus advenit, neque acceptam cladem metuit: ſed eos, qui in reliquis eſſent ſexaginta navibus, paratos ad pugnam navalem iterum ſub noctem eſſe jubet: et ex ſatellitibus fortiſſimum quemque ad navigia conſtituit, iisque dat præceptum, ut minentur ſe mortem omnibus allaturos, qui non in pugnam ſucceſſiſſent, et eum Byzantium in propinquo ſitam civitatem ſocietate conjunctam haberet, inde confeſtim ad moderandos remos mitti imperat ſcutatos, et levis armaturæ milites, milleque ſagittarios: qui in hoſtium naves ſtationem habentes, e littore jacula, ſagittasque conjicerent. Hæc per unam noctem adminiſtrata ſunt. Incipiente vero dilucu-lo,

χομένης δὲ ἕω, οἱ μὲν ἀπὸ γῆς ἐτόξευον, καὶ ἠκόντιζον· οἱ πολέμιοι δὲ, οἱ μὲν ἔτι καθεύδοντες, οἱ δὲ ἄρτι ἀφυπνίζοντες, ἀφυλάκτως ἐτιτρώσκοντο· ἄλλοι μὲν ἀνέσπων τὰ πρυμνήσια, ἄλλοι δὲ ἀνεῖλκον τὰς ἀποβάθρας· ἄλλοι δὲ ἀγκύρας ἀνιμῶντο· πάντων δὲ βοὴ καὶ τάραχος ἦν. Ἀντίγονος ἐσήμηνεν· καὶ ταῖς ἑξήκοντα ναυσὶ ἐπιπλεῦσαι, καὶ μετὰ θυμοῦ καὶ ῥοθίου ποιεῖσθαι τὰς ἐμβολάς· αὐτίκα δὴ συνέβαινεν, 57 τῶν μὲν ἀπὸ γῆς βαλόντων, ... κρατεῖν τοὺς νενικηκότας.

θ′ Ἀντίγονος μετὰ τὴν νίκην τῆς ἐν Ἑλλησπόντῳ ναυμαχίας πλεῖν τὰς ναῦς ἐπὶ Φοινίκης ἔταξεν, τοὺς μὲν ναύτας ἐστεφανωμένους· τὰς δὲ πρύμνας κεκοσμημένας λαφύροις καὶ ἀκροστολίοις αἰχμαλώτων τριήρων· τοῖς δὲ κυβερνήταις, ἐνετείλατο κατὰ τὸ πέλαγος παραπλεῖν πᾶσι μὲν ὅρμοις, πάσαις δὲ πόλεσι προσπελάζοντας, ὅπως ἡ νίκη διαβόητος ἀνὰ πᾶσαν τὴν Ἀσίαν γένοιτο· Φοίνισσαι νῆες ὁρμοῦσαι Κιλικίας ὑπὸ τῷ Ῥωσίῳ λιμένι χρήματα Εὐμενοῦς ἄγουσαι, Σωσιγένην ναύαρχον 58 εἶχον· ὁ μὲν Σωσι-

57 Lacunam poſt *βαλόντων* ſic explet *Caſ.* *τῶν δὲ πολεμίας ναῦς προσαγαγόντων.* 58 *γρ.* *ἦλον.* *Caſ.*

lo, cum infeſta pila, ſpiculaque illi e littore mitterent, hoſtes, autem tum ſomno nondum ſoluti, tum recens excitati, ſine cautione vulnera acciperent, alii navium retinacula ſolvere, alii quibus exſcendunt aſſeres retrahere, alii ancoras levare: breviter, omnes vociferationem ac tumultum ciere. Antigonus ſexaginta quoque navibus ſignum dat, ut appellerent, cumque furore et impetu impreſſionem facerent. Sic ſtatim accidit, ut aliis e littore jaculantibus, aliis naves infeſtas adducentibus, victores a victis ſuperarentur.

9 Antigonus cum navale prælium in Helleſponto viciſſet, ut naves Phœniciam verſus navigarent, imperavit, nautæ quidem coronis redimiti, puppes vero ſpoliis et captivarum triremium roſtris ornatæ. Gubernatores autem juſſit, ad omnes portus per mare adnavigare, cunctiſque civitatibus appropinquare, ut victoria per univerſam Aſiam celebris evaderet. Phœnicum naves prope Roſium Ciliciæ portum ſtationem habentes, et grandem Eumenis pecuniam vehentes, Soſigenem præfectum elegerunt. Soſigenes

Σωσιγένης ἐπὶ Ὀρθιομάγου διέτριβεν ἀποσκοπῶν τὴν τοῦ πελάγους κίνησιν· οἱ δὲ ἀπὸ τῶν Φοινισσῶν νεῶν, ὡς εἶδον τὰς νικώσας λαμπρῶς κεκοσμημένας, ἁρπάσαντες τὰ χρήματα, ἐσεπήδησαν ἐς τὰς Ἀντιγόνου τριήρεις· αἱ δὲ αὐτίκα ἀνήγοντο πολλὰ 59 χρήματα . . . . καὶ συμμάχους· Σωσιγένης δὲ ὁ ναύαρχος τὸ πέλαγος ἀπεσκόπει.

ι´ 60 Ἀντίγονος καὶ Εὐμένης ἐμάχοντο· ἀμφιβόλου τῆς νίκης οὔσης, Εὐμένης κήρυκα περὶ νεκρῶν ἀναιρέσεως ἔπεμψεν· Ἀντίγονος πλείονας ὄντας τοὺς οἰκείους νεκροὺς λαθεῖν βουλόμενος, ἐπὶ τοσοῦτον κατέσχε τὸν κήρυκα, ἐφ' ὅσον αὐτῶν πάντων τὰ σώματα ἔκαυσεν. ἐπεὶ δὲ πέρας ἔσχεν ἡ ταφὴ, τότε τὸν κήρυκα ἀπέπεμψε, συγχωρῶν τὴν ἀναίρεσιν.

ια´ Ἀντίγονος ἐν Γαδαμάρτοις τῆς Μηδείας προσεχείμαζεν· Εὐμένης προκατελάβετο τὴν ὁδὸν ἄχρι σταδίων χιλίων, διατάξας τὴν δύναμιν πανταχοῦ. ἦν δὲ ἡ μὲν ὁδὸς παρὰ τὰς ὑπωρείας· τὸ δὲ κάτω πεδίον, ὁμαλὸν, ἄνυδρον, ἀοίκητον, οὐ βοτάνην ἔχον, οὐ δένδρον, οὐ φυτόν· ἀσφαλτώ-

59 χρήματα ἄγουσαι. Caſaub. 60 Mſſ. Ἀντ. καὶ Ε. παρετάξαντο. ἀγχώμαλος ἡ νίκη.

genes Orthiomagi tempus terebat, et motum pelagi exſpectabat. Phœnicum vero naves cum vidiſſent victrices ſplendidiſſimis ornamentis præditas, direptis pecuniis in Antigoni triremes inſiliebant: quæ ob eam cauſſam repente magnam et pecuniarum et ſociorum copiam abducebant, Soſigene, navium præfecto, maris motum obſervante.

10 Antigonus et Eumenes pugnam conſeruere. Ancipiti victoria, de ſepultura cæſorum legatum Eumenes mittit. Antigonus, cum ex ſuis major numerus cecidiſſet, ut id lateret, legatum eouſque detinuit, donec eorum omnium corpora igni tradidiſſet. Cumque jam ſepultura finem accepiſſet, præconem dimiſit, conceſſa ſepeliendi poteſtate.

11 Antigonus Gadamartis in civitate Medorum hiberna agebat. Eumenes viam uſque ad mille ſtadia diſpoſitis undique præſidiis præoccupaverat. Ea via ducebat per montium radices. Subjectus erat campus æqualis, carens aqua, non habitatus, nullo gramine præditus, non arbore, non planta. Sed cum

σφαλτῶδεις δὲ καὶ πλῆθος ἁλμυρίδος· οὐκ ἄρα ἦν διαβατὸν οὔτε ζώοις οὔτε ἀνθρώποις. Ἀντίγονος τὰς κατὰ τὴν ὁδὸν φυλακὰς ἐκκλίνας, στρατηγῶν μέσον ἔγνω τὸ πεδίον [61] ἔπιεσθαι· προσέταξε δὴ ῥάψασθαι μυρίους ἀσκοὺς, καὶ πλῆσαι τούτους ὕδατος· καὶ σιτία δέκα ἡμερῶν [62] πέμψαντας ἔχειν, καὶ κριθὰς τοῖς ἵπποις, καὶ χιλὸν αὐτάρκη· τὰ μὲν ηὐτρέπιστο· ὁ δὲ διὰ τῆς ἀοικήτου μέσης ἦγε τὴν στρατιὰν τῇ νυκτὶ καίειν οὐκ ἐπιτρέπων, ἵνα μὴ τοῖς φυλάττουσι τὰς ὑπωρείας κατάδηλον γένηται· καὶ μὴν μέχρι τέλους ἔλαθον ἂν, εἰ ἐπείσθησαν τῷ Ἀντιγόνου παραγγέλματι. ὀλίγοι δὲ αὐτῶν παγετώδους νυκτὸς γενομένης πῦρ ἀνέκαυσαν· ὥς τε τὴν φλόγα ἰδόντες οἱ πολέμιοι, συνῆκαν, καὶ τὸ πεδίον ἐκβαινόντων προσβαλόντες κατὰ τὴν οὐραγίαν, ἔστιν οὓς τῶν ὑστάτων ἀπέκτειναν. ὅσον δὲ ἐπὶ τῷ Ἀντιγόνου στρατηγήματι, ἀβλαβεῖς ἐσώθησαν πάντες.

ιβʹ Ἀν-

61 *Fl.* ἐπέμεσθαι. *Cant.* ἐπιμπιστεῖσθαι, ſed quinque litteræ intermediæ πιστει ſeriore manu erant inſertæ. *Maſv.*
62 Lego πέψαντας. *Caſ.*

eum ſulphure, multaque ſalſuginoſa materia ſcateret, neque animalia, neque homines per eum iter facere poterant. Antigonus præſidia propter viam collocata declinans, per medios duces elapſus planitiem conficere ſtatuebat. Quam ob cauſam decies mille utres juſſit conſui, eosque repleri aqua, commeatumque decem dierum comportatum in promtu habere, et hordea pro equis, et pabulum quantum neceſſitas poſtularet. His rebus comparatis, Antigonus per mediam non habitabilem planitiem duxit exercitum noctu, ignes incendere vetans, ne qui radices montium tenebant, ex eo profectionem cognoſcerent: et quidem ad finem uſque res animadverſa non fuiſſet, ſi Antigoni præcepto morem geſſiſſent. Verum pauci eorum nocte frigidiore facta ignes incenderunt. Cujus flammam hoſtes conſpicati, rem intellexerunt: cumque jam planitiem egrederentur, adorti eos a tergo, nonnullos ex poſtremis interfecerunt. Quantum vero ad Antigoni ſtrategema, ſine damno omnes evaſerunt.

ιβ´ Ἀντίγονος ἐν παρατάξει ὄρους ὑπτίαν λαγόνα περιλαβὼν, ὡς εἶδε τὴν Εὐμένους ἀνὰ τὸ πεδίον ἔνταξιν οὐκ ἐχυρὰν, τοῖς ὀπισθοφυλακοῦσιν ἐπιπέμψας ἱππικὰ σῖφη, πολὺ μέρος τῆς ἀποσκευῆς αὐτοῦ κατέσυρεν.

ιγ´ Ἀντίγονος περὶ τὴν Γαβιηνὴν συνέβαλεν Εὐμένει μάχην· ἦν πεδίον λεπτόγεων καὶ ψαμμῶδες· ἐν τούτῳ συνιόντων μεγάλων στρατευμάτων, αἴρεται νεφελώδης κόνις ἐπισκοτοῦσα καὶ φιλίοις, καὶ πολεμίοις· ἡ μάχη μὲν ἐν χερσὶν ἦν. Ἀντίγονος δὲ τῶν Εὐμενείων στρατιωτῶν εἰδὼς ἀπομένειν τὴν ἀποσκευὴν, ἐν ᾗ γυναῖκες ἦσαν αὐτῶν, καὶ τέκνα, καὶ παλλακαὶ, καὶ οἰκέται, καὶ χρυσὸς, καὶ ἄργυρος, καὶ ὅσα ἄλλα ἐκτήσαντο ἀπὸ τῆς μετὰ Ἀλεξάνδρου στρατείας· ἐκέλευσεν ἐπιλέκτους ἴλας περιελάσαι τὴν ἀποσκευὴν ἐς τὴν [63] ἑαυτοῦ στρατοπεδείαν· οἱ μὲν περιήλασαν ἀσχολουμένων τῶν πολεμίων περὶ τὴν μάχην, καὶ τῆς κόνεως ἐπισκοτούσης. ἐπεὶ δὲ πέρας ἔσχεν ἡ μάχη, πεντακισχίλιοι μὲν ἔπεσον Ἀντιγόνου, τριακόσιοι δὲ Εὐμένους· μέγα δὴ φρονοῦντες ἐπὶ τῇ νίκῃ διελύθησαν. ἐπεὶ δὲ τὴν ἀποσκευὴν εἶδον ἡρπασμένην, καὶ τοὺς οἰκείους ἀπολωλότας,

ἀθυμία

63 *Uterque Codex* ἑαυτῶν.

12 Antigonus in pugna latus acclive montis obſidens. cum videret Eumenis aciem per campum explicatam, nequaquam ſatis firmam, ſummittens poſtremo agmini turmas aliquot equitum, magnam partem impedimentorum ejus diripuit.

13 Antigonus circa Gabienam prælium cum Eumene committebat. Erat campus tenui terra atque arenoſa. In eo congredientibus maximis copiis, excitatur nubilus pulvis, qui tenebras offundebat et amicis et hoſtibus. Prælium erat in manibus. Antigonus vero, cum intelligeret Eumeniorum militum impedimenta remanſiſſe, in quibus uxores erant et liberi, ac pellices et ſervi, et aurum et argentum, alia denique omnia, quæ in Alexandri expeditione comparaſſent, delectas turmas juſſit impedimenta circumventa in ſua caſtra compellere. Qui hoſtibus circa pugnam occupatis, circumequitarunt, et pulvere caliginem obducente adduxerunt. Poſtquam vero deſiit pugna, quinque millia ceciderant ab Antigoni partibus: ab Eumenis ſolum trecenti. Quamobrem hi magnos ſpiritus gerentes ob victoriam, diſceſſerunt. Poſtquam vero abrepta viderunt

ἀθυμία καὶ θρῆνος ἦν τῶν νενικηκότων· ὥς τε οἱ πλεῖστοι διὰ τὸν ἔρωτα τῶν οἰκείων ἐπρεσβεύοντο παρὰ Ἀντίγονον, ἀξιοῦντες αὐτῷ προσίθεσθαι. Ἀντίγονος τὴν ἀποσκευὴν τῶν Εὐμενείων στρατιωτῶν ἁρπάσας, ἐπειδὴ βαρέως ἔφερον ἀπολέσαντες τὰ φίλτατα, ἐκήρυξε προῖκα ἀποδώσειν τὰ ἡρπασμένα· οἱ δὲ πρὸς τὸ κήρυγμα αὐτίκα μετεβάλλοντο· οὐ μόνον οἱ Μακεδόνες, ἀλλὰ καὶ μύριοι Περσῶν, ὧν ἦρχε Πευκέστης· καὶ γὰρ οὗτος τοὺς Μακεδόνας ἰδὼν Ἀντιγονίζοντας, ὡς τούτους ἐνέκλινε· τέλος δὲ τοσαύτη μεταβολὴ γνώμης καὶ τύχης ἐγένετο, ὥς τε οἱ Ἀργυράσπιδες συλλαβόντες Εὐμένη δεσμώτην 64 Ἀντιγόνῳ παρέδωκαν· Ἀντίγονος δὲ ἁπάσης τῆς Ἀσίας βασιλεὺς ἀνηγορεύθη.

ιδ΄ Ἀντίγονος Πίθωνα σατράπην Μηδείας πυθόμενος ξενολογεῖν, καὶ χρήματα συλλέγειν, ἀποστῆναι βεβουλευμένον, ἀπιστεῖν τοῖς ἀγγέλλουσι προσεποιήσατο, φάσκων, οὐκ ἂν ἐγὼ πιστεύσαιμι ταῦτα Πίθωνα πράττειν, ᾧ πεντακισχιλίους Μακεδόνας ὁπλίτας, καὶ Θρᾶκας, καὶ χιλίους φύλακας

64 Ἀντιγόνῳ non habent Mſſ. neque agnoſcit Interpres.

runt impedimenta, ſuosque amiſſos, in mœrore luctuque eſſe cœperunt hi, penes quos victoriæ palma ſteterat: adeo ut plerique, ſuorum amore compulſi, legationem ad Antigonum mitterent, petentes ab eo, ut ſe in ſuorum militum numerum reciperet: Antigonus abreptis impedimentis Eumeniorum militum, cum moleſtiſſime eos ferre ſuorum amiſſionem cerneret, promulgavit ſe gratis redditurum ea quæ rapuiſſet. Qui ad hanc promulgationem continuo tranſierunt, non ſolum Macedones, verum etiam Perſarum decem millia, quibus præerat Peuceſtes. Nam is, cum videret Macedones ad Antigoni partes deſciſcere, ad hos deflexit. Poſtremo tanta mutatio ſententiarum et fortunæ facta eſt, ut Argyraſpides comprehenſum Eumenem, ac vinctum traderent. Antigonus vero totius Aſiæ rex proclamatus eſt.

14 Antigonus cum audiſſet Pythonem Mediæ præfectum, peregrinum exercitum conſcribere, et pecunias colligere, eo conſilio ut defectionem faceret, ſimulabat ſe fidem non adhibere nuntiantibus, inquiens: Ego vero nequaquam crediderim hoc agere Pythonem, cui ego quinque millia Macedonum armatorum atque Thracum, et mille præfecturæ cuſtodes

 para-

λακας τῆς σατραπείας συμπέμψαι παρεσκεύακα. ταῦτα Πίθων ἀκούσας πιστεύει τῇ φιλανθρωπίᾳ· καὶ διὰ τάχους ἧκε ληψόμενος τὴν ἐπικουρίαν. Ἀντίγονος δὲ ἐς τὸ κοινὸν τῶν Μακεδόνων εἰσαγαγὼν Πίθωνα ἑλὼν, τιμωρησάμενος ἀπέκτεινεν.

ιε′ Ἀντίγονος τοὺς Ἀργυράσπιδας, οἳ τὸν Εὐμένη δεσμώτην αὐτῷ παρέδωκαν, ἐτίμησε δωρεαῖς· τὸ δὲ ἄπιστον αὐτῶν φυλαττόμενος, χιλίους μὲν αὐτῶν ἔδωκε συμμάχους εἶναι Σιβυρτίῳ τῷ σατράπῃ τῆς Ἀραχωσίας· τοὺς δὲ ἄλλους εἰς ἄλλα χωρία φρουροὺς διέπεμψεν ἐχυρὰ καὶ δύσβατα, ἵνα φρουραὶ αὐτοὶ τὴν χώραν ἔχωσιν. διὸ ταχέως ἀφανεῖς πάντες ἐγένοντο.

ις′ Ἀντίγονος ἐπολιόρκει Ῥόδον, ἐπιστήσας τῇ πολιορκίᾳ τὸν υἱὸν Δημήτριον, κηρύξας αὐτοῖς Ῥοδίοις εἶναι πᾶσαν ἀσφάλειαν, ὁπόσοι δὲ περὶ Συρίαν, Φοινίκην, Κιλικίαν, Παμφυλίαν ἦσαν ἔμποροι, καὶ θαλασσουργοὶ Ῥόδιοι, καὶ τούτοις ἐκήρυξεν ἀσφάλειαν τῆς θαλάσσης ἐπὶ τῷ μὴ καταίρειν εἰς Ῥόδον· ἵνα βοηθείας ἐρήμην Ῥόδον ἐξέλοι τῶν παρὰ Πτολεμαίου συμμάχων οὐχ ἱκανῶν ὄντων ἀντισχεῖν Δημητρίῳ πολιορκοῦντι.

ιζ′ Ἀλέ-

paravi, quos ei mitterem. His auditis, Python credit humanitati, et confeſtim venit ad recipiendum auxilium. Antigonus vero Pythonem in medium Macedonum introductum cepit, et punitum morte mulctavit.

15 Antigonus Argyraſpides, qui Eumenem vinctum ei tradiderant, muneribus ornavit. Verum ut eorum perfidiam caveret, mille ex eis ſocios tradidit Sibyrtio Arachoſiæ præfecto. Alios vero in alia loca munitiſſima et invia præſidii cauſſa dimiſit, ut ipſis cuſtodiæ loco regio eſſet. Itaque ſubito omnes evanuerunt.

16 Antigonus Rhodum oppugnabat, filiumque ſuum Demetrium oppugnationi præfecit, promulgans ipſos Rhodios ab omni periculo liberos. Quotquot vero circa Syriam, Phœniciam, Ciliciam, Pamphyliam erant mercatores, et Rhodii, qui mare exercerent, etiam his ſecuritatem per mare reliquum conceſſit, hac conditione, ne Rhodum appellerent, ut omnibus auxiliis deſtitutam Rhodum facilius exſcinderet, cum miſſi eis a Ptolemæo ſocii non ſatis virium haberent ad reſiſtendum Demetrio oppugnanti.

17 An-

ιζʹ Ἀντίγονος μισθοφόρους ἐμισθώσατο Γαλάτας, ὧν [65] Βιδήριος ἦρχε, συνθέμενος ἑκάστῳ δώσειν χρυσοῦν Μακεδονικὸν, ὅμηρα δοὺς τοῦ μισθοῦ ἄνδρας καὶ παῖδας τῶν εὐγενῶν. ἡ μάχη πρὸς Ἀντίπατρον ἐγένετο· ἐπεὶ δὲ ἐγένετο, οἱ Γαλάται τὸν μισθὸν ἀπῄτουν. Ἀντίγονος ἑκάστῳ θυρεαφόρῳ τὸν μισθὸν ἀπεδίδου. οἱ Γαλάται καὶ τοῖς ἀόπλοις καὶ ταῖς γυναιξὶ, καὶ τοῖς παισὶν ἀπῄτουν. τοῦτο γὰρ εἶναι, τῶν Γαλατῶν ἓν ἑκάστῳ. ἦν οὖν, εἰ μὲν οἱ μάχιμοι λαμβάνοιεν, τριάκοντα τάλαντα· εἰ δὲ μετὰ τῶν ἀπομάχων, ἑκατόν. ἀφίσταται δὲ τὸ Γαλατικὸν, καὶ τοὺς ὁμήρους ἀποκτείνειν ἠπείλει. Ἀντίγονος δείσας περὶ τοῖς ὁμηρεύουσι, πρεσβευτὴν ἔπεμψεν, ὅσα αἰτοῦσι δώσειν ὑπισχνούμενος, εἰ πέμψειαν, τοὺς ληψομένους τὸ χρυσίον· οἱ δὲ περιχαρεῖς τῷ πλήθει τῶν χρημάτων τοὺς ἀρίστους Γαλατῶν ὡς δὴ χρυσοφόρους ἔπεμψαν. Ἀντίγονος κατασχὼν τοὺς ἥκοντας, οὐκ ἄλλως ἔφη τοῖς Γαλάταις τοὺς ἄνδρας ἀποδώσειν, εἰ μὴ [66] τούτους ἀπολάβοι πάλιν· οἱ Γαλάται σπουδάζοντες ἀνασώσασθαι τοὺς αὐτῶν, ἀποδόντες τοὺς ὁμήρους,

65 *Fl.* κιδήριος. *Cant.* Βιδόριος. quomodo etiam Interpres.
66 τοὺς ἑαυτοῦ. *Caſ.*

17 Antigonus mercenarios milites Gallos certo ſtipendio conduxit, quibus Bedorius præerat, promittens unicuique Macedonicum aureum ſe numeraturum, datis ſtipendii cauſa vadibus viris ac pueris nobiliſſimis. Pugna adverſus Antipatrum facta eſt. Qua facta, Galli ſalarium repetebant. Antigonus ſingulis ſcutigeris mercedem perſolvit. Galli etiam inermibus et mulieribus ac liberis ſtipendia flagitare. Hoc enim eſſe, unicuique Gallo unum. Summa vero pecuniæ, ſi bellatores tantum acciperent, triginta talentorum erat; ſin cum imbellibus, centum. Diſcedit Gallicus exercitus, et ſe vadibus mortem allaturum minatur. Antigonus metuens vadibus, legatum ad eos mittere, et quantaſcumque pecunias peterent, ſe daturum polliceri: ſaltem mitterent aliquos qui aurum numeratum capiant. Qui ſummo gaudio affecti propter multitudinem pecuniæ, primates Gallorum, quibus adferendi auri negotium committerent, miſerunt. Antigonus comprehenſis iis qui venerant, non aliter inquit ſe eos viros Gallis reddere velle, niſi ſuos prius recepiſſet. Galli ſummo ſtudio ſuos redimere cupientes, red-

ὁμήρους, τότε τοὺς ἰδίους ἀπολαμβάνουσι, καὶ σὺν αὐτοῖς τὰ τριάκοντα τάλαντα.

ιη'. Ἀντίγονος Κασσάνδρειαν ἐπολιόρκει, βουλόμενος ἐξελεῖν Ἀπολλόδωρον τὸν Κασσανδρέων τύραννον· δέκα μηνῶν χρόνος ἦν τῇ πολιορκίᾳ· αὐτὸς μὲν ἀνεχώρησεν· Ἀμεινίαν δὲ τὸν ἀρχιπειράτην καθῆκεν συνθησόμενον φιλίαν πρὸς Ἀπολλόδωρον· ὁ δὲ κήρυκα πέμψας, πραΰνειν Ἀντίγονον ἐπηγγέλλετο. καὶ σιτία πολλά, καὶ οἶνον πέμψειν. ὥστ' ἐδόκει πιστὸς Ἀμεινίας· οἱ δὲ ἀμφὶ τὸν τύραννον τῇ τε Ἀμεινίου φιλίᾳ πιστεύοντες, καὶ τῆς ἀπουσίας τῆς Ἀντιγόνου καταφρονοῦντες, οὐκ ἀκριβῶς ἐφύλαττον τὰ τείχη· τῷ δὲ Ἀμεινίᾳ κλίμακες ἰσομήκεις τοῖς τείχεσιν ἐπεποίηντο, καὶ ὑπὸ τὴν καλουμένην Βῶλον, ἀπέχουσαν οὐ πρόσω τῶν τειχῶν 67 ἀπεκρύπτοντο στρατιῶται δισχίλιοι· καὶ μετὰ τούτων Αἰτωλοὶ πειραταὶ δέκα, ὧν Μελώτας ἡγεῖτο· οὗτοι κατὰ τὴν πρώτην αὐγὴν τῆς ἡμέρας ἀραιοὺς τοὺς ἐπὶ τῶν τειχῶν φρουροὺς ἰδόντες προσέρπουσι τοῖς μεσοπυργίοις· καὶ προσθέμενοι τὰς κλίμακας, αἴρουσι σύνθημα· 68 Ἀμεινίας

67 MſS. ἀπέκρυπτον. 68 Particulam δὲ poſt Ἀμεινίας MſS. et Interpres delent.

redditis vadibus, tum denique legatos recipiunt, atque cum eis triginta talenta.

18 Antigonus Caſſandriam oppugnabat, ut Caſſandrenſium tyrannum Apollodorum everteret. Cum ad decimum menſem oppugnatio produceretur, ipſe quidem diſceſſit: Aminiam vero archipiratam ſubornavit, qui ſocietatem cum Apollodoro coiret. Qui miſſa legatione, ſibi curæ fore promittebat, ut Antigonus placaretur, multumque commeatum atque vinum ſe miſſurum ajebat. Itaque ſatis fidus Aminias videbatur. Tyrannus Aminiæ ſocietati bene fidens, et propter abſentiam Antigoni negligentior, non exacta cura mœnia cuſtodiebat. Aminias autem ſcalas æquantes muri altitudinem effecerat, et ſub tumulo, qui Bolus dicitur, neque ita procul a mœnibus diſtabat, occultabant ſe duo millia militum, cumque his Ætolorum piratarum decem, quibus Melotas præerat: ii prima luce raros in muris diſpoſitos milites conſpicati, ad partem muri inter duas turres accedunt, et appoſitis ſcalis ſignum tollunt. Aminias cum duo-

νίας δὲ μετὰ τῶν δισχιλίων στρατιωτῶν ἀναβὰς διὰ τῶν κλιμάκων ἐκράτησε τῶν τειχῶν· ὥς τε οἱ μὲν ἔνδον ἦσαν· Ἀντίγονος δὲ αὐτίκα παρῆν. καὶ τὴν Κασσάνδρειαν κατασχὼν τὴν Ἀπολλοδώρου τυραννίδα κατέλυσεν.

ιθʹ Ἀντίγονος ἐλάττονας ἔχων στρατιώτας ἀντεστρατοπεδεύετο τοῖς περὶ Εὐμένη πολεμίοις· ἐπικηρυκευομένων δὲ συνεχῶς προσέταξεν, ἐπειδὰν ὁ κήρυξ ἀφίκηται, στρατιώτην ἐκδραμεῖν πνευστιῶντα, κεκονιαμένον, ἀγγέλλοντα, οἱ σύμμαχοι πάρεισιν. Ἀντίγονος μὲν ἀκούσας, περιχαρὴς ἀνεπήδησε· τοὺς κήρυκας ἀποπεμψάμενος, καὶ τῆς ὑστεραίας τὸ μῆκος τῆς φάλαγγος διπλάσιον ἐκτείνας, τοῦ χάρακος ἐξήγαγεν· οἱ δὲ πολέμιοι παρὰ τῶν κηρύκων ἀκούσαντες τὴν παρουσίαν τῶν συμμάχων, τὴν μὲν ἔκτασιν τοῦ μήκους τῆς φάλαγγος ὁρῶντες. τὸ δὲ βάθος εὐκαταφρόνητον ἔχοντες, μάχην συνάψαι φοβηθέντες, φυγόντες ᾤχοντο.

κʹ Ἀντίγονος τὰς Ἀθήνας βουλόμενος λαβεῖν, εἰρήνην ἐσπείσατο τῷ τοῦ φθινοπώρου καιρῷ. Ἀθηναῖοι τὸν σῖτον κατασπείραντες, ὀλίγον ἐφύλαξαν, 69 τὸν ἀποχρήσοντα μέχρι

69 Mſſ. et Codd. *Caſaub.* ἀποχωρήσοντα, alii Codd. *Ejusd.* ἀπαρκέσαντα.

duobus illis millibus aſcendens per ſcalas, muris potitus eſt. Qui cum intra civitatem eſſent, Antigonus confeſtim adeſt, et occupata Caſſandria, tyrannidem Apollodori ſuſtulit.

19 Antigonus cum paucioribus militibus caſtrametabatur adverſus hoſtes, qui Eumenem ſequebantur. Cum autem continuis legationibus inter ſe uterentur, imperavit, ſi legatus veniret, militem quendam procurrere anhelantem, pulvere reſperſum, atque nuntiare: Socii præſto ſunt. Antigonus hac audita voce lætabundus exiliit, dimiſſisque legatis, poſtero die longitudinem aciei duplicatam extendit, et e vallo deduxit, Hoſtes de adventu ſociorum a legatis certiores facti, cum phalangis extenſam longitudinem conſpicerent, quoniam ipſi aciem non admodum latam habebant, manum conſerere timuerunt, fugamque capeſſentes diſceſſerunt.

20 Antigonus ut Athenas caperet, ſub finem autumni pacem cum eis pepigit. Athenienſes frumentum hinc inde ſeminantes, tantum ejus ſibi reſervarunt, quantum ſatis eſſet, donec fruges vigere cœpiſ-

μέχρι τῆς τῶν καρπῶν ἀκμῆς· ἐπεὶ δὲ ἤκμαζον οἱ καρποὶ Ἀντίγονος μετὰ τοῦ στρατεύματος ἐς τὴν Ἀττικὴν ἐνέβαλεν· οἱ δὲ, τοῦ σίτου τὸν μὲν, καταναλωκότες· τὸν δὲ, κωλυόμενοι θερίζειν, Ἀντίγονον εἴσω τοῦ ἄστεος ἐδέξαντο· καὶ ὑπήκουσαν ἅπασιν αὐτοῦ τοῖς προστάγμασι.

ΚΕΦ. Ζ.

ΔΗΜΗΤΡΙΟΣ.

Δημήτριος χρήματα [70] οὐκ ἔχων, διπλασίους συνέλεξε στρατιώτας· καὶ δὴ θαυμάζοντός τινος, πόθεν ἡ μισθοφορὰ τοσούτοις, ὅπου μηδὲ τοῖς ἐλάττοσιν· ὅτι, ἔφη, βαρύτεροι ὄντες, ἀσθενεστέρους τοὺς ἀντιπάλους ἕξομεν, καὶ τῆς τούτων χώρας κρατήσομεν· καὶ φόρους οἴσουσιν ἄλλοι, καὶ στεφάνους πέμψουσι τὸ πλῆθος τῶν στρατιωτῶν δεδιότες ἤδη.

β΄ Δημήτριος μέλλων ἐπὶ τὴν Εὐρώπην πλεῖν, [71] βουλόμενος μαθεῖν ὅποι ἀποβαίνειν μέλλοι, τῶν κυβερνητῶν ἑκάστῳ βιβλίον ἔδωκεν ἐσφραγισμένον, προστάξας, εἰ μὲν ὁμοῦ

70 Mſſ. et Codd. *Caſaub.* οὐχ ἑλών. 71 Scribe καὶ βουλόμενος λαθεῖν, ex libris *Caſaub.*

piſſent. Cum vero ad maturitatem jam fruges perveniſſent, Antigonus cum exercitu impreſſionem in Atticam fecit. At illi cum frumentum partim conſumſiſſent, partim metere prohiberentur, Antigonum intra mœnia receperunt, omnibusque ejus mandatis morigeros ſeſe præbuerunt.

CAP. VII.

DEMETRIUS.

Demetrius pecunias non habens, duplicavit militum numerum, quos deligebat: et quodam admirante, unde ſtipendium tot militibus ſuppeteret, cum ne paucioribus quidem ſufficeret. Quoniam, inquit, ſi graviores fuerimus, imbecilliores habebimus adverſarios, et eorum terra potiemur, atque alii tributum pendent, coronasque mittent, jam metuentes militum multitudinem.

2 Demetrius cum in Europam navigationem inſtitueret, ut ſcirent quo in loco egreſſus eſſet, gubernatorum ſingulis librum tradidit obſignatum, mandans eis: Si ſimul

ὁμοῦ πλέοιμεν. ἐᾶτε μένειν τὰς σφραγίδας· εἰ δὲ διασπασθείημεν, ἀνοίξαντες τὰ γραμματεῖα ποιεῖσθε τὸν πλοῦν εἰς τὸν γεγραμμένον τόπον.

γʹ Δημήτριος ἀδοκήτως προσπεσεῖν τῇ Σικυῶνι βουλόμενος, ἀνεχώρησεν εἰς Κεγχρέας. κἀκεῖ διέτριβεν ἡμέραις πλείοσι, προσέχων ἡδοναῖς καὶ τρυφαῖς· ὁπηνίκα δὲ πόῤῥω τῆς ὑπονοίας ἐγένοντο Σικυώνιοι· τὸ μὲν ξενικὸν μετὰ Διοδώρου νυκτὸς ἔταξε προσβαλεῖν κατὰ τὰς ἐπὶ Παλλήνην πόλιν πύλας· τὸ δὲ ναυτικὸν τοῖς λιμέσιν ἐπιφαίνεσθαι· τὸ δὲ ὁπλιτικὸν αὐτὸς ἤγαγεν ἐπὶ τὴν πόλιν. ὥστε πανταχόθεν τὰς προσβολὰς ποιησάμενος, τῆς πόλεως ἐκράτησεν.

δʹ Δημήτριος Διοδώρῳ φρουράρχῳ τὴν Ἔφεσον παραδοὺς, ἔπλευσεν ἐπὶ Καρίας· ὁ δὲ Λυσιμάχῳ συνέθετο προδώσειν τὴν πόλιν ἐπὶ πεντήκοντα ταλάντοις· πυθόμενος Δημήτριος, ἀναλαβὼν τὰς ἡμιολίας, τὰς μὲν ὑπὸ τὴν χώραν ἐκέλευσεν ὑφορμίσαι· αὐτὸς δὲ ἐπὶ μιᾶς πλέων, καὶ Νικάνορα προσλαβὼν, ἔπλει πρὸς τὸν λιμένα τῆς Ἐφέσου. ὁ μὲν Δημήτριος ἐν κοίλῃ νηῒ κατεκέκρυπτο· φανερῶς δὲ ὁ Νικάνωρ ἐκάλει τὸν Διόδωρον, ὡς διαλεξόμενος αὐτῷ περὶ τῶν στρατιω-

ſimul navigaverimus, integra relinquite ſigilla. Sin fuerimus diſtracti, libellis apertis, quem locum notatum inveneritis, in eum navigationem dirigite.

3 Demetrius ex improviſo Sicyonem adoriri volens, ſeceſſit Cenchreas, atque ibi plurimos dies terens luxui atque libidinibus indulſit. Cum vero jam omnem ſuſpicionem depoſuiſſent Sicyonii, mandavit, ut mercenarii milites cum Diodoro ſub noctem impreſſionem facerent apud eas portas, quæ Pallenen verſus ſpectabant: navalis autem exercitus circa portum ſe oſtenderet: armatos ipſe ad civitatem adduxit: ſic omnibus locis irruptione facta, civitate potitus eſt.

4 Demetrius Diodoro præſidii præfecto Epheſum cuſtodiendam tradidit, et Cariam verſus navigavit. At ille cum Lyſimacho pactus eſt, ſe quinquaginta acceptis talentis urbem ei proditurum. Quo cognito, Demetrius aſſumtis biremibus, reliquas in regione clam juſſit appellere. Ipſe in una, adjuncto Nicanore, in portum Epheſiorum adnavigavit. Demetrius in cavitate navis occulebatur: Nicanor autem aperte Diodorum vocabat, quaſi de militibus cum eo locu-

στρατιωτῶν, ὅπως] ἀσφαλῶς αὐτοῖς ἀπελθεῖν ἐπιτρέψειεν· ὁ δὲ ὑπολαβὼν ἥκειν τὸν Νικάνορα μόνον, ἐπιβὰς ἐπικώπου κέλητος ἕτοιμος ἦν ποιεῖσθαι τὰς συνθήκας· ὡς δὲ ἐγγὺς ἦν, ἐκ νεὼς κοίλης ἀναπηδήσας Δημήτριος, τὸν μὲν κέλητα κατέδυσεν αὐτοῖς ἀνδράσι, τοὺς δ᾽ ἀπονηξαμένους συνέλαβεν· τὴν δ᾽ Ἔφεσον κατέσχε, τὸν προδιδόντα φθάσας.

έ Δημήτριος Αἴγιναν καὶ Σαλαμῖνα λαβὼν ἐν τῇ Ἀττικῇ, [72] στρατόπεδον ἔπεμψε πρὸς τοὺς ἐν Πειραιεῖ, αἰτῶν ὅπλα χιλίοις ἀνδράσιν, ὡς ἧκον σύμμαχοι αὐτοῖς κατὰ τυράννου Λαχάρους· οἱ μὲν πιστεύσαντες ἔπεμψαν· ὁ δὲ λαβὼν καὶ ὁπλισάμενος, αὐτοὺς ἐπολιόρκησε τοὺς πέμψαντας.

ϛ́ Δημήτριος τοῦ Πειραιῶς ἐκράτησεν, οὐχὶ πάντων τῶν ναυτικῶν κατάρας, ἀλλὰ τὰς μὲν πλείστας τριήρεις ὑπὸ τῷ Σουνίῳ ναυλοχεῖν κελεύσας, εἴκοσι δὲ τὰς ἄριστα πλεούσας ἐπιλεξάμενος, προσέταξε ῥαθίῳ τῇ εἰρεσίᾳ πλεῖν οὐκ ἐπὶ τὸ ἄστυ, ἀλλ᾽ ὡς ἐπὶ τὴν Σαλαμῖνα. Δημήτριος ὁ Φαληρεὺς Ἀθηναίων στρατηγῶν, ἐτύγχανε μὲν Κασσανδρίζων· ἀπὸ δὲ τῆς ἀκροπόλεως κατιδὼν τὰς εἴκοσι νέας ἐπὶ Σαλα-

72 Fortaſſe ἐκ ποδὸς e veſtigio. *Caſaub.* Forte στρατηγόν. *Maſv.*

locuturus, ut eis tuto diſcedendi facultatem concederet. Ille Nicanorem ſolum venire arbitratus, conſcenſa celoce remigio inſtructa, fœdus icere paratus erat. Cum autem appropinquaſſet, exiliens e cava nave Demetrius, celocem una cum ipſis hominibus ſubmerſit, enatantesque comprehendit, Epheſumque, antevertens proditorem, obtinuit.

5 Demetrius, cum Æginam ac Salaminam in Attica cepiſſet, miſit ad Piræenſes, armaque mille viris poſtulavit, ut ſocietate facta his adverſus Lacharem tyrannum uterentur. Qui cum ejus promiſſis fiderent, arma miſerunt. At ille acceptis ſuos armavit, eosque qui miſerant oppugnavit.

6 Demetrius Piræeum obtinuit, non omnibus copiis navalibus adductis, ſed plurimis triremibus ad Sunium latitare juſſis, viginti optime ad navigandum inſtructas delegit, easque incitatis remis non ad urbem, ſed quaſi Salaminem verſus contendere juſſit. Demetrius Phalereus Athenienſium dux Caſſandri partibus favebat. Is conſpicatus ab arce, viginti naves, Salaminem verſus navi-

Σαλαμῖνος πλεούσας, ἐνόμισαν εἶναι πολεμικὰς, ἐπὶ Κορίνθου πορευομένας· οἱ δὲ ἐπὶ τῶν εἴκοσι, ἐπιστρέψαντες εὐθὺς τοῦ Πειραιῶς κατέσχον. παραχρῆμα δὲ 73 καὶ συνιεὶς ὁ στόλος ἅπας ἐπικατήγετο. ὥστε πολὺ πλῆθος ἐκβάντες κατελάβοντο τοὺς πύργους, καὶ τὸν λιμένα. κήρυκες δὲ ἀνεβόων· Δημήτριος τὰς Ἀθήνας ἐλευθεροῖ. καὶ Ἀθηναῖοι τὸ κήρυγμα τῆς ἐλευθερίας ὁρώμενοι, Δημήτριον προσεδέξαντο.

ζ' Δημήτριος ἐπολιόρκει Σαλαμῖνα τὴν ἐν Κύπρῳ 74 τριήρεσιν ἑκατὸν ὀγδοήκοντα. Πτολεμαίου στρατηγὸς Μενέλεως ἑξήκοντα ναυσὶν ἐφρούρει τὴν πόλιν καὶ αὐτὸς δὲ Πτολεμαῖος προσεδοκᾶτο ναυσὶ τεσσαράκοντα καὶ ἑκατὸν ἐπιπλευσεῖσθαι. Δημήτριος πρὸς διακοσίας ὁμοῦ τριήρεις ἀξιόμαχος οὐκ ὢν, τῆς Σαλαμῖνος ἄκραν ὑπερέχουσαν περιπλεύσας, ὑπὸ κρημνῷ λιμενίζοντι ναυλοχῶν ἐκρύπτετο· ἐπεὶ δ' ὁ Πτολεμαῖος τοὺς ὄπισθεν τοῦ κρημνοῦ μὴ προορώμενος, κατῆρεν ἐς θῖνα ἔνορμον, ἀναπεπταμένον, καὶ περὶ ἔκβασιν

73 *Fl.* καὶ συνιῖθεν ὁ σ. *Cant.* καὶ συνίθεν ὁ σ. in ora vero libri notatum συνιεὶς ὁ σ. ut Vulgata. *Caſ.* Codd. συνηθέν. *Gronovius* bene monet legendum: καὶ Σουνιόθεν ὁ σ. Sunii enim relicta erat claſſis. 74 Mſſ. nec non Interpres, ἑκατὸν ἑβδομήκοντα.

navigantes, hoſtiles eſſe ſuſpicabatur, atque Corinthum verſus curſum habere. At ii, qui viginti naves agebant, recta ad Piræeum ſe vertentes, eum obtinuerunt. Confeſtim autem intellecta re, cæteri claſſem etiam univerſam appulerunt, ita ut multitudo expoſita turres occuparet, et portum. præcones proclamabant, Demetrius Athenas liberat. Athenienſes libertatis præconium intelligentes, Demetrium acceperunt.

7 Demetrius Salaminem oppugnabat in Cypro, centum et ſeptuaginta triremibus: Ptolemæi dux Menelaus ſexaginta navibus urbem tenebat, atque ipſum Ptolemæum cum centum et quadraginta navibus venturum exſpectabat. Demetrius nequaquam par pugnæ cum navibus ducentis, terram ſupra Salaminem legens, ſub præcipitio ſtationem figens, in inſidiis occultabatur. Cum vero Ptolemæus ignarus eorum, qui poſt præcipitium latitabant, in portum ſtationem commodam habentem et apertum ad-

ἔκβασιν ἦν, ἐπιστρέψαντες οἱ περὶ τὸν Δημήτριον ἐξεφάνησαν· καὶ παραχρῆμα ταῖς Αἰγυπτίαις ναυσὶν ἄρτι προσορμιζομέναις, ἐμβάλλουσιν· ὥστε ὀξύτατον γενέσθαι τῆς νίκης τὸ τάχος. Πτολεμαῖος μὲν παραχρῆμα ἔφυγεν, Μενέλαος δὲ ἀπὸ Σαλαμῖνος ἀναχθεὶς ὡς προσβοηθήσων, καὶ αὐτὸς Πτολεμαίῳ φεύγοντι συνέφυγεν.

η' Δημήτριος ἐς Κόρινθον προδιδομένην νύκτωρ προῆλθε, τῶν προδιδόντων τὰς μετὰ κορυφὴν πύλας ἀνοιξάντων, δεδιὼς τοὺς ἐν τῇ πόλει, μὴ λαθόντες ἐπιθοῖντο. περιέσπασε αὐτοὺς πολλὴν στρατιὰν προσβαλὼν ταῖς πύλαις ταῖς κατὰ τὸ Λέχαιον. οἱ μὲν δὴ μεγάλα ἠλάλαξαν· οἱ δὲ Κορίνθιοι πρὸς τὴν βοὴν συνέδραμον ἅπαντες· οἱ προδιδόντες, τὰς κατὰ κορυφὴν πύλας ἀνοίξαντες, τοὺς πολεμίους ἐδέξαντο. Δημήτριος δὲ ᾑρήκει Κόρινθον, Κορινθίων τὰς ἐπὶ Λεχαίου πύλας φυλαττόντων.

θ' Δημήτριος ἀπεστράτευε Λακεδαιμονίοις· ἦν μέσον ἀμφοτέρων ὄρος Ἀρκαδικὸν [75] Λυκαῖος· οἱ Μακεδόνες οὐκ ἀδεῶς εἶχον, ἄπειροι τοῦ ὄρους ὄντες· βορέας ἐπίφορος ἔπνευσεν

75 Mſſ. Λυκαῖον. *Caſaub.* Codd. Λυκαίων.

adpelleret, atque milites jam exponeret, reverſus exercitus Demetrii ſupervenit, et ſine mora in naves Ægyptias modo appulſas impetum facit. Itaque mira celeritate victoria parta eſt: Ptolemæus enim repente ſe fugæ mandabat: Menelaus vero cum ſolviſſet e Salamine, ad ſocios periculo liberandos, etiam ipſe ſe fugienti Ptolemæo comitem præbuit.

8 Demetrius noctu Corinthum proditam ingrediebatur, proditoribus portas ad Coryphen patefacientibus. Metuens autem, ne qui erant in urbe, ex inſidiis irruptionem facerent, abſtraxit eos, multasque copias portis ad Lechæum adduxit. Quæ cum ingentem clamorem tollerent, Corinthii ad vociferationem univerſi concurrebant. Interim proditores apertis portis ad Coryphen, hoſtes receperunt. Ita Demetrius Corinthum cepit, Corinthiis portas Lechæum ſpectantes cuſtodientibus.

9 Demetrius adverſus Lacedæmonios caſtrametabatur. Utrosque in medio interpoſitus mons Arcadius Lycæus a ſe mutuo ſeparabat. Macedones non vacabant metu, quod ejus montis peritiam non haberent. Cum Boreas vehe-

σιν εἰς τοὺς πολεμίους· Δημήτριος πῦρ ἐμβαλὼν, ἀνῆψε [76] τὴν πύλην. ἡ δὲ φλὸξ μετὰ τοῦ πνεύματος καὶ τοῦ καπνοῦ τοῖς Λακεδαιμονίοις ἐμπεσοῦσα, πάντας ἀπέστρεφεν· οἱ δὲ ἀμφὶ τὸν Δημήτριον ἐπεξελθόντες, θυμῷ καὶ σιδήρῳ Λακεδαιμονίους ἐνίκησαν.

ι´ Δημήτριος ἀνεχώρει διὰ στενῆς ὁδοῦ· Σπαρτιᾶται κατὰ τὴν οὐραγίαν προσβαλόντες, πολλοὺς ἐτίτρωσκον· ὁ δὲ πλῆθος ἁμαξῶν σωρεύσας κατὰ τὸ στενώτατον τῆς δυσχωρίας πῦρ ἐνῆκεν· οἱ μὲν πολέμιοι τὴν πυρκαϊὰν ὑπερβαίνειν οὐκ ἠδύναντο· ἐφ᾽ ὅσον δὲ συνέβαινεν καταφλέγεσθαι τὰς ἁμάξας, Δημήτριος προλαβὼν ἐξέφυγε τοὺς διώκοντας.

ια´ Δημήτριος κήρυκα πρὸς Βοιωτοὺς πέμψας, πόλεμον ἐπήγγειλεν· ὁ μὲν κῆρυξ ἐν Ὀρχομενῷ τοῖς Βοιωτάρχαις τοῦ πολέμου τὴν ἐπιστολὴν ἀνέδωκε· Δημήτριος δὲ ἐν Χαιρωνείᾳ τῇ ὑστεραίᾳ ἐστρατοπέδευσε. κατεπλάγησαν οἱ Βοιωτοὶ πόλεμον ἀγγελλόμενον ὁμοῦ καὶ παρόντα.

ιβ´ Δημήτριος Λύκον ποταμὸν ὀξύτατον ἐπεραιοῦτο, πεζοῖς μὲν οὐ διαβατὸν, ἱππεῦσι δὲ, τῶν ἱππέων ὅσοι μεγίστους καὶ [77] στενοβριθεῖς ἵππους εἶχον. ἐς τετραφαλαγγίαν

76 Lego τὴν ὕλην. *Caſ.* 77 Σθενοβριθεῖς. *Idem.*

vehementi flatu in hoſtes ferretur, Demetrius ſubjectis ignibus, portam incendebat. Flamma cum impetu et fumo in Lacedæmonios irruens, omnes avertebat. At Demetrii milites inſtantes, furore ac ferro Lacedæmonios ſuperabant.

10 Demetrius per anguſtam viam revertebatur: cum Spartiatæ extremum agmen adorti, plurimos vulnerarent: ille curruum multitudine coacervata, in anguſtiſſimo, difficillimoque loco ignem ſubdidit. Hoſtes incenſum ignem tranſire non poterant. Donec vero currus omnes comburerentur, Demetrius hoſtes antevertens, perſequentium vim effugit.

11 Demetrius miſſo ad Bœotos feciali, bellum eis denuntiabat. Fecialis quidem Orchomeni Bœotarchis epiſtolam belli nuntiam reddidit. Poſtridie vero Demetrius in Chæronea caſtra locavit. Perterruit Bœotos bellum ſimul annuntiatum et præſens.

12 Demetrius Lycum fluvium rapidiſſimum tranſmittebat, peditibus nequaquam pervium, equitibus autem illis duntaxat, qui maximos et robuſtiſſimos equos haberent: quadruplicem aciem inſtructam

γίαν [78] ἀντέστησε τῷ ῥεύματι· τούτοις τὸ ὀξὺ τοῦ ποταμοῦ περικλώμενον, ῥᾴονα τὴν διάβασιν τοῖς πεζοῖς παρέσχεν.

ΚΕΦ. Η.

ΕΥΜΕΝΗΣ.

Εὐμένης ὑπὸ Γαλατῶν ἐδιώκετο, τοῦ σώματος ἀῤῥώστως ἔχων κομιζόμενος ἐν φορείῳ· βραδεῖαν δὲ τὴν φυγὴν ποιούμενος, καὶ ἤδη καταλαμβανόμενος, ἰδὼν ἐν τῇ παρόδῳ γεώλοφον, προσέταξε τοῖς κομίζουσιν ἐπὶ τοῦτον θεῖναι τὸ φορεῖον. οἱ βάρβαροι πλησίον ὄντες, καὶ νομίσαντες οὐκ ἄν ποτε τοῦτο ποιῆσαι τὸν Εὐμένη, μὴ οὐχὶ μεγάλην ἔχοντα βοήθειαν ἐγγὺς ἀποκεκρυμμένην, τοῦ διώκειν ἀπέστησαν.

β′ Εὐμένης ἤδη συνιεὶς τῶν Ἀργυρασπίδων ἀρχομένων νεωτερίζειν, [79] μάλιστα δὲ Ἀντιγένους καὶ Τευταμάτου, οἱ στρατηγοὶ τούτων ἦσαν, ὑπερηφάνως πρὸς αὐτὸν διακειμένων, καὶ βαδίζειν ἐπὶ τὴν σκηνὴν αὐτοῦ κατοκνούντων· συγκαλέσας τοὺς ἡγεμόνας, ἐνύπνιον ἔφη τοῦτο δεύτερον ἑωρακέναι,

78 *Fl.* ἀντίους ἔστησε. *Caut.* ἐναντίαν ἔστησε. 79 *Fl.* ἀλλὰ μὲν Ἀντ. *Cant.* ἀλλὰ μὴν Ἀντ. quomodo etiam legit *Interpres*, et in ſuis quoque invenit *Caſaub.*

ſtructam exadverſum fluctus collocavit. His fracta rapiditas fluminis, tranſitum peditibus faciliorem præbuit.

CAP. VIII.

EUMENES.

Eumenes Galatas perſequentes fugiebat, imbecilla corporis valetudine præditus, et in lectica decumbens. Cum non ſatis celeriter fugam maturaret, et jam interciperetur, conſpicatus prope viam collem, mandavit iis qui lecticam portabant, ut in hoc eam deponerent. Barbari proxime ſequentes, arbitrati nunquam hoc Eumenem facturum fuiſſe, niſi magnam aliquam manum in propinquo auxilii cauſſa latitantem haberet, a perſequendo deſtiterunt.

2 Eumenes, cum intelligeret Argyraſpides jam novas res moliri, duces autem eorum Antigenes et Teutamates ſuperbe ſe erga illum gererent, et venire ad tabernaculum ejus intermitterent: convocatis ducibus, hoc inſomnium ſe ajebat ſecundo jam

κόνῃ; διαπειλήμενον, 80 εἰ μὲν πεισθείημεν, κοινὴν σωτηρίαν· εἰ δὲ μὴ, κοινὸν ἅπασιν ἔσεσθαι κίνδυνον. 81 ἦν δὲ Ἀλέξανδρος ὁ βασιλεὺς σκηνῆς ἐν μέσῳ στρατοπέδῳ τεθείσης προκαθήμενος ἐν θρόνῳ χρυσῷ, σκῆπτρον ἔχων, χρηματίζων ἅπασι· καὶ δὴ προσέταξε τοῖς ἡγεμόσι, μηδὲν τῶν κοινῶν καὶ βασιλικῶν διοικεῖν, ἔξω τῆς βασιλικῆς σκηνῆς· καὶ καλεῖν ταύτην μόνην Ἀλεξάνδρου σκηνήν. προσεκύνησαν οἱ Μακεδόνες τὸν Ἀλέξανδρον· καὶ συνεβούλευσαν ἐκ τῶν βασιλικῶν χρημάτων σκηνὴν κατασκευάσαι βασιλικὴν, καὶ θρόνον χρυσοῦν βασιλικῶς κεκοσμημένον· ἐπὶ δὲ τούτου χρυσοῦν στέφανον ἔχοντα διάδημα βασιλικόν· καὶ παρὰ τὸν θρόνον ὅπλα, καὶ μέσον σκῆπτρον, καὶ πρὸ τοῦ θρόνου τράπεζαν χρυσῆν· ἐπὶ δὲ ταύτης ἐσχαρίδα καὶ λιβανωτίδα χρυσῆν· καὶ λιβανωτὸν, καὶ θυμιάματα εὐώδη· ἀλλὰ μὴν καὶ δίφρους ἀργυροῦς 82 εἶναι ἐν τῇ σκηνῇ, ἐφ' ὧν οἱ πάντες ἡγεμόνες βουλεύοιντο περὶ τῶν κοινῶν πραγμάτων.

80 Mſſ. εἰ μὲν πεισθείημεν, κοινὸν ἅπασιν ἔσεσθαι κίνδυνον. intermediis omiſſis, quæ nec *Interpres* agnoſcit; ſed tum neceſſario cum eo legendum, εἰ μὴ πεισθ. 81 Mſſ. ἦν δὲ Ἀλέξανδρος ὁ βασιλεὺς ἐν μέσῳ στρατοπέδῳ προκαθήμενος ἐν σκηνῇ, σκῆπτρον ἔχων. cum quibus conſentit *Interpres*; quare vulgato prætulerim. *Maſv.* 82 Mſſ. καὶ.

jam vidiſſe: interminans, niſi mos gereretur, communiter omnes in periculum venturos. Erat autem ejusmodi: Alexander rex in mediis caſtris ſedens in tabernaculo, ſceptrumque tenens, omnibus jura dabat, et ducibus imperabat, ne quod commune vel regium negotium extra regium tabernaculum tranſigerent, et hoc ſolum appellarent Alexandri tabernaculum. Adorarunt Macedones Alexandrum, et regiis pecuniis regium tabernaculum ædificandum deliberato conſilio curarunt, ſedem auream regiis ornamentis inſtructam, atque in ea coronam auream regio diademate præditam: ac juxta ſedem arma, medium inter ea ſceptrum, et ante ſedem menſam auream, ſuper hanc autem foculum et thuribulum aureum, atque thura, ſuffituaque odoratos. Item ſellas argenteas etiam in tabernaculo, in quibus duces de rebus communibus conſilia caperent.

μάτων. ταῦτα μὲν δὴ κατεσκευάσαντο. Εὐμένης δὲ τὴν αὐτοῦ σκηνὴν ἤγειρε παρὰ τὴν Ἀλεξάνδρου, καὶ οἱ ἄλλοι ἡγεμόνες ἐφεξῆς· οὕτω δὴ συνέβαινε τὸν Εὐμένη εἰσιόντας πάντας ἐκείνους ἡγεμόνας ὑποδέχεσθαι, μεθ' ὧν Ἀντιγένης καὶ 83 Τευταμάτης, οἱ στρατηγοὶ τῶν Ἀργυρασπίδων, ἐβάδιζον τῷ μὲν ἔργῳ πρὸς Εὐμένη, τῇ δὲ τιμῇ πρὸς Ἀλέξανδρον.

γ' Εὐμένης ἐν τῇ Περσίδι τοὺς στρατιώτας ὁρῶν ὑπὸ Πευκέστου δημαγωγουμένους οἴνῳ, καὶ διανομαῖς, δεδοικὼς μὴ περισπάσῃ πᾶσαν τὴν ἡγεμονίαν, ἐπιστολὴν προήνεγκεν ὡς παρὰ Ὀρόντου τοῦ σατράπου τῆς Ἀρμενίας γεγραμμένην Συρίοις γράμμασι, δηλοῦσαν ὡς Ὀλυμπιὰς ἐξ Ἠπείρου κατελθοῦσα τὸν υἱὸν ἄγουσα τὸν Ἀλεξάνδρου, 84 βιαίως 85 Μακεδονίαν ἔχει Κασσάνδρου ἀναιρεθέντος. Μακεδόνες ταῦτα ἀκούσαντες, Πευκέστου μὲν ἐπελάθοντο, τὴν δὲ Ἀλεξάνδρου μητέρα καὶ τὸν υἱὸν μετὰ πολλῆς ἡδονῆς καὶ χαρᾶς 86 βασιλέας ἀνηγόρευον.

δ' Εὐμέ-

83 *Cant.* Τευτάμης. 84 Apud Diodorum, unde hæc deſcripta videntur, non eſt *βιαίως*, ſed *κυρίως*. *Caſaub.* 85 *κ. ς.* Μακεδονίας. ἀναιρεθέντος neuter agnoſcit. 86 Nec MſS. nec *Interpres* βασιλέας agnoſcunt.

rent. Hæc ad dictum modum apparabant. Eumenes vèro ſuum juxta Alexandri tabernaculum erigebat, aliique duces ex ordine deinceps. Sic accidit, ut Eumenes ingreſſus, omnes duces exciperet: cum quibus Antigenes etiam et Teutamates, Argyraſpidum duces, commeabant, ſi rem ſpectes, ad Eumenem: ſi honorem, ad Alexandrum.

3 Eumenes cum in Perſide milites videret a Peuceſte ſollicitari vino et largitionibus, metuens ne univerſum imperium ad ſe transferret, litteras protulit, quaſi ab Oronte Armeniæ ſatrapa Syriacis characteribus ſcriptas, in eam ſententiam: Olympiadem ex Epiro deſcendere, et Alexandri filium adducere, atque vi Macedoniam tenere, Caſſandro ſublato. Macedones his auditis, Peuceſtem e memoria depoſuerunt: Alexandri vero matrem, ejusque filium ſumma cum voluptate et gaudio promulgarunt.

4 Eu-

γ Εὐμένης ἐν τῇ Περσίδι τὴν δύναμιν ἀφῆκε κατὰ κώμας χειμάζουσαν· Ἀντίγονος τοῦτο πυθόμενος ἐπήρχετο. [87] Πευκέστης πέμψας ἤγγειλεν Εὐμένει· ὁ δὲ τοὺς ἡγεμόνας ἐκέλευσε νύκτωρ μετὰ τῶν ἰδίων παίδων, πῦρ ἐν ἀγγείοις ἔχοντας τὰ μετέωρα τῆς χώρας καὶ ἄποπτα περιϊππεύσαντας ἐπὶ στάδια ἑβδομήκοντα, [88] διϊστάντας ἀπ᾽ ἀλλήλων ὅσον πήχεις εἴκοσιν, ὕλην ἱκανὴν καῦσαι, τὰ δὲ πυρὰ καίειν, πρώτης μὲν φυλακῆς δαψιλῆ, δευτέρας δὲ ἐλάττω, τρίτης δὲ μικρὰ παντάπασιν· ὡς τὴν μίμησιν ἀληθινῇ στρατοπεδείᾳ προσεοικέναι. ταῦτα ὁρῶντες οἱ περὶ τὸν Ἀντίγονον, ἐνόμισαν συνῆχθαι τῷ Εὐμένει τὴν δύναμιν ἅπασαν. καὶ μὴ θαῤῥήσαντες ἐπελθεῖν, ἄλλην ὁδὸν ἐτράποντο, τὴν οὐ κατεχομένην ὑπὸ τῶν πολεμίων.

ε Εὐμένης τοὺς στρατιώτας βουλομένους ἁρπάσαι τὴν ἀποσκευὴν τῶν πολεμίων, ἀπέτρεπεν, ὡς οὐ συμφέρει· ἐπεὶ δ᾽ οὐκ ἔπειθεν, αὐτὸς πέμψας ὡς τοὺς πολεμίους, προεῖπεν αὐτοῖς τὴν ἀποσκευὴν φυλάττειν· ἰδόντες οἱ στρατιῶται φυλακὰς ἀσφαλεστέρας, ἀπέσχοντο.

ΚΕΦ. Θ.

87 MſS. Ἑυμενὴς πέμψας ἤγγειλεν αὐτῷ. τοὺς κ. τ. λ.
88 MſS. διαστάντας.

4 Eumenes in Perſide copias dimiſit vicatim hibernatum. Antigonus hoc audito, viam ad eos cum infeſto exercitu adfectabat. Peuceſtes miſſis nuntiis certiorem Eumenem fecit. Præcepit is vero, ut duces noctumo tempore cum ſuis pueris ignem in teſtis ferentes, ſublimiora regionis loca, et e longinquo conſpicua equis peragrarent ad ſeptuaginta ſtadia: relictoque inter ſe viginti cubitorum ſpatio, plurimam materiam incenderent, ignesque facerent prima quidem vigilia largiores, ſecunda tenuiores, tertia prorſus exiles, ſic ut imitatio veram caſtrametationem referret. Hæc cernentes Antigoni milites, omnes copias ab Eumene contractas in unum locum arbitrabantur: neque auſi in eos impetum facere, aliam viam capeſſerunt, quæ ab hoſtibus non tenebatur.

5 Eumenes milites hoſtium impedimenta diripere paratos deterrebat, et non prodeſſe affirmabat. Cum vero perſuadere non poſſet, ipſe miſit ad hoſtes, præmonuitque ut impedimenta ſumma cura tuerentur. Milites conſpicati præſidia firmiora a propoſito deſtiterunt.

ΚΕΦ. Θ.

ΣΕΛΕΥΚΟΣ.

Σέλευκος Ἀντιγόνῳ παρετάσσετο. ἦν ἴση τῆς μάχης ἡ κρίσις. ἐπεὶ δὲ νὺξ [89] προΐει, ἔδοξεν ἀμφοῖν [90] δεῖν εἰς τὴν ὑστεραίαν ὑπερβαλέσθαι. οἱ μὲν Ἀντιγόνου στρατοπεδεύουσιν ἀφοπλισάμενοι. Σέλευκος δὲ προσέταξεν τοῖς αὐτοῦ στρατιώταις [91] ἐνόπλοις δειπνῆσαι, καὶ κοιμηθῆναι, τὸ σχῆμα τῆς τάξεως φυλάσσοντας. ὄρθρος ἦν βαθὺς οἱ μὲν Σελεύκειοι προσῆλθον ὡπλισμένοι, καὶ συντεταγμένοι. οἱ δὲ Ἀντιγόνειοι καταληφθέντες ἄοπλοι, καὶ ἀσύντακτοι, ταχέως τοῖς πολεμίοις τὸ νῖκος ἔδωκαν.

β΄ Σέλευκος ἀντεστρατοπέδευε Δημητρίῳ. ἀλλ᾽ ὁ μὲν μέγα φρονῶν Σέλευκος· ἀπεγνωκὼς δὲ τῶν πραγμάτων Δημήτριος· νὺξ ἦν· ἔδοξε νυκτομαχῆσαι Δημητρίῳ, ὡς [92] ἐξ ἐπινοίας τὶ κατεργασομένῳ· προθύμως ὑπήκουον οἱ στρατιῶται, τὸ παράλογον τὸ τῆς ἐπιθέσεως ἐφόδιον ὑστάτης ἐλπίδος ἔχοντες· οἱ μὲν δὴ ἀνακινούμενοι ὡπλίζοντο· Αἰτω-

89 Scribe προσχέει. *Caſaub.* προϊέει. *Cant.* 90 Verbum δεῖν uterque Codex non agnoſcit. 91 ἐν ὅπλοις. *Caſ.* 92 Ἐξαπιναίως. conject. *Caſaub.*

CAP. IX.

SELEUCUS.

Seleucus cum Antigono prælium committebat, erat pugna æqualis. Ingruente vero nocte, viſum eſt utriſque conflictum in poſterum diem differre. Interea milites Antigoni armis exuti, caſtrametabantur. At Seleucus præcepit ſuis militibus, ut in armis cœnam ſumerent, et ſomnum caperent, atque aciei figuram conſervarent. Summo mane Seleucii accedebant armati, acie inſtructa. Antigonei vero circumventi, inermes et diſſipati, ſtatim victoriam hoſtibus dederunt.

2 Seleucus contra Demetrium caſtra figebat. Seleucus quidem magnum animum habebat, Demetrius contra rebus deſperatis omnibus, ſub nocte ſtatuit præliari, ſperans ſe repentino motu aliquid memorabile facturum. Milites promtiſſime morem gerebant, et inſperato incurſu ſpem alebant. Illi moti armabantur. Ætoli vero

Αἰτωλοὶ δὲ πελτασταὶ Δημητρίου δύο νεανίαι ἐντυχόντες προφυλακῇ Σελεύκου, τὴν ταχίστην ἄγειν αὐτοὺς ἠξίωσαν ὡς βασιλέα· ἐπεὶ δὲ ἦλθον, ἤγγειλαν τῆς νυκτομαχίας τὴν παρασκευήν· Σέλευκος δείσας μὴ τῆς ὁπλίσεως τῶν στρατιωτῶν ὀξυτέρα τῶν πολεμίων ἡ ἔφοδος γένοιτο, προσέταξε τοῖς μὲν σαλπιγκταῖς τὸ πολεμικὸν σημαίνειν· τοῖς δὲ στρατιώταις ὁπλιζομένοις ἀλαλάξαι μέγιστον· ἕκαστον δὲ ἀνὰ τὴν κλισίαν πῦρ ἐμβαλεῖν τοῖς παροῦσι φρυγάνοις· ὁρῶν Δημήτριος περιλαμπομένην πυρὶ τὴν στρατιὰν, ταῖς σάλπιγξι περιηχουμένην, ἀλαλαγμὸν ἐγείρουσαν, ὡς ἀντιπαρεσκευασμένην, οὐκ ἐθάῤῥησεν ἐπιθέσθαι.

γ′ Σέλευκος τῶν Δημητρίου στρατιωτῶν ἀθύμως διακειμένων, τοὺς ἀνδρωδεστάτους τῶν ὑπασπιστῶν ἐπιλεξάμενος, καὶ προστάξας ἐλέφαντας ὀκτὼ διὰ στενῆς ἀτραποῦ παρὰ πλευρὸν τῶν πολεμίων βαδίζων, ἀποῤῥίψας τὸ κράνος, ἀνεβόα, Μέχρι που μαίνεσθε λῃστάρχῳ λιμώσσοντι παραμένοντες, δυνάμενοι πλουτοῦντι βασιλεῖ μισθοφορεῖν, καὶ βασιλείας μετέχειν οὐκ ἐλπιζομένης, ἀλλὰ παρούσης· τούτων ἀκούσαν-

vero ſcutati Demetrii duo juvenes cum in primas Seleuci excubias incidiſſent, rogarunt, ut ſe quamprimum ad regem ducerent. Qui poſtquam veniſſent, nocturnique prælii apparatum nuntiaſſent, metuens Seleucus, ne ante hoſtes præſto eſſent, quam ſuis armandi facultas daretur, tubicines claſſicum canere juſſit. Milites vero inter armandum maxima vociferatione exclamare, et unumquemque in ſingulis tabernaculis ignem præſentibus ſarmentis injicere. Demetrius cum igni circumfulgere exercitum cerneret, tubicinibusque circumſonare, ac vociferationem edere, exiſtimans apparatos ad pugnam eſſe, non audebat eos aggredi.

3 Seleucus, cum Demetrii milites admodum timidi eſſent ac trepidi, fortiſſimos ex ſatellitibus delegit, et elephantos octo in fronte præpoſuit, per anguſtum ſeceſſum ad latus hoſtium incedens, abjecta galea, magna voce exclamabat: Quouſque tandem inſanietis, prædonumque dominum fame confectum ſequemini: cum apud regem divitiis affiuentem ſtipendia merere poſſitis, et regno non in ſpe poſito, ſed præſenti perfrui. His auditis

 pleri-

κύσαντες οἱ πλεῖστοι, τὰ δόρατα καὶ ξίφη ῥίψαντες ἀνέσεισαν τὰς χεῖρας, προστιθέμενοι Σελεύκῳ.

δʹ Σέλευκος τὴν Σαρδίων ἄκραν ἐπόρθει τοὺς ἐν αὐτῇ θησαυροὺς Θεοδότου φυλάσσοντος· τοῦτον θησαυροφύλακα Λυσίμαχος ἔταξε· μὴ δυνάμενος τὴν ἄκραν ἰσχυρὰν οὖσαν ἑλεῖν, ἐκήρυξε τάλαντα ἑκατὸν δώσειν τῷ κτείναντι Θεόδοτον. ἦν οὖν καὶ τῶν στρατιωτῶν πολλοῖς ἐπιθυμία τῶν ἑκατὸν ταλάντων· καὶ τῷ Θεοδότῳ πρὸς τοὺς στρατιώτας ὑποψία καὶ φόβος· ὁ μὲν οὖν οὐδὲ προῄει· πολλοὶ δὲ ἠγανάκτουν ἀπιστούμενοι· τοιαύτης ταραχῆς οὔσης, φθάσας Θεόδοτος, πυλίδα νύκτωρ ἀνοίξας, εἰσαγαγὼν Σέλευκον, ἐξέδωκεν αὐτῷ τοὺς θησαυρούς.

εʹ Σέλευκος Δημητρίου στρατοπεδεύοντος ὑπὸ τοῖς λόφοις Ταύρου, δεδοικὼς μὴ λαθὼν ἐπὶ Συρίας ἀναχωρήσῃ, ἔπεμψε Λυσίαν μετὰ πολλῶν Μακεδόνων ἐπὶ τὰ ὄρη τὰ ὑπερκείμενα τῶν Ἀμανίδων πυλῶν, ᾗ τὴν πορείαν ἔμελλε ποιεῖσθαι, προστάξας πυρὰ καῦσαι πολλά. Δημήτριος προκατειλημμένους ὁρῶν τοὺς τόπους, τῆς πορείας ταύτης ἀπετράπετο.

ϛʹ Σέλευ-

plerique haſtas atque enſes abjecerunt, comploſisque manibus Seleuco acceſſerunt.

4 Seleucus Sardenſium arcem oppugnabat. In ea Theodotus præerat cuſtos theſauris, quod officium ei a Lyſimacho demandatum fuerat. Cum arcem ob munitionem capere non poſſet, proclamari juſſit, ſe centum talenta daturum ei, qui Theodotum occidiſſet. Unde factum eſt, ut et milites multos centum talentorum cupiditas invaderet, et Theodotus valde ſuſpectos haberet milites, ac ab illis ſibi metueret. Hic igitur ne prodiit quidem in publicum, ob eam cauſſam. Vulgus vero moleſte ferebat, ſibi fidem non haberi. in hac omnium perturbatione, Theodotus antevertens, noctu portam aperuit, et introducto Seleuco theſauros ei tradidit.

5 Seleucus, Demetrio ſub collibus Tauri caſtrametante, metuens, ne clam Syriam verſus diſcederet, Lyſiam cum magna Macedonum manu in montes Amanidis anguſtiis impendentes miſit, qua iter erat facturus, mandans ut plurimos ignes incenderent. Demetrius cum hæc loca præoccupata eſſe videret, profectione deſtitit.

6 Seleu-

ϛʹ Σέλευκος ἐς Κιλικίαν φυγὼν, ἐκ τῆς μάχης τῆς πρὸς τοὺς βαρβάρους, ἵνα μηδὲ οἱ φίλοι μάθοιεν ὅτι μετ᾽ ὀλίγων τυγχάνει φεύγων, Ἀμακτίονος τοῦ ἡγεμόνος 93 τῆς βασιλικῆς ἤδη ὁπλοφόρος εἶναι προσεποιήσατο, ἐσθῆτα λαβὼν ἁρμόζουσαν ὁπλοφόρου σχήματι· ἐπεὶ δὲ πολὺ πλῆθος συνῆλθεν ἱππέων καὶ πεζῶν· τότε τὴν βασιλικὴν στολὴν ἀναλαβὼν, ἑαυτὸν τοῖς στρατιώταις ἔδειξεν.

ΚΕΦ. Ι.

ΠΕΡΔΙΚΑΣ.

Περδίκας Ἰλλυριῶν καὶ Μακεδόνων πολεμούντων, ἐπειδὴ πολλοὶ Μακεδόνες ἡλίσκοντο ζωγρεῖν, καὶ οἱ λοιποὶ λύτρων ἐλπίδι πρὸς τὰς μάχας ἦσαν ἀτολμότεροι· ἐπεκηρυκεύσατο περὶ λύτρων, ἐντειλάμενος τῷ κήρυκι ἐπανελθόντι ἀγγεῖλαι, ὡς ἄρα λύτρα Ἰλλυριοὶ μὴ προσίοιντο, ἀλλὰ ψηφίσειν τοὺς αἰχμαλώτους κτιννύειν. οἱ δὴ Μακεδόνες ἀπογνόντες τῆς διὰ τῶν λύτρων σωτηρίας, εὐτολμότεροι πρὸς τὰς μάχας ἐγένοντο· ὡς ἐν μόνῳ τῷ νικᾷν ἔχοντες τὸ σώζεσθαι.

βʹ Περ-

93 Scribendum forte τῆς βασιλικῆς ἴλης. *Maſv.*

6 Seleucus, cum in Ciliciam fugiſſet e prælio, quod cum barbaris commiſerat, ut ne amici quidem intelligerent, eum cum paucis ſe fugæ mandare, Amactionis ducis regiæ jam armigerum ſe eſſe ſimulabat, ſumtâ veſte ad habitum armigeri accommodata. Poſtea cum magna multitudo equitum, peditumque confluxiſſet, tum recepta ſtola regia, ſeipſum militibus conſpiciendum agnoſcendumque præbuit.

CAP. X.

PERDICCAS.

Perdiccas, Illyriis et Macedonibus bellum gerentibus, cum multi Macedones caperentur vivi, reliqui etiam redemtionis ſpe ad pugnam minus alacres erant. Quibus legationem inter ſe de redemtionis pretio mittentibus, præcepit legato, ut reverſus nuntiaret, Illyrios redemtionis pretium non accepturos, ſed condemnatos captivos morte affecturos. Macedones deſperata ſalute redemtione obtinenda, audaciores ad pugnandum reddebantur, quippe quibus in ſola victoria ſalus poſita eſſet.

2 Per-

β΄ Περδίκκας Χαλκιδεῦσι πολεμῶν ἀργυρῦ νομίσματος ἀπορέμενος, χαλκόκρατον κασσίτερον ἐχάραξε· καὶ ὕτως ἦν μισθοφορὰ τοῖς στρατιώταις· οἱ μὲν ἔμποροι τὸ βασίλειον νόμισμα ἐλάμβανον· ἐπεὶ δὲ ἦν ἀχρεῖον ὑπὲρ τὰς ὅρυς 94 ἀντιφόρτιζεν καρπὰς τὰς ἐπιχωρίας.

ΚΕΦ. ΙΑ.

ΚΑΣΣΑΝΔΡΟΣ.

Κάσσανδρος Νικάνορα φρυρῦντα τὴν Μυνυχίαν, καὶ πρὸς αὐτὸν κακοήθως ἔχοντα, τέχνῃ συνέλαβεν· ἀποπλεῖν τῆς Ἀττικῆς προσεποιήσατο· μέλλοντι δὲ αὐτῷ τῦ σκάφυς ἐπιβαίνειν προσελθὼν γραμματοφόρος, ἐπέδωκε γράμματα περὶ τῶν ἐν Μακεδονίᾳ φίλων, ὡς Μακεδόνων αὐτὸν καλύντων ἐς τὴν βασιλείαν διὰ τὴν πρὸς Πολυσπέρχοντα ὀργήν· ταῦτα ἀναγνὺς Κάσσανδρος, φαιδρὸς καὶ περιχαρὴς ἐγένετο. καὶ τὸν Νικάνορα παραπέμποντα ἐπισπασάμενος ἐυηγγελίσατο. καὶ, νῦν, ἔφη, ἄλλων ἡμῖν περὶ τῶν πραγμάτων ἐςὶ βυλευτέον· καὶ κοινῇ γνώμῃ τὴν ἀρχὴν διατά-

94 Scribendum ἀντεφόρτιζεν. *Caſ.*

2 Perdiccas cum Chalcidenſibus bellum gerens, deſtitutus argenteo numiſmate, ſtannum ære mixtum ſignavit, atque ita ſtipendium militibus ſuppetebat. Mercatores regium numiſma accipiebant. Cum vero extra fines nulli eſſet uſui, pro his regionis ſuæ frumenta ac fructus reddidit.

CAP. XI.

CASSANDER.

Caſſandar Nicanorem præſidentem Municħiæ, et iniquo animo adverſus ſe affectum, dolo cepit. Etenim ſe diſceſſurum ex Attica cum navibus præ ſe ferebat. Cui jam conſcenſuro navim, tabellarius litteras reddidit ab amicis, qui eſſent in Macedonia, quarum hæc erat ſententia: Macedones eum ad regnum capeſſendum arceſſere, propter civium in Polyſperchontem odium. His lectis, Caſſander lætabundus atque hilaris factus eſt. Et Nicanorem comitantem complexus gratulabatur: et, nunc, ajebat, nobis de aliis rebus conſultandum eſt, ac de communi ſententia imperium ordinan-

διατάξωμεν· ταῦτα λέγων ἡσυχῇ παρήγαγεν αὐτὸν εἴς τινα τῶν πλησίον οἰκιῶν, ὡς μόνῳ περὶ μεγάλων ἀποῤῥήτων διαλεγόμενος· ἦν δ᾽ ἐπὶ τῆς οἰκίας ἀποκεκρυμμένος λόχος ὑπασπιστῶν, οἱ συλλαβόντες Νικάνορα ἐφρούρουν· Κάσσανδρος δὴ παραχρῆμα συνήγαγεν ἐκκλησίαν· καὶ τοῖς βουλομένοις κατηγορῆσαι Νικάνορος ἐπέτρεψε· παρὰ δὲ τὸν καιρὸν τῆς κατηγορίας τὴν Μουνυχίαν 95 ἀνωχυρώσατο. Νικάνορος ἀδεῶς πολλὰ δράσαντος παρανόμως, θάνατον οἱ ἐπὶ τῆς ἐκκλησίας κατεψηφίσαντο.

β′ Κάσσανδρος ὁμοῦ μὲν ἐπολιόρκει Σαλαμῖνα, ὁμοῦ δὲ καὶ Ἀθηναίοις ἐναυμάχησε· νικήσας τῇ ναυμαχίᾳ ὅσους μετ᾽ Ἀθηναίων εἷλε Σαλαμινίους ἄνευ λύτρων ἀφῆκε· πυθόμενοι δὲ οἱ τὴν Σαλαμῖνα οἰκοῦντες προσεχώρησαν Κασσάνδρῳ, πιστεύσαντες αὐτοῦ τῇ φιλανθρωπίᾳ.

γ′ Κάσσανδρος Ὀλυμπιάδα καθείρξας ἐς Πύδναν τῆς Μακεδονίας, ἐπολιόρκει πολέμῳ. Πολυσπέρχων νύκτωρ ἔπεμψε πεντηκοντήρη πλησίον ὑφορμοῦσαν· ἧς ἐπιβῆναι τὴν Ὀλυμπιάδα προὔτρεπε διὰ γραμμάτων· ὁ γραμματοφόρος

95 *Vulgata* ὀχυρώσατο. *Cant.* ἀνεχυρώσατο. *Interpres* videtur legiſſe ἀνεχειρώσατο.

nandum. Hæc dicens, tacite perduxit eum in vicinam quandam domum, ac ſi cum ſolo de rebus magnis et arcanis diſſerere vellet. Erat autem in domo manipulus ſatellitum abſtruſus,qui comprehenſum Nicanorem cuſtodiverunt. Caſſander extemplo concionem convocavit, iisque qui Nicanorem vellent accuſare, poteſtatem conceſſit. Interea dum in eum crimina conferuntur, Munychiam recepit. Nicanori vero, qui multa ſcelera contra jus et fas licenter patraverat, mortem in concione adjudicarunt.

2 Caſſander eodem tempore Salaminem oppugnabat, et cum Athenienſibus navali prælio confligebat, parta victoria, omnes, quotquot cum Athenienſibus vicerat, Salaminios ſine redemtionis pretio miſit. Qua re audita, qui Salaminem habitabant, freti humanitate Caſſandri, ſe ei dediderunt.

3 Caſſander Olympiadem concluſam in Pydnam Macedoniæ civitatem, bello oppugnabat. Polyſperchon noctu miſit navem quinquaginta remorum proxime appellentem, Olympiademque ut eam conſcenderet, per litteras

φόρος ἁλοὺς ἀχθεὶς παρὰ Κάσσανδρον ὡμολόγει [96] τὴν πρᾶξιν ἐφ᾽ ἣν ἐστάλετο· ὁ δὲ τὴν μὲν ἐπιστολὴν ἐσφραγισμένην τῇ σφραγίδι τῇ Πολυσπέρχοντος ἐκέλευσεν αὐτὸν εἰσκομίσαι· μὴ μέν τοι προσειπεῖν ὡς Κάσσανδρος ταῦτα ἔγνω· καὶ ὁ μὲν εἰσεκόμισε· Κάσσανδρος δὲ τὴν πεντηκοντήρη συλλαβὼν, ἐποίησεν ἀφανῆ· Ὀλυμπιὰς πιστεύσασα τῇ σφραγίδι τῇ Πολυσπέρχοντος καὶ τοῖς γράμμασι, τῆς πόλεως προελθοῦσα νύκτωρ, οὐχ εὑροῦσα τὴν πεντηκοντήρη, ὡς δὴ καὶ Πολυσπέρχοντος ἐξαπατῶντος, ἠθύμησεν, καὶ παρέδωκεν ἑαυτὴν, καὶ τὸ ἄστυ τὸ [97] Πυδναῖον Κασσάνδρῳ.

δ᾽ Κάσσανδρος ἀπὸ τῆς Ἰλλυρίδος ἐπανιὼν, [98] ἐπισχὼν ὁδὸν ἡμέρας Ἐπιδάμνου, τὴν δύναμιν [99] ὑπογράψας, ἱππέας καὶ πεζοὺς πέμψας, ἐνέπρησε κώμας ὑψηλὰς κειμένας ἐπὶ τῶν ὁρίων Ἰλλυρίδος καὶ Ἀτιντανίδος, [100] καταφρονήσασαν τοῖς Ἐπιδαμνίοις. οἱ μὲν δὴ νομίσαντες ἀπεληλυθέναι Κάσσανδρον, προγεωργίαις προσεῖχον· ὁ δὲ τὴν

96 Mſſ. τὴν τάξιν. et ſic quoque Codd. *Caſaub.* 97 Πυδναίων *Cant.* 98 *Caſaub.* in margine ἀπέχων. 99 Mſſ. cum *Interprete* ἀπογράψας. ſed legendum cum *Caſaub.* ὑποκρύψας. 100 Legendum cenſeo τὰς συμφρονησάσας τοῖς Ἐπ. vel τὰς ταυτὰ φρονησ. *Caſ.*

ras hortabatur. Tabellarius captus, et ad Caſſandrum adductus, confitebatur, qua de cauſſa miſſus eſſet. Ille litteras obſignatas Polyſperchontis ſigillo, eum intro ferre juſſit, neque dicere, quod Caſſander eas legiſſet. Qui cum intro ferret, Caſſander navem quinquaginta remorum interceptam de medio removit. Olympias habita fide Polyſperchontis ſigillo et litteris, ſub noctem ex urbe progreſſa, cum navem quinquaginta remorum non reperiret, inſigniter doluit, et ſe a Polyſperchonte quoque deceptam exiſtimavit: atque ſeipſam, urbemque Pydnenſium Caſſandro tradidit.

4 Caſſander ab Illyride revertens, cum abeſſet unius diei itinere ab Epidamno, copias equeſtres, pedeſtresque deſcripſit, iisque miſſis incendit vicos excelſos, poſitos in finibus Illyridis et Atintanidis, qui cum Epidamniis fecerant. Illi diſceſſiſſe Caſſandrum arbitrati, progrediebantur ex urbe, colendoque

τὴν κεκρυμμένην δύναμιν ἀναςήσας, ἀπὸ μὲν τῶν ἔξω τῆς πόλεως ἔλαβεν ἐκ ἐλάττες ἀνδρῶν δισχιλίων· καὶ τὰς πύλας δὲ τῆς πόλεως ἀνεῳγμένας εὑρὼν, ἐπεισελθὼν τὴν Ἐπίδαμνον κατέσχε.

ΚΕΦ. ΙΒ.

ΛΥΣΙΜΑΧΟΣ.

Λυσίμαχος Αὐταριατῶν τὰς ἀποσκευὰς ἀπολεσάντων ἐν τῇ πρὸς Δημήτριον μάχῃ [101] περὶ Λάμψακον, φοβηθεὶς μή τι νεωτερίςωσιν οἱ βάρβαροι, πάντα ὅσα εἶχον ἀπολέσαντες, προαγαγὼν αὐτὰς ἔξω τῦ χάρακος, ὡς ἐπὶ σιτομετρίαν, σύνθημα δὺς ἀπέκτεινεν ἅπαντας. ἦσαν ἄνδρες πεντακισχίλιοι.

β Λυσίμαχος Ἀμφιπόλεως κρατήσας Ἀνδραγάθῳ προδόντες, πολλὰ καὶ μεγάλα χαρισάμενος αὐτῷ, μείζονα δὲ ὑποσχόμενος, ἐὰν εἰς τὴν Ἀσίαν αὐτῷ συναποδημήσῃ. ἐπεὶ δὲ πρὸς τὰς Θρακείας πύλας ἐγένετο, ὐ μόνον πάντα ὅσα ἐτύγχανεν ἔχων ἀφείλετο· ἀλλὰ καὶ αὐτὸν βασανίσας ἀπέκτεινεν.

* γ Λυ-

101 περὶ λάμψακα. Mſſ.

doque ruri operam dabant. At ille occultis copiis excitatis, non minus mille viris eorum, qui extra urbem erant, cepit: cumque portas urbis patefactas repeririſſet, ingreſſus Epidamno potitus eſt.

CAP. XII.

LYSIMACHUS.

Lyſimachus, cum Autariatæ ſuis impedimentis ſpoliati eſſent in pugna cum Demetrio ad Lampſacum facta, metuens, ne quid novarum rerum inciperent barbari omnibus poſſeſſionibus exuti, productos eos extra vallum, tanquam ad frumenti diſtributionem, dato ſigno omnes ad unum interfecit. Erant univerſi numero quinquies mille.

2 Lyſimachus, cum Amphipolim cepiſſet Andragathi proditione, multis et magnis eum muneribus ornavit: majoraque promiſit, ſi in Aſiam ſecum una proficiſceretur. Poſtquam vero ad Thracias anguſtias deventum eſſet, non ſolum omnibus bonis, quæ poſſidebat, eum ſpoliavit: verum etiam tormentis confectum, vita privavit.

3 Lyſi-

γ΄ Λυσίμαχος Ἀρίστωνα τὸν Αὐτολέοντος πρὸς Παίονας ἐπὶ τὴν πατρῴαν βασιλείαν κατῆγεν, ἵνα γνωρίσαντες τὸ βασιλικὸν μειράκιον προσοῖντο φιλοφρόνως αὐτόν. ἐπεὶ δὲ τὸν Ἀρίστωνα ἔλουσαν τὸ βασιλικὸν λουτρὸν ἐπὶ [102] τοῦ Ἀστυκοῦ ποταμοῦ, καὶ τὴν τράπεζαν τὴν βασιλικὴν παρέθηκαν παρὰ τὸ πάτριον ἔθος· Λυσίμαχος ἐσήμηνεν ἐξοπλίσασθαι. Ἀρίστων μὲν φυγὴν ἀφιππάσατο εἰς τὴν [103] Σαρδιέων· Λυσίμαχος δὲ Παιονίαν κατέσχεν.

ΚΕΦ. ΙΓ.

ΚΡΑΤΕΡΟΣ.

Κρατερός, Τυρίων ἐπιτιθεμένων, τοῖς ἐργαζομένοις τὸ χῶμα Μακεδόσι [104] τροπῆς αὐτῶν γενομένης ὑποχωρεῖν παρήγγειλεν· ἐπεὶ δὲ οἱ Τύριοι σφοδρῶς ἐπὶ μακρὸν διώξαντες ἔκαμον· ἐσήμηνεν ἀναστρέψαντας ἐμβαλεῖν τοῖς Τυρίοις. αὐτίκα δὴ οἱ μὲν διώκοντες ἔφευγον· οἱ δὲ φεύγοντες ἐδίωκον.

ΚΕΦ. ΙΔ.

102 Interpres legerat Ἀριστίβου. *Maſv.* mavult Ἀρίσβου, ſed ἀστυκοῦ videtur eſſe adjectivum. 103 Mſſ. Σαρδανέων. 104 Mſſ. πρὸ τῆς.

3 Lyſimachus Ariſtonem Autoleontis filium ad Pæonas in paternum regnum deduxit, ut cognito regio juvene, benevole et amice eum exciperent. Ubi vero Ariſtonem regio lavacro in Ariſtibo fluvio laviſſent, et menſam regiam more patrio appoſuiſſent, Lyſimachus ſignum ſuis dedit, ut ſeſe armarent, Ariſton correpta fuga ad Sardenſes equo evaſit. Ita Lyſimachus Pæoniam obtinuit.

CAP. XIII.

CRATERUS.

Craterus, Tyriis Macedones in muniendo vallo occupatos adorientibus hisque fugientibus, mandavit, ut longius recederent. Poſtquam vero Tyrii longa perſecutione vehementer eſſent defatigati, ſignum dedit ſuis, ut converſi in Tyrios impetum facerent: ſtatimque perſequentes fugerunt, et fugientes perſecuti ſunt.

CAP. XIV.

ΚΕΦ. ΙΔ.

ΠΟΛΥΣΠΕΡΧΩΝ.

Πολυσπέρχων τὰ ὄρια φυλασσόντων Πελοποννησίων, τοὺς αὐτοῦ στρατιώτας προὔτρεψε πρὸς τὸν κίνδυνον, πῖλον Ἀρκαδικὸν ἐπιθέμενος, καὶ τρίβωνα διπλοῦν ἐμπορπησάμενος, καὶ βακτηρίαν λαβὼν ἔφη πρὸς αὐτούς· πρὸς οὓς μὲν κινδυνεύειν μέλλομεν, ὦ συστρατιῶται, τοιοῦτοι τυγχάνουσιν ὄντες. ταῦτα δὲ ἀποθέμενος, καὶ τὴν πανοπλίαν λαβών· οἱ δὲ μέλλοντες πρὸς αὐτοὺς πολεμεῖν, τοιοῦτοι, μέχρι νῦν πολλοὺς καὶ μεγάλους ἀγῶνας νενικηκότες· ἀκούσαντες οἱ στρατιῶται ἠξίωσαν μηκέτι μέλλειν· ἀλλ᾽ εὐθὺς ἄγειν ἐπὶ τὴν μάχην.

ΚΕΦ. ΙΕ.

ΑΝΤΙΟΧΟΣ ΣΕΛΕΥΚΟΥ.

Ἀντίοχος βουλόμενος κρατῆσαι Δαμασκοῦ, ἣν ἐφύλασσε Δίνων Πτολεμαίου στρατηγὸς, ἐπήγγειλε τῇ στρατιᾷ, καὶ τῇ χώρᾳ πάσῃ, Περσικὴν ἑορτὴν θαλιάζειν· προστάξας ἅπασι τοῖς ὑπάρχοις ἀμφιλαφῆ κομίζειν εὐωχίας παρασκευήν.

CAP. XIV.

POLYSPERCHON.

Polyſperchon Peloponneſiis aditum obſidentibus, milites ſuos ad periculum adeundum confirmavit. Pileum Arcadicum impoſuit, et tunicam duplicem indutus, acceptoque baculo, dixit ad eos: Qui nos in periculum invocant, o commilitones, ejusmodi ſunt homines. Poſt, his depoſitis, et armatura recepta: Qui vero cum iis manum conſerent, inquit, ejusmodi, uſque in hoc tempus multorum, magnorumque bellorum victores. Quo audito, milites obſecrabant, ne amplius moram aliquam interponeret, ſed recta ad ineundam pugnam duceret.

CAP. XV.

ANTIOCHUS SELEUCI FILIUS.

Antiochus volens Damaſcum in ſuam poteſtatem redigere, quam Dinon Ptolemæi dux cum præſidio tenebat, præcepit exercitui atque univerſæ regioni, ut feſtum diem Perſarum ſumma celebritate agerent: mandavitque omnibus principibus, ut copioſum adferrent convivii appa-

σκευήν· ἐφ' ᾗ πανταχοῦ πανηγυρίζοντος Ἀντιόχου μετὰ πάντων, καὶ ὁ Δίνων πυνθανόμενος τὴν τρυφὴν τῆς ἑορτῆς, ἐχάλασε τὸ σφοδρὸν τῆς φυλακῆς. Ἀντίοχος δὲ προστάξας ἄπυρα σιτία τεσσάρων ἡμερῶν κομίζειν, ἤγαγε τὴν στρατιὰν, διά τε ἐρημίας, καὶ ἀτραπῶν περικρήμνων καὶ ἀπροσδοκήτως ἐκφανεὶς, αἱρεῖ Δαμασκὸν, Δίνωνος οὐ δυνηθέντος ἀντισχεῖν, Ἀντιόχῳ παρόντι.

ΚΕΦ. Iϛ.

ΑΝΤΙΟΧΟΣ ΑΝΤΙΟΧΟΥ.

Ἀντίοχος ἐπόρθει Κύψελα Θρᾴττιαν πόλιν, ἔχων σὺν αὐτῷ Θρακῶν εὐπατρίδας πολλοὺς, ὧν ἡγοῦντο Τίρις, καὶ Δρομιχαίτης. τούτους κοσμήσας στρεπτοῖς χρυσοῖς, καὶ ὅπλοις ἀργυροπάρτοις προῆλθεν ἐπὶ τὴν μάχην. οἱ δὲ ἀπὸ τῶν Κυψέλων ἰδόντες τοὺς ὁμοφύλους καὶ ὁμογλώσσους πολλῷ χρυσῷ καὶ ἀργύρῳ κεκοσμημένους, μακαρίσαντες αὐτοὺς τῆς μετ' Ἀντιόχου στρατείας, τὰ ὅπλα καταβαλόντες, Ἀντιόχῳ προσέθεντο· καὶ ἦσαν ἀντὶ πολεμίων σύμμαχοι.

ΚΕΦ. IZ.

apparatum. in quo celebrando cum prorſus occuparetur Antiochus, cum omnibus ſuis: etiam Dinon audito celebritatis luxu, aliquantum de excubiarum diligentia remiſit. Antiochus autem imperans, ut incoctum frumentum ad quatuor dies ſecum portarent, duxit exercitum per ſolitudinem, et vias præcipites, atque ex improviſo irruptione facta, capit Damaſcum, cum Dinon reſiſtere non poſſet Antiocho præſenti.

CAP. XVI.

ANTIOCHUS ANTIOCHI FILIUS

Antiochus oppugnabat Cypſela, Thraciam urbem, multosque ſecum habebat Thraces nobili genere natos, quibus præerant Tiris et Dromichætes. Hos ornavit torquibus aureis, et armis argenteis, atque ſic ad pugnam faciendam prodiit. Illi proſpicientes e Cypſelis cives ſuos et patria lingua utentes, multo auro argentoque exornatos, beatos eos prædicabant, qui ſub Antiocho ſtipendia mererent, et abjectis armis, Antiocho ſe dediderunt, et pro hoſtibus ſocii facti ſunt.

CAP. XVII.

ΚΕΦ. ΙΖ.

ΑΝΤΙΟΧΟΣ ΙΕΡΑΞ.

Ἀντίοχος Σελεύκου τοῦ ἀδελφοῦ ἀποστὰς ἔφυγεν εἰς τὴν μέσην τῶν ποταμῶν. ὅτε καὶ αὐτὸν τὰ τῶν Ἀρμενίων ὄρη διελθόντα φίλος ὢν Ἀρσάβης ὑπεδέξατο· στρατηγοὶ Σελεύκου Ἀχαιὸς καὶ Ἀνδρόμαχος μετὰ πολλῆς δυνάμεως ἐδίωκον· πολλὴ μὲν αὐτῶν ἐγένετο ἡ παράταξις· τέλος τρωθεὶς Ἀντίοχος ὑποφεύγει ἐς τὴν ὑπερκειμένην ὑπώρειαν τῆς στρατιᾶς, ἣ ἦν 105 ὁμαλεῖ στρατοπεδεύουσα ὑπὸ ταῖς λαγόσι τοῦ ὄρους. φήμην δὲ διέδωκεν ὡς Ἀντίοχος ἐν τῇ μάχῃ πεπτώκει· τῆς δὲ στρατιᾶς οὐκ ὀλίγον μέρος νύκτωρ ἐκέλευσε καταλαβέσθαι τὰς ὑπωρείας· μεθ' ἡμέραν πρεσβευτὰς ἔπεμψαν οἱ Ἀντιόχου στρατιῶται, Φιλέταιρον ἡγεμόνα Κρῆτα, καὶ Διονύσιον Λυσιμαχέα, ὑπόσπονδον Ἀντιόχου τὸ σῶμα αἰτούμενοι, καὶ σφᾶς αὐτοὺς, καὶ τὰ ὅπλα παραδιδόντες. Ἀνδρόμαχος οὐδέπω μὲν ἔφη τὸ Ἀντιόχου σῶμα εὑρέσθαι. ζητεῖσθαι δὲ πεπτωκὸς εἴσω ἐν τοῖς δεσμοῖς.

105 Deeſt ἐν; quod ſi addas, omnia ſunt plana. Particula δὲ poſt φήμην cum utroque Codice omitti poteſt.

CAP. XVII.

ANTIOCHUS HIERAX.

Antiochus a Seleuco fratre defectione facta, profugit in Meſopotamiam. Itaque eum Armeniorum montes transgreſſum, Arſabes, cum quo ei amicitia intercedebat, excepit. Duces Seleuci Achæus et Andromachus cum infinitis copiis perſequebantur, et magno quidem impetu manum conſerebant. Tandem Antiochus accepto vulnere, profugit in montis colles inferiores, qui imminebant exercitui in planitie ſub lateribus montis caſtrametanti: et famam divulgavit, Antiochum in prælio cecidiſſe. Exercitus vero non exiguam partem noctu colles montis inferiores occupare juſſit. Sequenti die legatos miſerunt Antiochi milites, Philetærum Cretenſem, et Dionyſium Lyſimacheum, certisque conditionibus Antiochi corpus ad ſepeliendum poſtularunt, ſeipſos atque arma tradentes. Andromachus nondum, inquit, Antiochi corpus inventum eſt: quærerent cadaver apud ſe in vinculis: ſe miſſurum, qui arma et milites acciperent. Ve-

δεσμοῖς. πέμψειν δὲ τοὺς παραληψομένους τά τε ὅπλα καὶ τοὺς στρατιώτας. ἧκον ἄνδρες τετρακισχίλιοι, οὐ πρὸς μάχην ἐσκευασμένοι, ἀλλὰ πρὸς παράληψιν αἰχμαλώτων ἐσταλμένοι· ἐπεὶ δὲ ὑπὸ ταῖς λαγόσι τοῦ ὄρους ἐγένοντο, οἱ τὰς ὑπωρείας προκαταλαβόντες, ἄνωθεν ἐπιχυθέντες πολὺν αὐτῶν φόνον εἰργάσαντο. Ἀντίοχος δὲ σχῆμα τὸ βασίλειον ἀναλαβὼν, ἐπεφάνη, δείξας αὐτὸν καὶ ζῶντα καὶ νικῶντα.

ΚΕΦ. ΙΗ.

ΦΙΛΙΠΠΟΣ ΔΗΜΗΤΡΙΟΥ.

Φίλιππος Ῥοδίων πόλιν ἐν τῇ περαίᾳ Πρινασσὸν ἐπόρθει· τῶν δὲ τειχῶν καρτερῶν ὄντων, ἐπεχείρησεν ὑπορύττειν· πέτρας δὲ στερεωτάτης ἐν τῇ διώρυχι φανείσης, καὶ τοῖς μεταλλευτικοῖς ὀργάνοις μηδαμῶς εἰκούσης, ἐκέλευσε Φίλιππος μεθ' ἡμέραν μὲν ἐπὶ τὴν διωρυχὴν καταβαίνειν· τοῖς ὑπορυττομένοις δὲ καὶ προκαλύμματα ὑπερέτεινεν, ὡς βουλόμενος λανθάνειν· τὰ δὲ ἦν ἄρα φανερὰ τοῖς πολεμίοις ἀπὸ τῶν τειχῶν ὁρῶσι· νύκτωρ δὲ ἐκέλευσε τοὺς στρατιώτας ἀπὸ σταδίων ὀκτὼ, ἢ δέκα, ἔκ τινος βαθείας φά-

ραγγος

nerunt quatuor millia virorum, non ad pugnam faciendam parati, ſed ad accipiendos captivos inſtructi. Qui poſtquam ad latera montis veniſſent, hi qui colles occuparant, deſuper effuſi, magnam eorum ſtragem ediderunt. Antiochus vero regio habitu recepto apparuit, et viventem et vincentem ſe oſtendens.

CAP. XVIII.

PHILIPPUS DEMETRII FILIUS.

Philippus Rhodiorum urbem in Peræa i. e. in oppoſita continente, Prinaſſum oppugnabat. Muros inſigni firmitudine præditos, conatus eſt ſuffodere. Cum autem inter ſuffodiendum ſolidiſſima petra ſe offerret, et foſſorum inſtrumentis nequaquam cederet, Philippus interdiu in foveam juſſit deſcendere. Eos vero qui opus faciebant, etiam tegumentis extenſis occultabat, ut putaretur velle eos occultare. Hæc autem omnia manifeſto hoſtes intuebantur ex muris. Noctu vero imperavit, ut milites a ſtadiis octo ſeu decem ex profundo quodam ſpecu

agge-

ραγγος ἀνακομίζοντας χοῦν μεταβάλλειν πρὸ τοῦ στόματος τῶν ὀρυγμάτων· ἐπεὶ δὲ πολὺς χοῦς ἐγήγερτο σωρηδὸν, μεθ᾽ ἡμέραν, οἱ ἀπὸ τῶν τειχῶν ἰδόντες τοῦτο, [106] ἐκείνῳ ἐπίστευσαν, ὡς ἡ πόλις κάτωθεν ὑπορώρυκται· οὗτος ὁ φόβος ἔπεισεν αὐτοὺς παραδοῦναι Φιλίππῳ τὴν πόλιν· ὕστερον δὲ τὴν ἀπάτην μαθόντες, πολλὰ τὴν αὐτῶν ἄνοιαν κατωδύραντο.

β′ Φίλιππος Δημητρίου πολεμῶν Ἀττάλῳ βασιλεῖ, καὶ Ῥοδίοις, ἀποδρᾶναι κατὰ τὴν θάλατταν βουλευσάμενος, αὐτόμολον Αἰγύπτιον ἔπεμψεν· ὃς ἤγγειλε τοῖς πολεμίοις ὅτι παρασκευάζοιτο διαναυμαχεῖν τῆς ὑστεραίας· καὶ διὰ νυκτὸς πυρὰ πολλὰ ἔκαυσεν ὡς τῆς στρατιᾶς μενούσης. τῶν δὲ ἀμφὶ τὸν Ἄτταλον τὰ πρὸς τὴν ναυμαχίαν παρασκευαζομένων, καὶ τὴν κατὰ τὸν ἔκπλουν φυλακὴν διαλυσάντων, Φίλιππος λαθὼν ἀπέπλευσεν.

ΚΕΦ. ΙΘ.

ΠΤΟΛΕΜΑΙΟΣ.

Πτολεμαῖος Περδίκου κατὰ Μέμφιν διαβαίνοντος τὸν ποταμὸν, καὶ ἤδη συχνῶν διαβεβηκότων, συναγαγὼν ἐκ τῆς χώρας

106 *Cant.* ἐκεῖνο.

aggerem adferrent, et ad fauces cuniculorum conjicerent. Multa autem terra acervatim aggeſta interdiu, qui muros defenſabant, id ipſum conſpicati, civitatem inferne ſuffoſam eſſe crediderunt. Is metus eos impulit, ut urbem Philippo dederent. Poſtea vero cognito dolo, multis lacrymis ſuam amentiam deploraverunt.

2 Philippus Demetrii filius bellum gerens cum Attalo rege, et Rhodiis, et quemadmodum per mare effugere poſſet deliberans, transfugam Ægyptium miſit, qui hoſtibus nuntiaret, eum ad navale prælium ſequenti die committendum præparari, noctuque multos ignes fecit, ut manere exercitus videretur. At cum Attali milites ad navalem pugnam ſe inſtruerent, et ex eo loco, per quem exitus navibus erat, præſidia deducerent, Philippus clam omnibus abnavigavit.

CAP. XIX.

PTOLEMÆUS.

Ptolemæus, cum Perdiccas flumen juxta Memphim transmitteret, et jam magna pars tranſiiſſet, contraxit ex omni

χώρας αἰπόλια, συφόρβια, βουκόλια πλεῖστα ὄντα, προσέταξεν ἑκάστου ζώου φρυγάνων φορτία ἐκδῆσαι, ὅπως ἐπισυρόμενον κονιορτὸν ἐγείρῃ πλεῖστον· τὰ μὲν δὴ ὑπὸ τῶν νομέων, πρὸς δὲ τούτοις, καὶ ἱππέων ἐλαυνόμενα κονιορτὸν ἀνέστησε μέγιστον· αὐτὸς δὲ ἀναλαβὼν τῶν ἱππέων τοὺς λοιποὺς, τοῖς πολεμίοις προσῆγε· οἱ δὲ ἀπὸ μὲν τοῦ κονιορτοῦ πολὺ πλῆθος ἐπιέναι νομίσαντες, αὐτίκα ἔφευγον· καὶ οἱ πλεῖστοι μὲν ἐν τῷ ποταμῷ διεφθάρησαν. πολλοὶ δὲ καὶ ζῶντες ἑάλωσαν.

ΚΕΦ. Κ.

ΑΤΤΑΛΟΣ.

Ἄτταλος Γαλάταις μεγάλην δύναμιν ἔχουσι παρατάττεσθαι μέλλων, ὁρῶν τοὺς στρατιώτας καταπεπληγότας, εὐθύμους ποιῆσαι βουλόμενος πρὸ τοῦ κινδύνου τῆς μάχης ἱερεῖα παρεσκεύασε, Σουδίνου Χαλδαίου μάντεως θυσίαν [107] πράττοντος. ὁ μὲν εὐξάμενος καὶ σπείσας ἀνέτεμε τὸ ἱερεῖον· ὁ δὲ βασιλεὺς [108] κηκίδα τρίψας, ἐπέγραψεν ἐπὶ τὴν χεῖρα

107 *Cant.* κραδεύοντος. *Fl.* βραδεύοντος. *Gronovius* ex conject. ſubſtituit βραβεύοντος. 108 Mſſ. κικίδα ut et paulo poſt κικίδος.

omni regione greges capra-rum, ſuumque et boum armenta, mandavitque ut quam plurima ſarmentorum onera ex unoquoque jumento ſuſpenderentur, ut attracta maximum pulverem excitarent. Quæ a paſtoribus atque etiam ab equitibus agitata, magnam vim pulveris ſuſcitaverunt. Ille vero iis equitibus aſſumtis, qui erant reliqui, contra hoſtes duxit: qui ex pulvere conjectantes innumerabiles copias adventare, repente fugæ ſe mandarunt, et plurimi flumine perierunt, multi etiam vivi capti ſunt.

CAP. XX.

ATTALUS.

Attalus cum Gallis magnum numerum habentibus, prælium commiſſurus, milites ſuos timore perculſos confirmare volens, ante conflictus periculum victimam apparavit, Sudino Chaldæo vate ſacrificium obeunte: ipſe deos precatus libavit, et victimam diſſecuit. Rex contrita galla, inſcripſit in

χεῖρα τὴν δεξιάν, Βασιλέως νίκη· ποιησάμενος τὴν ἐπιγραφήν, οὐκ ἀπὸ τῶν ἀριστερῶν ἐπὶ δεξιά, ἀλλ' ἔμπαλιν, ἀπὸ τῶν δεξιῶν ἐπὶ τὰ ἀριστερά· καὶ τῶν σπλάγχνων ἐξαιρουμένων ὑπέσχετο τὴν χεῖρα τῆς κηκῖδος εἰς θερμὸν καὶ ἀραιὸν τόπον, ἀπομαξάμενος τὴν ἐπιγραφήν· ὁ μάντις
109 ἐπιδιεξιὼν τοὺς λοβοὺς καὶ τὴν χολήν, πύλας τε δὴ καὶ τράπεζαν, καὶ ὅσα ἄλλα σημεῖα κατανοῶν, ἀνέστρεψε τὸν λοβὸν τὸν ἔχοντα τὴν ἐπιγραφήν, δι' ἧς ἐδηλοῦτο βασιλέως νίκη· αὐτός τε οὖν ὑπερχαρὴς ἐγένετο, καὶ τῷ πλήθει τῶν στρατιωτῶν ἔδειξε τὸ σημεῖον· οἱ δὲ ἐλθόντες, καὶ ἀναγνόντες θάρσους ἐνεπλήσθησαν, καὶ πάντες ἀνεβόησαν κελεύοντες ἄγειν ἐπὶ τοὺς βαρβάρους, καὶ προθύμως ἀγωνισάμενοι, τοὺς πλείστους Γαλάτας ἐνίκησαν.

ΚΕΦ. ΚΑ.

ΠΕΡΣΕΥΣ.

Περσεὺς Ῥωμαίων ἐλέφαντας ἀγόντων, τοὺς μὲν ἐκ Λιβύης, τοὺς δὲ Ἰνδοὺς παρὰ Ἀντιόχου Συρίας βασιλέως, ἵνα μὴ καινὸν καὶ φοβερὸν τοῖς ἵπποις τὸ θηρίον φανείη, προσέ-
ταξε

109 Mſſ ἐπεξιών.

in dextram manum, *Regis victoria:* inſcriptionem efficiens,non a ſiniſtris ad dextra, ſed contra a dextris ad ſiniſtra: et cum viſcera extraherentur, ſuppoſuit manum, galla inſcriptam, in calidiorem ac fungoſum locum, abſterſitque inſcriptionem. Vates percurrens lobos ac bilem, portasque et menſam, atque omnia ſigna perſpiciens, convertit particulam, quæ inſcriptionem continebat, qua regis victoria ſignificabatur. Itaque tum ipſe gaudium concepit, tum univerſis militibus ſignum oſtendit. Qui accedentes ac legentes, fiducia replebantur: omnesque vociferabantur, jubentes ducere adverſus barbaros: et alacribus animis in pugnam ruentes, Gallorum multitudinem ſuperarunt.

CAP. XXI.

PERSEUS PHILIPPI FILIUS.

Perſeus Romanis elephantos ducentibus partim ex Africa, partim Indos ab Antiocho Syriæ rege, ne nova ac formidabilis equis bellua primo aſpectu exiſteret, præcepit

ταξε τοῖς χειροτέχναις εἴδωλα ξύλινα κατασκευάζειν, ἐλεφάντων ἰδέαν καὶ χρόαν ἔχοντα· ἐπεὶ δὲ ἡ κλαγγὴ τοῦ θηρίου μάλιστα δεινή, προσέταξεν εἰς τὸ ξύλινον εἴδωλον ἐμβαίνειν ἄνδρα αὐλὸν ἔχοντα, ὃς διὰ τοῦ στόματος τὸν αὐλὸν ἰθύνων, ὀξὺν καὶ ἀπηνῆ φθόγγον προϊείη· οὕτως ἔμαθον οἱ Μακεδόνων ἵπποι καταφρονεῖν τῆς ἐλεφάντων 110 κλαγγῆς.

Τέλος τοῦ δ' βιβλίου τῶν Πολυαίνου Στρατηγημάτων.

110 *Fl.* κλαγγῆς καί. Forte κλαγγῆς καὶ ὁδμῆς, vel ὄψεος, quomodo legiſſe videtur *Interpres. Maſv.*

pit opificibus, ut lignea ſimulacra fabricarentur, elephantorum figura atque colore prædita. Quoniam vero fremitus beſtiæ terribilis ſupra modum eſſet, juſſit ligneum ſimulacrum virum cum tuba conſcendere, qui per os tubam dirigens, acutum et horribilem ſonum emitteret. Ad hunc modum equi Macedonum aſſuefacti ſunt ad elephantorum fremitum et aſpectum contemnendum.

Τάδε

Τάδε ἔνεστιν ἐν τῷ πέμπτῳ τῶν

ΠΟΛΥΑΙΝΟΥ

ΣΤΡΑΤΗΓΗΜΑΤΩΝ.

HAEC INSUNT IN QUINTO LIBRO

POLYAENI

STRATEGEMATUM.

Φάλαρις, στρατηγήματα	δ	Phalaris, Strateg.	4
Διονύσιος	κβ	Dionyſius	22
Ἀγαθοκλῆς	η	Agathocles	8
Ἱππαρῖνος	α	Hipparinus	1
Θεοκλῆς	β	Theocles	2
Ἱπποκράτης	α	Hippocrates	1
Δαφναῖος	α	Daphnæus	1
Λεπτίνης	β	Leptines	2
Ἄννων	α	Annon	1
Ἰμίλκων	ε	Himilcon	5
Γέσκων	α	Geſcon	1
Τιμολέων	γ	Timoleon	3
Ἀρίστων	β	Ariſton	2
Θρασυμήδης	β	Thraſymedes	2
Μεγακλῆς	α	Megaclides	1
Παμμένης	ε	Pammenes	5
Ἡρακλείδης	β	Heraclides	2
Ἀγαθόστρατος	α	Agathoſtratus	1
Λύκος	α	Lycus	1
Μενεκράτης	α	Menecrates	1
Ἀθηνόδωρος	α	Athenodorus	1
Διότιμος	δ	Diotimus	4
Τύννιχος	α	Tynnichus	1
Κλείταρχος	α	Clitarchus	1

Τίμαρχος	α	Timarchus	1
Εὐδόκιμος	α	Eudocimus	1
Παυσίστρατος	α	Pauſiſtratus	1
Θεόγνις	β	Theognis	2
Διοκλῆς	α	Diocles	1
Χίλιος	α	Chilius	1
Κύψελος	α	Cypſelus	1
Τελεσίνικος	β	Teleſinicus	2
Πομπίσκος	ς	Pompiſcus Cres	6
Νίκων	α	Nicon	1
Νέαρχος Κρῆς	α	Nearchus Cres	1
Δωρόθεος Λευκάδιος	α	Dorotheus	1
Σωσίστρατος	α	Soſiſtratus	1
Διόγνητος	α	Diognetus	1
Ἀρχέβιος	α	Archebius	1
Ἀριστοκράτης	β	Ariſtocrates	2
Ἀριστόμαχος	α	Ariſtomachus	1
Παριμένης	α	Parimenes	1
Καλλιάδης	α	Calliades	1
Μέμνων	ε	Memnon	5
Φιλόμηλος	α	Philodemus	1
Δημοκλῆς	α	Democles	1
Παναίτιος	α	Panætius	1
Πυραίχμης, οὐκ ἔχει.		Pyræchmes *	
Σάτυρος, οὐκ ἔχει.		Satyrus *	

Τέλος τοῦ πίνακος.

ΠΟ-

ΠΟΛΥΑΙΝΟΥ
ΣΤΡΑΤΗΓΗΜΑΤΩΝ.
βιβλίον πέμπτον.

ΠΡΟΟΙΜΙΟΝ.

Καὶ τόδε ὑμῖν πέμπτον βιβλίον, ἱερώτατοι βασιλεῖς Ἀντωνῖνε καὶ Οὐῆρε, προσφέρω τῶν Στρατηγημάτων· οὐχ οὕτως ἐμαυτὸν ἄξιον ἐπαίνου ἡγούμενος ἐπὶ τῷ συγγράφειν, ὡς ὑμᾶς ἐπὶ τῷ σπουδάζειν ἀναγινώσκειν τοσαῦτα συγγράμματα, τοσαύτης ἀρχῆς προεστηκότας· νυνί γε μὴν μάλιστα, ὁπότε μὴ μόνον τὰ δίκαια τῆς εἰρήνης πρυτανεύεται, ἀλλὰ καὶ τὰ ἔργα τοῦ πολέμου διατάσσεται· καὶ τοῦτο ἄρα στρατήγημα νίκης [1] ἡγούμενοι, εἰ δι' ὧν ἐνίκησαν οἱ παλαιοὶ στρατηγοὶ, ταῦτα καταμανθάνοιτε· βασιλεῦσι γὰρ πόλεμον ἐκτάσσουσι προσήκειν ὑπολαμβάνεται, κατανοεῖν ἔργων ἀγώνισμα. λόγων μὲν γὰρ σπουδὴ τοῖς

ἄγουσι

1 Pro ἡγούμενοι cum *Caſaub.* Codd. et Interprete ſcripſerim ἡγοῦμαι, vel ἡγούμενος. *Maſv.*

POLYAENI
STRATEGEMATUM
LIBER QUINTUS.

PROOEMIUM.

Etiam hunc librum quintum Strategematum, ſanctiſſimi Imperatores, Antonine et Vere, vobis offero. Neque mihi tantum laudis arrogo, quod conſcripſerim, quam vobis tribuo, qui diligenter hæc ſcripta et ſummo cum ſtudio legitis, in tanta poteſtate et imperio conſtituti: in hoc præſertim tempore, quo non ſolum pacis leges tractantur, verum etiam bellicæ res adminiſtrantur. Et hoc ſane victoriæ ſtrategema judico, ſi quorum auxilio veteres duces ſæpe victoriam pepererunt, hæc vos legendo addiſcatis. Regibus enim bella gerentibus convenire exiſtimatur rerum tractatio. Nam dicendi ſtudium

ἄγουσι σχολὴν, χρῆμα ὠφέλιμον· ἔργων δὲ ἐπιστήμη τοῖς ὅπλων ἄρχουσιν ἀρίστη διδάσκαλος, ὧν χρὴ δρᾷν κατὰ ζῆλον, τῶν πάλαι κρατησάντων. ὅπως οὖν ζηλώσητε τὰς τῶν ἀρχαίων ἀρετὰς καὶ νίκας, αὐτὰ δείξει τὰ στρατηγήματα.

Τέλος τοῦ προοιμίου.

ΚΕΦ. Α.

ΦΑΛΑΡΙΣ.

Φάλαρις Ἀκραγαντῖνος τελώνης, τῶν πολιτῶν κατασκευάσαι βουλομένων Διὸς Πολιέως νεὼν, [2] ἀπὸ . . . . ταλάντων, ἐπὶ τῆς ἄκρας ὡς πετρώδους, καὶ στερεωτάτης, καὶ ἄλλως [3] ὁσίαν· ἄνισχον ἐν ὑψηλοτάτῳ τὸν θεὸν [4] ἰδιώσασθαι. αὐτὸς ὑπέσχετο τοῦ ἔργου ἐπιστάτης ἂν γενέσθαι, καὶ τοὺς ἀρίστους τεχνίτας ἕξειν· καὶ τὴν ὕλην λυσιτελῶς παρέξειν, καὶ τῶν χρημάτων ἀσφαλεῖς ἐγγυητὰς δώσειν. ἐπίστευσεν ὁ δῆμος, ὡς διὰ τὸν τελωνικὸν βίον ἐμπειρίαν τῶν

2 *Uterque Codex* ἀποσταλέντων. unde cum *Caſaub.* exiſtimaverim ſcriptum fuiſſe ἀπὸ σ′ ταλάντων. *Maſo.* 3 Fortaſſe ὅσιον νομίζοντες. *Caſ.* 4 Malim ἱδρύσασθαι. *Idem.*

dium ac facultas iis qui in otio vitam degunt, plurimum utilitatis adfert. Rerum vero ſcientia, his qui armis præſunt, optima magiſtra eſt, quæ facienda ſint ad imitationem eorum, qui priſcis temporibus vicerunt. Quemadmodum igitur veterum virtutes atque victorias perſequamini, hæc ſtrategemata ob oculos ponent.

CAP. I.

PHALARIS.

Phalaris, Agrigentinus publicanus, cum cives Jovis Gubernatoris templum, ſex talentorum pretio ædificare decreviſſent in arce, quod ea ſaxis prædita et firmiſſima exiſtimaretur, et alioquin etiam religioſum putarent in celſiſſimo loco deum conſtituere: ipſe promiſit ſe operi curando præfuturum, et fabros optimi generis habiturum, materiamque utiliter ſuppeditaturum, ac pecuniarum certos arbitros daturum. Credidit populus, quod eum ob genus vitæ, qui eſſet publicanus, harum rerum expe-

τῶν τοιούτων ἔχοντι. λαβὼν δὴ τὰ κοινὰ χρήματα, πολλοὺς μὲν μισθοῦται ξένους, πολλοὺς δὲ ὠνεῖται δεσμώτας, πολλὴν δὲ ὕλην ἐς τὴν ἄκραν ἀνακομίζει, λίθων, ξύλων, σιδήρου. ἤδη δὲ τῶν θεμελίων ὀρυσσομένων, καθῆκε τὸν μηνύσοντα. ὃς ἂν μηνύσῃ τοὺς κλέψαντας τῶν ἐν τῇ ἄκρᾳ λίθου καὶ σιδήρου, λήψεται ἀργύριον τόσον. ἠγανάκτησεν ὁ δῆμος ὡς τῆς ὕλης κλεπτομένης· ὁ δὲ, οὐκοῦν, ἔφη, συγχωρήσατέ μοι περιφράξαι τὴν ἀκρόπολιν· συνεχώρησεν ἡ πόλις περιφράξαι, καὶ περιβόλαιον ἐγεῖραι· λύσας τοὺς δεσμώτας, τοῖς λίθοις, καὶ τοῖς πελέκεσι, καὶ ταῖς ἀξίναις ὁπλίσας, Θεσμοφορίων ὄντων ἐπιθέμενος, τοὺς πλείστους τῶν ἀνδρῶν ἀποκτείνας, γυναικῶν καὶ παίδων κύριος καταστὰς, ἐτυράννησε τῆς Ἀκραγαντίνων πόλεως.

β' Φάλαρις Ἀκραγαντίνων τὰ ὅπλα παρελέσθαι βουλόμενος, ἀγῶνα γυμνικὸν λαμπρότατον ἔξω τῆς πόλεως ποιήσειν ἐπήγγειλεν· τῶν δὲ πολιτῶν ἁπάντων ἐπὶ τὴν θέαν προελθόντων, τὰς πύλας κλείσας, προσέταξε τοῖς δορυφόροις τὰ ὅπλα τῶν οἰκιῶν ἐκφέρειν.

γ' Φάλα-

experientiam habere putaret. Acceptis igitur publicis pecuniis, magnum nnmerum conducit mercenariorum, multosque captivos coëmit, et materiam non paucam in arcem comportat lapidum lignorum, atque ferri. Cumque jam ponerentur fundamenta, ſubornavit quendam promulgantem: Quicumque ſignificarit eos qui lapides ac ferrum in arce furto eripiunt, is tantum argenti accipiet. Populus indigne ferebat materiam per furtum ſubduci. Ille igitur, inquit, concedite mihi poteſtatem muniendi arcem. Permiſit civitas, ut eam muniret, valloque circumdaret. Ille captivos vinculis liberavit, eosque lapidibus, bipennibus ac ſecuribus armavit: cumque Cereris feſtum celebraretur, ex inſperato cives adortus, magnam virorum ſtragem edidit: et ipſe mulierum ac puerorum dominus factus, tyrannidem in Agrigentinorum Republica exercebat.

2 Phalaris ut Agrigentinis arma eriperet, ludos gymnicos ſplendidiſſimos extra civitatem ſe facturum affirmavit: cumque univerſa multitudo civium ad ſpectaculum egrederetur, clauſis portis, mandavit ſatellitibus, ut arma ex ædibus auferrent.

3 Pha-

γʹ Φάλαρις πολιορκούντων Ἀκραγαντίνων Σικανοὺς, οὐ δυνάμενος ἀνελεῖν αὐτοὺς, πολὺν σῖτον παρεσκευασμένους, διελύσατο τὸν πόλεμον. ἀλλὰ καὶ τὸν ἀπὸ τοῦ στρατοπέδου σῖτον αὐτοῖς παρακατέθετο. συνθέμενος ἀπολήψεσθαι τὸν θερίζεσθαι μέλλοντα· ἀσμένως ἐδέξαντο οἱ Σικανοί· ὁ δὲ Φάλαρις τοὺς σιτοφύλακας αὐτῶν ἐποίησεν ἀργυρίῳ διαφθείρας, τὰς ὀροφὰς τῶν οἰκοδομημάτων διελεῖν, ὅπως ὁ 5 σιτούμενος κατασαπείη· τὸν δὲ θερισθέντα κατὰ συνθήκας αὐτὸς ἀπέλαβεν· ἀναγκαίως οὖν τὸν μὲν ἀπὸ τῆς χώρας τῷ Φαλάριδι ἀποδόντες, τὸν δὲ ἐν τῇ πόλει διεφθαρμένον εὑρόντες, ὑπήκουσαν αὐτῷ διὰ τὴν σιτοδείαν.

δʹ Φάλαρις πρὸς Τεῦτον ἄρχοντα Οὐέσσης, ἥπερ εὐδαιμονεστάτη καὶ μεγίστη Σικανῶν πόλις, ἔπεμψε τοὺς μνηστευομένους αὐτῷ τὴν ἐκείνου θυγατέρα. ὑποσχομένου δὲ, στρατιώτας ἀγενείους ἐπὶ τῶν ζευγῶν καθίσας, ἔπεμψε, στολὰς γυναικῶν ἔχοντας, ὡς θεραπαινίδας δῶρα τῇ κόρῃ κομιζούσας. ἐπεὶ δὲ κατελάβοντο τὴν οἰκίαν, οἱ μὲν τὰς μαχαίρας ἐσπάσαντο· Φάλαρις δ' εὐθὺς ἐπιφανεὶς τὴν Οὐέσσαν ἐχειρώσατο.

ΚΕΦ. Β.

5 Σῖτος ὑόμενος. conjeᴄt. *Caſaub.*

3 Phalaris in eo bello, quo Sicanos Agrigentini oppugnabant, cum eos exſcindere nulla ratione poſſet, quod multum frumenti comportaverant, finem belli fecit: ad hæc frumentum, quod in caſtris habebat, eis reliquit ea conditione, ut ejus loco reciperet, quod poſt meteretur. Gratis animis receperunt Sicani. Phalaris effecit, ut qui frumento præerant, pecuniis corrupti, tecta ædificiorum reſcinderent, quo facilius frumentum complutum putreſceret. Quod vero metebatur, ipſe ex pacto accepit. Itaque quum omnem a regione fructum dediſſent Phalaridi, cum vero, qui in urbe tenebatur, corruptum invenirent, neceſſitate compulſi, ob frumenti inopiam ei ſe dederunt.

4 Phalaris ad Teutum Veſſæ principem, quæ florentiſſima, maximaque inter omnes Sicanorum civitates habebatur, miſit, qui ſibi ejus filiam in matrimonium peterent. Qui cum eam addixiſſet, milites imberbes in curribus collocatos miſit cum veſtitu muliebri, quaſi famulas, quæ puellæ munera ferrent. Qui cum domum occupaſſent, gladios diſtrinxere. Phalaris autem extemplo ſuperveniens, Veſſam in ſuam poteſtatem redegit.

CAP. II.

ΚΕΦ. Β.
ΔΙΟΝΥΣΙΟΣ.

Διονύσιον Σικελίας τύραννον ὥρμησαν οἱ μισθοφόροι κτεῖναι, ἀθρόοι τὴν οἰκίαν αὐτοῦ περιστάντες ἀπὸ συνθήματος· ὁ δὲ προῆλθεν ἐσθῆτα ἐλεεινὴν λαβὼν, καὶ τὴν κόμην κόνει καταχεόμενος, παρέχων ἑαυτὸν ἔκδοτον ὡς βούλοιντο χρῆσθαι· οἱ μισθοφόροι τὴν εἰς τὸ ταπεινὸν αὐτοῦ μεταβολὴν ἐλεήσαντες, ἀθῷον ἀφῆκαν· Διονύσιος οὐκ εἰς μακρὰν ἐν Λεοντίνοις περιστήσας αὐτοῖς τὴν ἑαυτοῦ δύναμιν, ἅπαντας κατηκόντισεν.

β' [6] Διονύσιος Ἑρμοκράτους Συρακουσίοις ὑπηρετοῦντος, καὶ γραμματέων τοῖς στρατηγοῖς, ἐν τῷ πολέμῳ πρὸς Καρχηδονίους ἡττωμένων πολλάκις Συρακουσίων, καὶ τοὺς στρατηγοὺς αἰτιωμένων, ἐτόλμησε προδοσίας αὐτοὺς γράψασθαι· οἱ μὲν οὖν αὐτῶν ἑάλωσαν ἀποθανεῖν, οἱ δὲ φυγεῖν, ὁ δὲ ὡς ἐπιβουλευόμενος ὑπὸ τῶν διὰ τοὺς ἁλόντας ἐχθρῶν γενο-

[6] Locus cum Mſſ. ſic legendus: Διονύσιος Ἑρμοκράτους, Συρακουσίοις ὑπηρετῶν, καὶ γραμματεύων τοῖς στρατηγοῖς, ε. τ. π. π. Κ., niſi quod Mſſ. habeant γραμματέων, ut *Vulgata*. *Maſv.*

CAP. II.
DIONYSIUS.

Dionyſius Siciliæ tyrannus, cum mercenarii ad eum interficiendum impetum feciſſent, confertimque domum ejus, quemadmodum inter eos convenerat, circumſiſterent, miſerabili veſte amictus prodiit, comamque pulvere reſperſit, et poteſtati militum ſuam vitam permiſit, ut ſe pro libito tractarent. Mercenarii humilem et abjectam ejus commutationem miſerati, eum incolumem dimiſerunt. Dionyſius eos non ita multo poſt in urbe Leontinorum circumventos ſuis copiis, ad unum omnes telis confixit.

2 Dionyſius Hermocratis Syracuſanis operam navans, et ſcribæ munere apud duces fungens, cum Syracuſani in bello quod adverſus Carthaginienſes habuerant, perſæpe victi eſſent, atque culpam in duces conferrent, auſus eſt eos proditionis inſimulare. Qui cum partim morte mulctati, partim in exilium pulſi eſſent, ſimulabat inſidias ſibi parari ab his, in quorum inimicitiam et odium veniſſet, propter damnatos: atque

γενομένων, καὶ τοῦ πολέμου τοῦ πρὸς Καρχηδονίους ἀκμάζοντος φυλακὴν τοῦ σώματος αἰτήσας, καὶ παρὰ τοῦ δήμου λαβὼν, τύραννος ἐγένετο Συρακουσίων μέγιστος· καὶ μέχρι γήρως τὴν ἀρχὴν κατασχὼν, προσέτι καὶ τῷ υἱῷ κατέλιπεν.

γʹ Διονύσιος τοὺς ἐπιβουλεύοντας φωρᾷν μάλιστα πάντων ἐσπούδασε· τῶν ξένων τὶς περιήει τὴν πόλιν, φάσκων, μόνος δύνασθαι διδάξαι προγιγνώσκειν τοὺς ἐπιβουλεύοντας· κληθεὶς εἰς τὴν ἀκρόπολιν, ἔφη πρὸς τὸν Διονύσιον, μόνον αὐτὸν διδάσκειν, ἵνα μὴ φανερὰ γένοιτο πᾶσιν ἡ τέχνη· μεταστάντων ὅσοι παρῆσαν, ἰδίᾳ πρὸς αὐτὸν ἔφη· ὁμολόγησον ὅτι μεμάθηκας τὴν τέχνην τοῦ προγινώσκειν· καὶ οὐδεὶς ἐπιβουλεύειν ἔτι τολμήσει· ὁ δὲ ἡσθεὶς τῷ σοφίσματι, τὸν μὲν ἄνθρωπον δώροις λαμπροῖς ἐτίμησε, πρὸς δὲ τοὺς σωματοφύλακας καὶ τοὺς στρατιώτας ἀπήγγειλεν, ὡς θαυμαστὸν εἴη γνώρισμα τῶν ἐπιβουλευόντων δεδιδαγμένος· οἱ δὲ ἐπίστευσαν, καὶ ἐπιβουλεύειν ἐτόλμων οὐκέτι.

δʹ Διονύσιος [7] ἠγγέλλει κατατήσας Ἀνδρῶνα φύλακα τῆς ἀκροπόλεως, καὶ τῶν χρημάτων· Ἑρμοκράτης παρεκάλει

7 Mſſ. ἠγγέλη. Forte ἀνήχθη, vel ſimile quid. *Maſv.*

que etiam bello Carthaginienſi adhuc vigente, præſidium corporis a populo petiit. Quod cum impetraſſet, tyrannus Syracuſanorum evaſit longe truculentiſſimus, et uſque ad extremum ſpiritum imperium obtinuit, atque etiam filio ſuo quaſi per manus traditum reliquit.

3 Dionyſius ſummam curam ac diligentiam adhibere ſolebat, ut inſidiatores deprehenderet. Peregrinus quidam obambulabat in urbe, dicens, ſe poſſe ſolum viam ac rationem demonſtrare, qua inſidiatores prænoſcerentur. Vocatus in arcem, ait ad Dionyſium, ſe ei ſoli planum hoc facturum, ne ars vulgaris, omnibusque perſpicua fieret. Cum omnes quotquot ei aderant, ſeceſſiſſent, ſeorſim ad eum inquit: Confitere te prænoſcendi artem didiciſſe, neque quiſquam amplius inſidias tibi ſtruere audebit. Ille delectatus commento, muneribus ampliſſimis hominem ornavit. Satellitibus et militibus dixit, ſe mirabilem rationem cognoſcendi inſidiatores edoctum eſſe. Qui credentes, non amplius audebant inſidias ei parare.

4 Dionyſius expeditionem ſuſcipiens, Androni arcis ac pecuniarum cuſtodiam commendavit. Eum Hermocrates

κέλευεν συλλαβέσθαι αὐτῷ πρὸς τὸ κατασχεῖν ἀκρόπολιν καὶ τῶν χρημάτων· ἐπεὶ δὲ σῶος κατέπλευσεν ὁ Διονύσιος μετ᾽ ὀλίγας ἡμέρας, οὐδὲν πυθόμενος τοῦ Ἀνδρῶνος, ἔφη· πάντα μὲν πεπύσθαι παρ᾽ ἄλλων· ὅμως δὲ καὶ παρ᾽ αὐτοῦ βούλεσθαι μαθεῖν, τίς ἦν ὁ μάλιστα σπουδάσας ἐπιθῆσαι τῷ καιρῷ. ὁ δὲ ἐξαπατηθεὶς ὡμολόγησε τὸν Ἑρμοκράτην. Διονύσιος τὸν μὲν Ἀνδρῶνα προσέταξεν ἀναιρεθῆναι, ὅτι εὐθὺς αὐτῷ καταπλεύσαντι μὴ τοῦτο ἐμήνυσε. τὸν δὲ [8] Ἑρμοκράτην καθεῖρξεν, ἄνδρα ὄντα τῆς ἀδελφῆς· δι᾽ ἣν ὕστερον καὶ λύσας αὐτὸν ἐς Πελοπόννησον ἀπεπέμψατο.

ε´ Διονύσιος συνθέμενος πρὸς τοὺς ἐνδιδόντας Νάξον, αὐτὸς μὲν ὀψὲ τῆς ὥρας προσῆλθε τοῖς τείχεσιν, ἑπτὰ στρατιώτας ἔχων· οἱ δὲ Νάξιοι τὴν προδοσίαν αἰσθόμενοι, ἀνέβησαν ἐπὶ τοὺς πύργους· οἱ δὲ προδιδόντες, ἀπὸ τῶν πύργων ἐκάλουν τὸν Διονύσιον μετὰ τῆς δυνάμεως ἁπάσης· ὁ δὲ ἠπείλει τοῖς ἐπὶ τοῦ τείχους, εἰ μὴ προδοῖεν τὴν πόλιν ἑκόντες, ἀποσφάξειν αὐτοὺς ἅπαντας· ὑπὸ δὲ τὴν αὐ-

τὸν

8 Pro Ἑρμοκράτης toto hoc capite ſcribendum Τιμοκράτης, is enim Dionyſii minoris ſororem Areten duxerat uxorem. *Maſv.*

crates hortabatur, ut ſibi operam ſuam accommodaret, ad obtinendam arcem atque pecunias. Poſtquam vero ſalvus Dionyſius poſt paucos dies revenit, cum nihil audivit ab Androne, dixit ſe ab aliis audiviſſe omnia: verum ab ipſo quoque ſe velle cognoſcere, quisnam potiſſimum occaſionem arripere voluerit. Qui deceptus, prodebat Hermocratem. Dionyſius Andronem quidem interficiendum curavit, quod non confeſtim ſibi poſt reditum hoc indicaſſet. Hermocratem vero in cuſtodiam dedit, qui ſororem ſuam in matrimonio habebat: in cujus gratiam eum poſtmodum liberavit, et in Peloponneſum dimiſit.

5 Dionyſius pactus cum iis, qui Naxum prodere inſtituerant, ipſe quidem ſero ad muros cum ſeptem militibus acceſſit. Naxii intellecta proditione, in turres aſcenderunt. Proditores e turribus Dionyſium vocabant cum univerſis copiis. Ille vero minabatur iis, qui muros tuebantur, niſi ſua ſponte traderent ſibi civitatem, ſe omnes eos morte affecturum. Sub

τὸν ἀριθμὸν Διονυσίου προστάξαντος, εἰς τὸν λιμένα τῶν Ναξίων κατέπλει πεντηκόντορος Διονυσιακὴ, αὐλητὰς αὐλοῦντας ἄγουσα, καὶ κελευστὰς κελεύοντας [9] ὧν ἂν ἕκαστος ἐνεκάλει τριήρη μίαν· οἱ δὲ Νάξιοι νομίσαντες ἐπιπλεῖν τοσαύτας τριήρεις, ὅσους ἑώρων κελευστὰς, φοβηθέντες παρέδωκαν ἑκόντες Διονυσίῳ τὴν πόλιν.

ς′ Διονύσιος Ἰμίλκωνος ἐπιπλεύσαντος, καὶ τὸ στόμα τοῦ λιμένος τοῦ Μοτυαίων ἀποφράξαντος, αὐτός τε ἀπὸ τῆς Μοτύης τὸ πεζὸν ἀναστήσας ἐστρατοπέδευσε κατ᾽ ἀντιπορὸν, καὶ παρεκάλεσε τοὺς ναύτας καὶ στρατιώτας θαῤῥεῖν, καὶ παρασκευάζεσθαι τὴν διαγωγὴν τῶν τριήρων. ὑπὸ τῆς παρεχούσης ἄκρας τὸν λιμένα τόπος ἦν ὁμαλὸς καὶ πηλώδης, εὖρος κ′ σταδίων· τοῦτον οἱ στρατιῶται ξύλοις [10] φαλαγγώσαντες, ὑπερήνεγκαν π′ τριήρεις ἡμέρᾳ μιᾷ. Ἰμίλκων φοβηθεὶς μὴ Διονύσιος τὸ ναυτικὸν ἀναλαβὼν ὑπὲρ τὴν ἄκραν ἐπιπλεύσας, τοὺς Καρχηδονίους ἐπὶ τῷ στόματι τοῦ λιμένος κατακλείσας ἔνδον ἐξέλοι, βοῤῥᾶ πνεύσαντος οὐρίου ἀπόπλουν ἐποιήσατο. Διονύσιος δὲ καὶ τὸν λιμένα, καὶ τὴν Μοτύην, καὶ τὸ ναυτικὸν ἀνεσώσατο.

ζ′ Διο-

9 ὡς ἂν Caſ. 10 Φράξαντες, φάλαγξιν. conject. Caſ.

idem tempus juſſu Dionyſii in portum Naxiorum appellebatur Dionyſiaca navis quinquaginta remorum, quæ tibia canentes tubicines et hortantes hortatores duxit, quorum ſinguli triremem unam appellabant. Naxii totidem triremes adnavigare putantes, quot hortatores videbant, metu perterriti, ſponte Dionyſio civitatem dedidere.

6 Dionyſius Himilcone adnavigante, atque oſtium portus Motyenſium muniente, copiis a Motya deductis, ipſe caſtra e regione conſtituebat, nautasque et milites, ut bonum animum haberent, hortabatur, navibusque tranſitum pararent. Sub promontorio, quod portum continebat, locus erat planus, et luto cœnoque plenus, latitudine viginti ſtadiorum. Hunc lignis munito, milites palangis ſubduxerunt octoginta triremes uno die. Himilcon veritus, ne Dionyſius aſſumta claſſe ſupra promontorium adnavigaret, et Carthaginienſes in oſtio portus concluſos intus conficeret, ſpirante Borea, ſecundis ventis diſceſſit. Dionyſius vero et portum et Motyam et claſſem recuperavit.

7 Dio-

ζ′ [11] Διονύσιος ὑπὸ Δίωνος τὴν ἀκρόπολιν κατεσχηκὼς, ἐπρεσβεύσατο πρὸς Συρακουσίους ὑπὲρ διαλλαγῶν. οἱ δὲ ἀπεκρίναντο· εἰ μὲν ἀφίησι τὴν ἀρχὴν, δεχόμεθα πρεσβείαν· εἰ δὲ μὴ, ἄσπονδος ὁ πόλεμος ἔστω. Διονύσιος πάλιν κήρυκα πέμψας, ἐκέλευσε πέμπειν πρεσβευτὰς, ὡς ἀφήσων τὴν ἀρχὴν, καὶ πρὸς αὐτοὺς σπονδὰς ποιησόμενος. οἱ μὲν ἔπεμψαν, καὶ ὑπὸ χαρᾶς ἐξέχυσαν τὰς φυλακὰς, ὡς ἤδη τυράννου τὴν ἀρχὴν ἀφέντος· ὁ δὲ τοὺς μὲν πρέσβεις κατασχὼν, τοὺς δὲ στρατιώτας ἐξαγαγὼν, μετὰ πολλῆς βοῆς καὶ ὁρμῆς ἐλθὼν πρὸς τὰ διατειχίσματα, προσβολῇ καρτερᾷ χρησάμενος, ἐμπεσὼν τοῖς Συρακούσαις, τήν τε ἀκρόπολιν οὐκ ἀπέδωκε, καὶ τὴν πόλιν ἀπέλαβεν.

η′ Διονύσιος τοὺς πρεσβευτὰς Συρακουσίων, οὓς κατέσχε τῆς ὑστεραίας ἀντέπεμψε τοῖς πολίταις· συνηκολούθησαν δὲ αὐτοῖς καὶ γυναῖκες ἐπιστολὰς φέρουσαι πρὸς Δίωνα, καὶ Μεγακλέα, παρὰ τῆς ἀδελφῆς, καὶ τῆς γυναικὸς, καὶ πρὸς τοὺς ἄλλους Συρακουσίους, ὧν ἦσαν γυναῖκες πολιορκούμεναι· ταύτας τὰς ἐπιστολὰς [12] εὑρόντες ἐν ἐκκλησίᾳ φανερῶς

11 Adde ἐκπεσὼν, vel ἐξελαθεὶς, aut ſimile verbum. *Idem.* 12 *Uterque Codex* εὑρόντες ἐκκλησίαν.

7 Dionyſius contra Dionem arcem obtinens, legationem ad Syracuſanos miſit, quæ de pace concilianda tranſigeret. Illis reſpondentibus, Si dimittit imperium, accipimus petitionem: ſin minus, inexpiabile bellum eſto. Dionyſius rurſus miſſo præcone, juſſit mittere legatos, quibus remitteret imperium, et quibuscum fœdus faceret. Illi miſerunt, et præ nimio gaudio præſidia effuderunt, quod tyrannum jam imperium depoſuiſſe arbitrarentur. At ille legatos retinuit, et militibus eductis, eum inſigni impetu et vociferatione ad munitiones acceſſit, vehementique irruptione facta, Syracuſas invaſit. Sic neque arcem reddidit, et urbem ſimul recuperavit.

8 Dionyſius legatos Syracuſanorum, quos apud ſe tenebat, poſtridie civibus remiſit. Sequebantur autem eos mulieres, quæ ad Dionem et Megaclem litteras habebant, a ſorore et uxore, atque etiam ad reliquos Syracuſanos, quorum uxores in oppugnatione tenebantur. Has litteras acceptas in concione

νεκρῶς ἀναγινώσκειν ἠξίου· 13 αἱ μὲν ἄλλαι γυναῖκες, ὧν ἦσαν ἱκετεῖαι καὶ δεήσεις, μὴ περιϊδεῖν σφᾶς ἀπολλυμένους, ἀλλὰ διαλλαγῆναι πρὸς Διονύσιον· μιᾶς δὲ ἐπιστολῆς ἔξωθεν ἐγέγραπτο, 14 Παρὰ Ἱππαρίωνος τῷ πατρί· τοῦτο δὲ ἦν ὄνομα τῷ Δίωνος υἱῷ· τοῦ δὲ γραμματέως τὴν ἐπιγραφὴν ἀναγνόντος καὶ τὴν ἐπιστολὴν ἀνοίξαντος, ὁ δὲ υἱὸς οὐδὲν ἦν γεγραφώς. Διονύσιος δὲ Δίωνι φιλικῶς καὶ συγγενικῶς ἐπιστέλλων καὶ μεγάλα ὑπισχνούμενος· τούτων ἀναγνωσθέντων διεβλήθη πρὸς τοὺς Συρακουσίους ὁ Δίων. καὶ οὐκ ἔτι ὁμοίως πιστὸς ἦν· ὅγε δὴ μάλιστα Διονύσιος ἐσπουδάκει.

θ΄ Διονύσιος Καρχηδονίων ἐπιόντων χειρὶ μυριάδων λ΄, πολλὰ κατὰ τὴν χώραν ἐρύματα, καὶ φρούρια κατεσκευάσε, συντάξας διαλύεσθαι πρὸς Καρχηδονίους, καὶ τὰς φρουρὰς αὐτῶν δέχεσθαι· οἱ Καρχηδόνιοι πάνυ ἀσμένως τὰ χωρία παρελάμβανον ἄνευ μάχης, καὶ πολλοὺς τῶν στρατιωτῶν 15 φρουρὰς καὶ φυλακὰς ἐν ἑκάστῳ κατέλιπον· ὁπηνίκα τὸ πλεῖστον τῆς δυνάμεως διεσπάρη μεριζόμενοι φρουρᾶς

13 Lego αἱ μὲν ἄλλαι, γυναικῶν ἦσαν ἱκ. *Caſ.* 14 Παρ' Ἱππαρίνου conject. *Maſu.* 15 Mſſ. φρουρούς.

cione palam recitari juſſerunt. Reliquorum fœminæ maritos et cognatos orare, et obſecrare, ne ex negligentia paterentur ſe perire, ſed in gratiam redirent cum Dionyſio. Una vero quædam epiſtola exterius inſcriptum habuit, *Hipparion patri.* Hoc autem nominis erat filio Dionis: cumque ſcriba legiſſet inſcriptionem, ac litteras aperiret: filius quidem nihil ſcripſerat, ſed Dionyſius peramanter ac familiariter ad Dionem, magniſque pollicitationibus eum ſollicitabat. His lectis Dion in infamiam apud Syracuſanos et ſuſpicionem venit, neque ejus fides amplius momentum aliquod habuit: id quod efficere maxime in votis erat Dionyſio.

9 Dionyſius, Carthaginienſibus cum trecentorum millium exercitu adventantibus, complures in regione munitiones et caſtella ædificanda curavit: et cum Carthaginienſibus facere pacem conſtituit, ut præſidia eorum reciperet. Carthaginienſes admodum libentibus animis munitiones abſque prælio recipiebant, multoſque ex militibus præſidii et cuſtodiæ cauſſa in ſingulis relinquebant. Cum bona pars copiarum eſſet diſperſa, diviſaque præſi-

φρουραῖς καὶ φυλακαῖς, τηνικάδε τοῖς ὑπολοίποις Διονύσιος ἐπιθέμενος ἐνίκησεν.

ι′ Διονύσιος χειρώσασθαι βουλόμενος Ἱμέραν, πρὸς μὲν τοὺς Ἱμεραίους φιλίαν συνέθετο· πρὸς δὲ τὰ πλησίον αὐτῶν πολίσματα πόλεμον ἐξήνεγκε· καὶ δὴ στρατοπεδεύσας οὐ μακρὰν τῆς Ἱμέρας ἐπεκηρυκεύετο πρὸς τοὺς ἐν τοῖς πολίσμασιν· Ἱμεραῖοι δὲ μέχρι πολλοῦ μὲν τοῖς στρατιώταις αὐτοῦ τὴν ἀγορὰν ἔπεμπον· ἐπειδὴ δὲ χρόνου προϊόντος δῆλος ἦν οὐδὲν πράττων, ὑπιδόμενοι δύναμιν τηλικαύτην παρασρατοπεδεύουσαν, πέμποντες τὴν ἀγορὰν ἐπαύσαντο. Διονύσιος ἔχθρας ἀρχὴν ποιησάμενος, τὴν ἔνδειαν τῶν ἀναγκαίων, ἧκεν ἐπὶ τὴν Ἱμέραν αὐτήν, καὶ βίᾳ προσβαλὼν ἐξεῖλε τὴν πόλιν.

ια′ Διονύσιος τοὺς πρεσβυτέρους τῶν στρατιωτῶν ἀπομίσθους ἐβούλετο ποιῆσαι· οἱ δὲ ἠγανάκτουν πρὸς αὐτόν, καὶ οἱ νέοι, ὡς ἄδικον, εἰ γηρῶντες ἐκβάλλοιντο· ὁ δὲ τὸν θόρυβον μαθών, συναγαγὼν ἐκκλησίαν, ἀπαγορεύει τάδε· τοὺς μὲν νεωτέρους ἐς τὸν κίνδυνον τῆς μάχης τάττω. τοὺς δὲ πρεσβυτέρους ἐς τὰς φυλακὰς τῶν χωρίων ἴσον σύνταξιν

præſidiis et cuſtodiis, tum demum reliquos aggreſſus Dionyſius profligavit.

10 Dionyſius ut Himeram ſuæ ditionis faceret, amicitiam cum Himerenſibus coivit, Propinquis autem oppidis bellum intulit, caſtrisque non procul ab Himera poſitis, legationem amicitiæ petendæ cauſſa miſit ad eos, qui in caſtellis habitabant. Himerenſes per longum tempus militibus ejus commeatum ſuppeditavere. Poſtquam vero procedente tempore nihil rerum gerere eum viderent, ſuſpectum habentes tantum exercitum in proximo caſtra habentem, res ad victum neceſſarias mittere deſierunt. Dionyſius ab inopia commeatuum exordium ſumens inimicitiæ, ad Himeram ipſam copias adduxit, et civitatem, per vim impreſſione facta, cepit.

11 Dionyſius milites ætate provectiores privare ſtipendiis volebat. Illi vero valde eum accuſabant. Juniorum etiam erga ſe indignationem commovebat, qui indignum cenſebant, ſenio confectos jam rejici. Ille cognito tumultu, concionem convocat, et in hanc ſententiam verba facit. Juniores in periculum pugnæ deſtino, ſeniores in præſidia munitionum, æquale

ξιν λαμβάνοντας· πεῖραν γὰρ πίστεως δεδωκότες, ἐπιμελῶς τὰ χωρία φυλάξουσι, καὶ πονήσουσιν ἔλαττον· ἥσθησαν οἱ στρατιῶται πάντες· καὶ διῃρέθησαν ἀπ' ἀλλήλων ἄσμενοι· ἐπειδὴ δὲ διελύθη τὸ πλῆθος, καὶ κατ' ὀλίγους εἰς πολλὰς φυλακὰς ἐμερίσθη, καὶ δὴ τότε ἑκάστους τῶν πρεσβυτέρων ἀπομίσθους ἐποίησεν, οὐκ ἔτι τὴν παρὰ τοῦ πλήθους ἐπικουρίαν ἔχοντας.

ιβ' Διονύσιος βουλόμενος ἐπιθέσθαι πόλει κατὰ θάλατταν, καὶ γνῶναι τὰς πίστεις τῶν τριηράρχων. ἀλλὰ μὴν οὐδὲ προειδέναι τινὰ τοῦ μέλλειν πλεῖν· βιβλίον ἄγραφον ἐσφραγισμένον ἔδωκεν ἑκάστῳ τριηράρχῳ, προστάξας, ἐπειδὰν ἀναχθέντων ἀρθῇ τὸ σημεῖον, τότε λύειν τὰ βιβλία· καὶ μαθόντας ἐκεῖσε πλεῖν, οἷ κελεύει τὰ γεγραμμένα· οἱ μὲν δὴ ἀνήχθησαν· ὁ δὲ πρὶν ἆραι τὸ σημεῖον ἐπιβὰς ὑπηρετικῷ, περιέπλει, καὶ παρ' ἑκάστου τριηράρχου τὸ βιβλίον ἀπῄτησεν· ὅσους μὲν εὗρε τὴν σφραγῖδα λελυκότας, ὡς προδότας ἐκέλευσεν ἀπαχθῆναι τὴν ἐπὶ θανάτῳ· τοῖς δὲ ἄλλοις ἔδωκεν ἕτερα βιβλία, ἐν οἷς ἀληθῶς ἐγέγραπτο ποίᾳ πόλει βούλοιτο ἐπιπλεῦσαι· καὶ δὴ τὸ ἀπόρρητον οὕτω φυλα-

æquale ſtipendium accepturos. Nam qui experimentum fidei exhibuerint, munitiones ſumma cura tuebuntur, atque minus laboris ſuſtinebunt. Ea res ſummam omnibus lætitiam attulit, atque omnes a ſe mutuo diſtrahebantur hilares. Poſtquam vero multitudo in varias partes diſceſſit, et in ſingula præſidia pauci diviſi: tum ſingulis veteranis ademit ſtipendia, cum non amplius auxilium aliquod in multitudine paratum haberent.

12 Dionyſius per mare civitatem aggreſſurus, ut fidem triremium præfectorum perſpiceret, neque quisquam ſciret quo navigaturus eſſet, libellum nullis litteris ſcriptum obſignatum tamen, cuilibet præfecto dedit, mandans, ut poſtquam deductis navibus ſignum tolleretur, libellos ſolverent: iisque lectis, eo curſum tenerent, quo ſcripta juberent. Qui cum ſolviſſent, ille, priusquam ſignum datum eſſet, expeditam navem conſcendit, et circumnavigans, a ſingulis triremium præfectis libellum repetiit. Quos quidem deprehenderet reſignaſſe ſigillum, quaſi proditores ad mortis ſupplicium trahi juſſit. Reliquis alios libellos dedit, in quibus revera ſcriptum erat, quam ad civitatem navigaturus eſſet. Eaque res ad

φυλαχθὴν, παρέσχεν αὐτῷ τὴν Ἀμφίπολιν ἀφύλακτον λαβεῖν.

ιγ′ Διονύσιος βουλόμενος μαθεῖν, οἷα περὶ αὐτοῦ φρονοῖεν καὶ λέγοιεν οἱ ἀρχόμενοι, τὰς μουσουργοὺς καὶ τὰς ἑταίρας ἐκέλευσεν ἀπογράψασθαι· οἱ μὲν δὴ πολλοῦ τέλους ἐπιβολὴν ἐνόμισαν γενήσεσθαι· ὁ δὲ τέλος μὲν οὐκ ἐπέβαλεν· ἑκάστην δὲ τῶν ἑταιρῶν ἀνέκρινε βασανίζων, τίνα παρὰ τῶν ἐραστῶν συνόντων ἀκούσειαν περὶ τῆς τυραννίδος· οὕτω τοὺς βλασφημοῦντας μαθὼν, οὓς μὲν ἀπέκτεινεν, οὓς δὲ ἐδίωξεν.

ιδ′ Διονύσιος τὰ ὅπλα τῶν πολιτῶν παρελόμενος, ἡνίκα πρὸς τοὺς πολεμίους κινδύνου καιρὸς ἦν, προάγειν αὐτοὺς ἀπὸ τῆς πόλεως ρ′ στάδια κελεύσας, τούτοις ἀπεδίδου τὰ ὅπλα· μετὰ δὲ τὴν μάχην, πρὶν ἐπανελθεῖν εἰς τὴν πόλιν, καὶ τὰς πύλας ἀνοῖξαι, πάλιν αὐτοὺς ἐκέλευσεν ἀποτίθεσθαι τὰς πανοπλίας.

ιε′ Διονύσιος βουλόμενος εἰδέναι τίνες εἰσὶν οἱ πρὸς τὴν τυραννίδα ἀλλοτρίως ἔχοντες, κατέπλευσεν ἐκ τῆς Ἰταλίας εἰς τὸ κρυπτὸν νεώριον, 16 ὡς ἀποθανὼν ὑπὸ τῶν ἰδίων στρατιω-

16 Mſſ. ὡς λέκως τῶν. Codd. *Caſ.* ὡς λέκως ὑπὸ τῶν. Unde legendum forte ὡς ἀπολωλεκὼς ὑπὸ τῶν. *Maſv.*

ad hunc modum arcana habita, effecit ut Amphipolim nihil tale ſperantem, et præſidiis deſtitutam caperet.

13 Dionyſius, ut cognoſceret, quam de ſe ſententiam haberent, et quid dicerent ſubjecti, muſicas fœminas et meretrices conſcribi juſſit. Quæ cum magnum tributum ſibi impoſitum iri putarent, ille nihil eis impoſuit: ſed meretrices ſingulas exploravit, adhibitis tormentis quidnam ab amatoribus, quibus uterentur, audirent de tyrannide. Ita cognitos obtrectatores partim morte affecit, partim in exilium miſit.

14 Dionyſius, cum arma civibus eripuiſſet; quo tempore adverſus hoſtes periculum erat ſubeundum, cum eos ad centum ſtadia ex urbe produxiſſet, arma his reddidit. Poſt pugnam, antequam in urbem reverterentur, et portas aperirent, rurſus eos deponere armaturas juſſit.

15 Dionyſius cum ſcire cuperet, quinam iniquo animo tyrannidem ferrent, navigavit ab Italia in occultum navale: famamque ſparſit, Dionyſium a propriis militi-

σωματοφυλάκων· οἱ δὲ, βουλόμενοι ἔχοντες συνῆλθον μετὰ χαρᾶς, ἀλλήλοις τὸ πταῖσμα διηγοῦντο. ὁ δὲ συναρπάσας τοὺς ἐφηδομένους ἀπέκτεινεν.

ιϛʹ Διονύσιος ἀῤῥωστεῖν προσποιούμενος, λόγον διέδωκεν ὡς ἐσχάτως ἔχοι διακείμενος· ἐπεὶ δὲ πολλοὶ πρὸς τὴν φήμην ὑπερήσθησαν, αὐτὸς μετὰ τῶν δορυφόρων ἐπεξελθὼν ἅπασιν ἐφάνη· καὶ τοὺς ἐφηδομένους ἀπαχθῆναι προσέταξεν.

ιζʹ Διονύσιος Καρχηδονίους ἐπὶ μεγάλοις λύτροις ἀπεδίδου· τοὺς δὲ Ἕλληνας ἄνευ λύτρων· Καρχηδόνιοι τὴν τυράννου φιλανθρωπίαν ὑποπτεύσαντες, οὓς εἶχον μισθοφόρους Ἕλληνας ἀπέπεμψαν· τῷ Διονυσίῳ δὲ ἀρκοῦν εἶχε πολεμίων Ἑλλήνων ἀπαλλαχθῆναι.

ιηʹ Διονύσιος πολεμῶν Μεσσηνίοις, παρ' οἷς ἦσαν ὕποπτοί τινες ὡς προδιδόντες, βουλόμενος αὐτοὺς ταράττειν, τὴν τῶν ἄλλων χώραν λυμαινόμενος, τῆς τῶν διαβαλλομένων ἐκέλευσεν ἀπέχεσθαι· τοῦτο μὲν δὴ καὶ ἄλλοις οἶδα στρατηγοῖς πεπραγμένον. Διονύσιος δὲ πρὸς τοῦτο, καὶ στρατιώτην εἰσέπεμψε τάλαντον χρυσίου κομίζοντα τοῖς ὑποπτευομένοις.

bus interfectum eſſe. Qui ægre imperium ejus tulerant, concurrunt cum ſummo gaudio, ſibique mutuò caſum narrant. Ille comprehenſis iis, quibus ea res lætitiæ erat, omnes trucidavit.

16 Dionyſius morbum ſimulans, rumorem divulgavit, regem in extremo periculo verſari. Cum multis ea fama gaudium faceret, ipſe cum ſatellitibus progreſſus, omnibus conſpiciendum ſeſe præbuit, gaudentesque ad mortem rapi imperavit.

17 Dionyſius Carthaginienſium captivos magnâ mercede redemtos reddidit, Græcos verò ſine pretio. Carthaginienſes, tyranni humanitatem ſuſpectam habentes, mercenarios Græcos, quos habebant, dimiſerunt. Dionyſio verò commode hoc evenit, ut ab hoſtibus Græcis liberaretur.

18 Dionyſius bellum gerens cum Meſſaniis, apud quos aliqui in proditionis ſuſpicionem venerant, ut eis terrorem injiceret, cum reliquorum omnium fundos depopularetur, ab eorum prædiis abſtineri juſſit, qui calumnia premebantur. Hoc etiam ab aliis ducibus memini factitatum. Dionyſius vero præter hæc, militem etiam in urbem miſit, qui auri talentum iis, ad quos ſuſpicio

per-

μένοις· τοῦτον οἱ Μεσσήνιοι μετὰ χρυσίου λαβόντες, ἀνακρίναντες, μαθόντες οἷς ἐκόμιζεν, τοὺς μὲν ὡμολογημένους προδότας ὥρμησαν κολάζειν· οἱ δὲ ἦσαν ἐν δυνάμει· καὶ αὐτοὶ σφόδρως ἀντέστησαν· ἐγένετο στάσις, ἣ παρέσχε Διονυσίῳ Μεσσήνης κρατῆσαι.

ιθ' Διονύσιος ἐν σπάνει χρημάτων παρὰ τῶν πολιτῶν εἰσφορὰς ᾔτει· τῶν δὲ πολλάκις δεδωκέναι φασκόντων, βιάζεσθαι μὲν οὐκ ἔγνω· διαλιπὼν δὲ ὀλίγον, ἐκέλευσε τοὺς ἄρχοντας, ὅσα ἦν ἀναθήματα ἐν Ἀσκληπιοῦ· πολλὰ δὲ ἦν ἀργυρίου καὶ χρυσίου· ταῦτα ἔξω τοῦ ἱεροῦ κομίσαντας, ὡς βέβηλα, προκηρύττειν ἐπὶ τῆς ἀγορᾶς· οἱ Συρακούσιοι μετὰ πολλῆς σπουδῆς ἐπρίαντο· ὥς τι ἠθροίσθη χρημάτων πλῆθος· ὧν κρατήσας Διονύσιος, [17] προσέταξε κηρύττειν, εἴ τις τι τῶν τοῦ Ἀσκληπιοῦ ἀναθημάτων ἠγόρασεν, αὐτίκα εἰς τὸ ἱερὸν κομίζειν, καὶ ἀποδιδόναι τῷ θεῷ, ἢ θάνατον εἶναι τὴν ζημίαν: οἱ μὲν ἀπέδωκαν τῷ θεῷ· Διονύσιος δὲ εἶχε τὰ χρήματα.

κ' Διο-

17 Melius προσέταξε κηρύξας. *Caſ.* MſT. κηρύξαι.

pertinebat, adferret. Hunc Meſſanii cum auro deprehenderunt: cumque re examinata cognoviſſent quibus illud ferret, indicatos proditores ſupplicio afficiendos cenſuerunt: ii vero cum poteſtate erant, atque ei conſilio vehementer reſiſtebant, itaque ſeditione concitata, factum eſt ut Dionyſius Meſſana potiretur.

19 Dionyſius in egeſtate pecuniarum conſtitutus, tributum civibus imperavit. Qui cum ſæpe jam ſe contuliſſe dicerent, vim eis adhibendam eſſe non exiſtimabat. Intermiſſis vero paucis diebus mandavit principibus, ut dona Deo dicata (quibus Æſculapii templum erat exornatum, quæ multa fuerunt ex auro et argento confecta) e fano deportata, quaſi profana in foro proſcriberent. Ea ſummo ſtudio coëmebant Syracuſani, ita ut magna vis pecuniæ colligeretur, qua potitus Dionyſius, voce præconis juſſit: Si quis donum Æſculapio ſacrum emiſſet, mox in templum reportaret, Deoque reſtitueret, aut morte pœnam lueret. Illi Deo ſua reddiderunt. Dionyſius pecunias obtinuit.

20 Dio-

κ΄ Διονύσιος πόλιν ἑλὼν, ἧς τῶν πολιτῶν οἱ μὲν τεθνηκότες, οἱ δὲ πεφευγότες ἦσαν, [18] ἐπεὶ μείζων ἡ πόλις ἦν, ἢ ὥς τε ὑπὸ ὀλίγων φυλάττεσθαι, φρουροὺς μὲν ὀλίγους αὐτόθι καταλείπει· τοῖς δὲ ἁλοῦσιν οἰκέταις, τῶν δεσποτῶν θυγατέρας συνῴκισεν· ἵνα πολεμιώτατοι φανέντες αὐτῶν πιστοὶ φύλακες τῆς πόλεως γένοιντο.

κα΄ Διονύσιος ἐς Τυῤῥηνίαν πλεύσας ρ΄ τριήρεσι, καὶ ἱππαγωγοῖς, παρελθὼν ἐς τὸ τῆς Λευκοθέας ἱερὸν, λαβὼν νομίσματος τάλαντα φ΄, παραχρῆμα [19] ἔπλευσεν. μαθὼν δὲ ἐν ἀποῤῥήτῳ χρυσίου τάλαντα α΄, ἀργύρου πολλῷ πλείονα ὑπὸ τῶν στρατιωτῶν καὶ τῶν ναυτῶν διηρπάσθαι, πρὶν ἐπιβῆναι τῆς γῆς, ἐκήρυξε τοῖς ἔχουσι τὰ χρήματα προστάσσων· τὰ μέν τοι ἡμίσεα [20] ἀφαιρῶν, τὰ δὲ ἡμίσεα συγχωρῶν· ἢ θανάτῳ ζημιώσειν τοὺς μὴ πεισθέντας· οἱ μὲν τὰ ἡμίσεα προσεκόμισαν. ὁ δὲ ἀπὸ τούτων καὶ

τὰ

18 Mſſ. ἦν δὲ μεῖζον, ἢ ὥς τε. uti etiam Codd. *Caſaub.* quare ſcripſerim, ἦν δὲ μείζων, ἢ ὥς τις. *Maſv.* 19 Lege ἀπέπλευσεν. *Caſaub.* 20 *Fl.* ἀναφέρων. *Cant.* διαφέρων. Legendum videtur τὰ μὲν ἡμίσεα ἀναφέρειν, τὰ δὲ ἡμίσεα συγχωρεῖν. *Maſv.*

20 Dionyſius, cum urbem cepiſſet, cujus cives partim mortui, partim in exilium erant acti, cum urbs amplior eſſet, quam ut modicum præſidium ad eam tuendam ſufficeret, paucos quidem ibi in præſidio reliquit. Captis vero ſervis, dominorum filias in matrimonium dedit, ut ſummas inimicitias adverſus eos gerentes, fideliter civitatem cuſtodirent ac defenderent.

21 Dionyſius in Tyrrheniam navigans centum triremibus, cum navis quæ equites vehebat, tranſiſſet ad Leucotheæ fanum, acceptis ſeptuaginta talentis numiſmatis, confeſtim navigavit. Cumque intellexiſſet in occulto mille auri talenta, argenti multo plura, milites ac nautas diripuiſſe, antequam eos in terram exponeret, promulgavit, his qui pecunias haberent, imperans, ut dimidium ſummæ ad ſe deferrent, dimidio altero ipſis relicto. Qui morem non gererent, eos ſe morte mulctaturum. Qui cum dimidiam partem

tem

τὰ λοιπὰ εἰσπράξας, δωρεὰν ἔδωκεν αὐτοῖς μηνὸς σιταρκίαν.

κβ' Πάριοι, ζηλωταὶ λόγων Πυθαγορείων, διῆγον ἐν τοῖς περὶ Ἰταλίαν χωρίοις. Διονύσιος ὁ Σικελίας τύραννος ἐπεκηρυκεύετο πρὸς Μεταποντίνους, καὶ τοὺς ἄλλους Ἰταλιώτας περὶ φιλίας. Εὐήφενος προσφοιτῶσι νέοις καὶ τοῖς πατράσιν αὐτῶν γνώμην ἠγόρευε, μηδαμῶς τυράννῳ πιστεύειν· Διονύσιος ἐπὶ τούτῳ μᾶλλον ὠργίζετο· ὥς τε καὶ λαβεῖν αὐτὸν ὑποχείριον ἐσπούδασεν ἐκ Μεταποντίου διακομιζόμενον ἐς Ῥήγιον· ἐπεὶ δὲ ἔλαβεν, ἐπὶ τοῦ συνεδρίου κατηγορήσας ἔδειξεν ἡλίκων δι' αὐτὸν εἴη πραγμάτων ἀφῃρημένος· ὁ δὲ ὁμολογῶν, δικαίως ἔφη ταῦτα ποιῆσαι. τοὺς μὲν γὰρ εἶναι φίλους αὐτῷ καὶ μαθητάς· τύραννον οὐδὲ ὄψει γνώριμον αὐτῷ· ὃ δὲ αὐτοῦ θάνατον κατέγνω. Εὐήφενος οὐδὲν ταραχθεὶς, πρὸς Διονύσιον ἔφη· τοῖς μὲν δεδογμένοις πείθομαι· ἐπεὶ δὲ ἀνέκδοτος ἀδελφή ἐστί μοι ἐν Παρίῳ, ταύτην ἐκδοῦναι πρότερον βούλομαι διαπλεύσας εἰς τὴν πατρίδα, καὶ συντόμως ἐπανελθὼν θνήξομαι· πάντων γελασάντων

tem ſinguli attuliſſent, ab his ille reliqua etiam exegit, et dono eis dedit unius menſis frumentum.

22 Parii æmulatores Pythagorearum diſputationum, in regionibus circa Italiam degebant. Dionyſius Siciliæ tyrannus legationem de amicitia facienda ad Metapontios et cæteros Italos miſit. Euephenus juvenibus, qui diſcendi cauſſa ad eum commeabant, eorumque parentibus, ſuadebat, nullo modo tyranni verbis adhibendam eſſe fidem. Quæ res ad iram vehementiſſime Dionyſium inflammabat. Itaque operam dabat, quemadmodum eum in ſuam poteſtatem redigere poſſet, cum Metapontio Rhegium transportaretur. Quem poſteaquam cepit, in concilio accuſationem in eum intendens demonſtravit, quantis rebus ob eum ſolum eſſet ſpoliatus. Ille confitens, recte ſe feciſſe prædicabat. Illos enim amicitia et diſcendi conſuetudine ſibi devinctos eſſe: tyrannum ſibi ne de facie quidem cognitum. Qui eum ob hæc morti adjudicavit. Euephenus nihil perterritus, ad Dionyſium inquit: Decretis quidem pareo, verum quia ſororem adhuc innuptam habeo, eam prius in Pario collocare, alicui in animum induxi. Itaque in patriam navigabo, brevique reverſus mortem obibo. Cum omnes hoc audito ſermone in

των ἐπὶ τῷ λόγῳ, Διονύσιος ἐθαύμασε· καὶ ἤρετο· τίς ἂν οὖν [21] πιστὸς γένοιτο; ὁ δὲ ἐγγυητὴν, ἔφη, τοῦ θανάτου καταστήσω. καὶ μεταπεμψάμενος τὸν Εὔκριτον, ἠξίωσεν ἐγγυήσασθαι· ὁ δὲ μάλ' ἀσμένως ἐπένευσε τοῦ θανάτου τὴν ἐγγύην· συντάξας, τὸν μὲν ἐξιέναι, ὡς ἐν μησὶν ἓξ ἐπανήξοντα. αὐτὸν δὲ φυλάττειν αὐτόθι μένοντα καὶ φρουρούμενον. ἦν τὸ χρῆμα ἤδη θαυμαστόν· θαυμαστότερον δὲ ἐγένετο. καὶ γὰρ μετὰ τοὺς ἓξ μῆνας, ὁ τὸν ἐγγυητὴν παρασχὼν, τὴν ἀδελφὴν ἐκδοὺς ἐπανελθὼν, ἐν Σικελίᾳ παραδοὺς ἑαυτὸν, ἠξίωσε τὸν ἐγγυησάμενον ἀφεῖναι. Διονύσιος ὑπεραγασθεὶς ἀμφοτέρων τὴν ἀρετὴν, ἀμφοτέρους ἀφῆκεν. καὶ τὰς δεξιὰς λαβὼν, ἠξίου τρίτον αὐτὸν εἰς τὴν ἑαυτῶν φιλίαν συγκατατάττειν, καὶ μένειν παρ' αὐτῷ κοινωνοῦντας τῶν παρόντων ἀγαθῶν. οἱ δὲ τὴν μὲν προαίρεσιν ἀπεδέξαντο τοῦ τυράννου· ᾐτήσαντο δὲ εἰ τὸ ζῆν αὐτοῖς βούλοιτο παρασχεῖν, συγχωρῆσαι ἀναστρέφειν ἐπὶ τὰς συνήθεις διατριβὰς μετὰ τῶν νέων· συνεχώρησε Διονύσιος· τοῦτο τὸ ἔργον ἔπεισε πολλοὺς Ἰταλιωτῶν Διονυσίῳ πιστεύειν.

ΚΕΦ. Γ.

21 Πίστις. *Caſ.*

in riſum effunderentur, Dionyſius admirabatur, et interrogabat: Quisnam igitur pro te ſponſurus eſt. Ille: Vadem, inquit, mortis dabo. Eucritumque arceſſitum rogavit, ut vadimonio fungeretur. Qui admodum lubens, hanc pro morte ſponſionem recepit, tranſigens, ut ille digreſſus intra ſex menſium ſpatium reverteretur. Se vero ibidem permanentem, interea temporis cuſtodiri et aſſervari juſſit. Admirandum quidem factum erat; verum longe mirabilius aliud conſecutum eſt. Etenim poſt ſex menſes, is qui eum vadem dederat, collocata ſorore ſua, reverſus in Siciliam, ſeipſum tyranno reddidit, juſſitque vadem dimitti. Dionyſius utriusque virtutem ſupra modum complexus, et admiratus, ambos liberos dimiſit: petiitque ut data fide tertium ipſum in amicitiam ſuam adſcriberent, et apud ſe manerent, præſentibusque bonis una fruerentur. Qui animum quidem tyranni, propoſitumque comprobaverunt: at petebant, ſi vitam ſibi concedere vellet, reverti ſe ad conſuetas cum adoleſcentibus exercitationes pateretur. conceſſit Dionyſius. Hoc facto multos Italos adduxit, ut majorem ſibi fidem haberent.

CAP. III.

ΚΕΦ. Γ.

ΑΓΑΘΟΚΛΗΣ.

Ἀγαθοκλῆς Σικελίας τύραννος ὀμόσας τοῖς πολεμίοις, παρέβη τοὺς ὅρκους, καὶ κατασφάξας τοὺς ἁλόντας, ἐπιχλευάζων πρὸς τοὺς φίλους ἔλεγεν. Δειπνήσαντες ἐξεμέσωμεν τοὺς ὅρκους.

β' Ἀγαθοκλῆς νικήσας Λεοντίνους, Δεινοκράτην τὸν στρατηγὸν αὐτῶν ἐς τὴν πόλιν ἔπεμψε, λέγοντα, ὡς ἄρα φιλοτιμοῖτο πρὸς Διονύσιον, 22 εἰ βούλοιτο σῶσαι αὐτοὺς, ὡς ἐκεῖνος ἔσωσε τοὺς περὶ τὸν Ἐλέπορον ποταμὸν πταίσαντας Ἰταλιώτας· ἐπίστευσαν Λεοντίνοι, καὶ ὄλβους ἔδωκαν. Ἀγαθοκλῆς εἰσελθὼν ἐκέλευσεν αὐτοὺς ἀόπλους ἐς τὴν ἐκκλησίαν συνελθεῖν· ὁ στρατηγὸς ἐπηρώτησεν, ὅτῳ δοκεῖ ὅπερ καὶ Ἀγαθοκλεῖ, αἰρέτω τὴν χεῖρα. ὁ τοίνυν Ἀγαθοκλῆς, δοκεῖ μοι, ἔφη, πάντας ἀνελεῖν· ἦσαν δὲ μύριοι· καὶ δὴ περιστάντες οἱ στρατιῶται πάντας ἀνεῖλον ἐπὶ τῆς ἐκκλησίας.

γ' Ἀγαθοκλῆς πυθόμενος τοὺς ἐν τέλει Συρακουσίων νεωτερίζειν, Καρχηδονίους νικήσας θύων ἐπινίκια, φ' ἄνδρας τοὺς

22 καὶ. Caſ.

CAP. III.

AGATHOCLES.

Agathocles datum hoſtibus jusjurandum, transgreſſus eſt: occiſisque captivis, ridens ad amicos dixit: Cœnati, jurisjurandi religionem evomamus.

2 Agathocles, cum ſuperaſſet Leontinos, Dinocratem ducem miſit in urbem eorum, qui diceret, ei cum Dionyſio gloriæ contentionem eſſe, ſeque velle eos conſervare, quemadmodum ille conſervavit Italos ad Eleporum fluvium prælio devictos. Crediderunt Leontini, pecuniasque dederunt. Agathocles ingreſſus, juſſit eos in concionem inermes conveniere. Dux interrogabat, cui videretur idem quod Agathocli, is manum tolleret. Agathocles igitur: Mihi, inquit, placet omnes occidere. Decem vero eorum millia erant. milites, qui circumſiſtebant, omnes in concione trucidarunt.

3 Agathocles, cum audiſſet principes Syracuſanorum novis rebus ſtudere, Carthaginienſibus devictis, gratulatoria

τοὺς ὑπόπτους ἐπὶ τὴν ἑστίαν ἐκάλεσεν· ἦν μὲν δὴ μεγαλοπρεπὴς ἡ τῶν κληθέντων ἑστία· αὐτὸς δὲ ἤδη μεθυόντων ἐς μέσους παρελθὼν, 23 κροκωτὸν ἐνδὺς Ταραντῖνον, περιβαλλόμενος ηὔλησεν, ἐκιθάρισεν, ὠρχήσατο· ὥς τε ὑφ᾽ ἡδονῆς θόρυβος καὶ κρότος ἐκ πάντων ἦν· ἐν δὲ τῷ καιρῷ τῆς ἡδονῆς, ὑπεξῆλθε τοῦ συμποσίου ὡς κεκμηκὼς, τὴν ἐσθῆτα ἀλλάξων· ἐκυκλώσαντο τὸν ἀνδρῶνα ὁπλῖται πολλοί. χίλιοι δὲ ξίφη σπασάμενοι, δύο κατὰ ἕνα στάντες πάντας ἀπέσφαξαν τοὺς κατακειμένους.

δ᾽ Ἀγαθοκλῆς Ὀφέλαν Κυρηναῖον σὺν πολλῇ δυνάμει στρατεύσαντα πυθόμενος εἶναι φιλόπαιδα, ὅμηρον αὐτῷ τὸν ἴδιον υἱὸν ἔπεμψεν Ἡρακλείδην ὡραῖον ὄντα, ἐντολὴν δοὺς τῷ παιδὶ ἀντισχεῖν τῇ πείρᾳ μέχρις ὀλίγων ἡμερῶν· ἧκεν ὁ παῖς· ὁ Κυρηναῖος τῆς ὥρας ἡττώμενος περιεῖπεν αὐτὸν, καὶ περὶ τὴν θεραπείαν αὐτοῦ 24 μόνην ἠσχολεῖτο. Ἀγαθοκλῆς ἄφνω τοὺς Συρακουσίους ἐπαναγαγὼν, τόν τε Ὀφέλαν

23 Diſtinguo: κροκωτὸν ἐνδὺς, Ταραντῖνον περιβαλλόμενος, ηὔλησεν. *Maſv.* 24 *Cant.* μόνον.

toria diis ſacrificia peragens, quingentos viros, quos ſuſpectos habebat, ad convivium convocavit. Erat ſane magnificentiſſimum vocatorum, et ſupra modum opiparum convivium. Ipſe vero, cum omnes jam la:gius vinum hauſiſſent, in medium eorum ingreſſus, crocota indutus et Tarentina veſte amictus, fiſtula cecinit, citharaque luſit atque ſaltavit, ita ut e nimia voluptate tumultus ſtrepitusque conſequeretur. Interim dum omnes indulgent genio, ipſe e convivio ſe ſubduxit, quaſi defatigatus, et ſe veſtem mutaturum ſimulavit. Circumdederant eum locum, ubi convivium agitabatur, magnus armatorum numerus, et ex iis mille diſtrictis gladiis bini ſingulos aggreſſi, diſcumbentes ad unum omnes peremerunt.

4 Agathocles Ophelam Cyrenenſem cum ingentibus copiis militantem, audiens amantem eſſe puerorum, obſidem ei proprium filium miſit Heraclidem, egregia forma præditum: præceptumque dedit puero, ut paucos dies reſiſteret. Venit puer. Cyrenenſis formæ elegantia victus, eum amplectebatur, omnique ſtudio eum colebat. Agathocles repente Syracuſanis adductis, Ophelam occidit:

λαι ἀπέκτεινε, καὶ τῆς δυνάμεως αὐτοῦ πάσης ἐκράτησε. καὶ τὸν υἱὸν ἀπέλαβεν οὐχ ὑβρισθέντα.

ε' Ἀγαθοκλῆς ἐπὶ Καρχηδόνα διαπλεῦσαι βουλόμενος, ἤδη μέλλων ἀνάγεσθαι, δοκιμάζει τίνες αὐτῷ συνδιαπλεῦσαι δύναιντο· καὶ δὴ προέγραψεν ἐπιτρέπων τοῖς βουλομένοις ἑαυτοὺς σώζειν, ἐξιέναι τῶν νεῶν μετὰ τῶν ἰδίων κτημάτων· ἐξῆλθον συχνοί. καὶ τοὺς μὲν δὴ ἔκτεινε πάντας ὡς δειλοὺς καὶ ἀπίστους· τοὺς δὲ μείναντας, ὡς ἀνδρείους καὶ πιστοὺς ἐπαινέσας, διέβαλεν εἰς τὴν Λιβύην ξ' ναυσὶ, καὶ τῆς γῆς ἐπιβὰς παραχρῆμα τὰς ναῦς ἐνέπρησεν, ὅπως ἀγωνίζοιντο γενναιότερον οἱ στρατιῶται, τὸ δύνασθαι φεύγειν ἐπὶ τῶν νεῶν ἀπεγνωκότες. τούτοις τοῖς στρατηγήμασι χρησάμενος Ἀγαθοκλῆς, αὐτῶν τε Καρχηδονίων, καὶ πολλῶν ἐν Λιβύῃ πόλεων ἐκράτησεν.

ϛ' Ἀγαθοκλῆς β στρατιώτας συντεταγμένους ᾔτησε παρὰ Συρακουσίων ὡς διαβησόμενος εἰς τὴν Φοινίκην, φάσκων τῶν ἐκεῖ τινὰς προδιδόντας μετὰ σπουδῆς αὐτὸν καλεῖν. πιστεύσαντες ἔδωκαν οἱ Συρακούσιοι· ὁ δὲ λαβὼν τοὺς στρα-

cidit: omnemque exercitum ejus ſuperavit, et filium nulla injuria affectum aut corruptum accepit.

5 Agathocles Carthaginem verſus navigationem inſtituere volens, cum jam in eo eſſet, ut ſolveret, exploravit, quinam una navigare poſſent: et promulgavit ſe concedere, ut qui vitæ ſuæ conſultum vellent, e navibus cum ſupellectile ſua egrederentur. Exierunt multi, quos univerſos, quaſi timidos et infidos, morte affecit. Eos vero qui manſerant, ob fortitudinem ac fidem laudibus evehebat, et in Africam cum ſexaginta navibus trajecit. Cumque in terram eos expoſuiſſet, extemplo naves igne ſubjecto incendit, ut milites ſe fortius in pugnando gererent, fuga per naves deſperata. His uſus ſtrategematis Agathocles, ipſos Carthaginienſes, multasque in Africa civitates ſuperavit.

6 Agathocles bis mille milites in aciem inſtructos petiit a Syracuſanis, quaſi in Phœniciam transmiſſurus, inquiens ſe ab aliquibus ejus regionis incolis, quo commodius proditionem tranſigant, ſummo ſtudio arceſſi. Syracuſani credentes dederunt. Quos

στρατιώτας. Φοίνιξι μὲν μακρὰ χαίρειν ἔφη· ὁρμήσας δὲ ἐπὶ τοὺς συμμάχους, τὰ περὶ τὴν 25 Ταυρομενίαν φρούρια κατέσκαψεν.

ζ' Ἀγαθοκλῆς πρὸς Ἀμίλκαν ἀνοχὴν ἔθετο· ὥς τε ὁ μὲν Λιβύην ἀπῆρεν, ὁ δὲ συναγαγὼν ἐκκλησίαν τῶν Συρακουσίων, ταύτην, ἔφη, τὴν ἡμέραν ηὐξάμην ἐν ᾗ τοὺς πολίτας ὄψομαι τὴν ἐλευθερίαν ἔχοντας. ταῦτα λέγων, τὴν χλαμύδα περιελὼν, καὶ τὴν μάχαιραν, 26 αὐτὸν ἰδιώτην ἀπέφηνε τῶν Συρακουσίων, ὡς ἀνδρὶ δημοτικῷ καὶ μετρίῳ τὴν πολιτείαν ἐπιτρεψάντων· ὁ δὲ μετὰ τὴν ἕκτην ἡμέραν πολλοὺς φονεύσας τῶν πολιτῶν, διώξας δὲ πλείους τῶν ε' χιλιάδων, αὐτὸς τὴν ἀρχὴν τῶν Συρακουσίων κατέσχεν.

η' Ἀγαθοκλῆς μαθὼν τοὺς περὶ Τίσαρχον, καὶ Ἀνθρώπινον, καὶ Διοκλέα φίλους ἐπιβουλεύειν αὐτῷ, καλέσας αὐτοὺς, ἐνεχείρισεν αὐτοῖς πολλὴν στρατιὰν, ἵνα πόλει συμμάχῳ πολεμουμένῃ βοηθεῖεν ἐξελθόντες· καὶ αὔριόν γε, ἔφη, συνελθόντες εἰς τὸ Τιμολεόντιον μετὰ τῶν ὅπλων, καὶ

25 *Mſſ. Interpres* et *Codd. Caſaub.* Ταυρομενίτιν. 26 *Caſ.* hic aliquid deeſſe putat, et ſic legit: αὐτὸν ἰδιώτην ἀπέφηνε. πάλιν δὲ τῶν Συρακουσίων.

Quos cum accepiſſet, Phœnicum nullam habuit rationem: et adverſus ſocios expeditione facta, caſtella circa Tauromeniten diruit.

7 Agathocles cum Amilcare inducias fecit: Itaque hic in Africam diſceſſit: Ille vero congregata Syracuſanorum concione: Hanc, inquit, horam ſemper omnibus votis optavi, qua cives viſurus eſſem libertate præditos. His dictis, depoſita chlamyde et enſe, ſeipſum privatum Syracuſanorum eſſe declaravit, quaſi viro populari et moderato Rempublicam commiſiſſent. At ille poſt diem ſextum multis interfectis civibus, et fugatis plus quinque millibus, ipſe Syracuſanorum imperium obtinuit.

8 Agathocles cum reſciſſet, ab amicis Tiſarcho, Anthropino, et Diocle ſibi inſidias parari, arceſſivit eos, magnumque exercitum ipſis commiſit, ut egreſſi ſociæ cuidam civitati, quæ ab hoſtibus oppugnabatur, auxilio venirent. Et cras, inquit, in Timoleontium conveniemus cum armis et equis, omnemque

καὶ τῶν ἵππων διατάξομεν τὴν ἔξοδον· οἱ μὲν ἄσμενοι ταῦτα ἐδέξαντο ὡς μέλλοντες καὶ δύναμιν στρατιωτικὴν ἔχειν πρὸς τὴν ἐπίθεσιν· ἐπὶ δὲ τῆς ὑστεραίας εἰς τὸ Τιμολεόντιον συνῆλθον· ὁ δὲ Ἀγαθοκλῆς ἐσήμηνε τὴν σύλληψιν. οἱ δὲ τὸ σύνθημα δεξάμενοι, τοὺς περὶ Διοκλέα καὶ Τίσαρχον, καὶ Ἀνθρώπινον, ἄνδρας τῶν σʹ πλείονας ἐξεκέντησαν· ὅσοι δὲ βοηθεῖν τούτοις ἐπειρῶντο, καὶ οὗτοι προσανῃρέθησαν, οὐκ ἐλάττους τῶν ἑξακοσίων.

ΚΕΦ. Δ.

ΙΠΠΑΡΙΝΟΣ.

Ἱππαρῖνος ἐν Λεοντίνοις ὢν, αἰσθόμενος τὴν Συρακουσίων πόλιν ἔρημον γενομένην, διὰ τὸ μετὰ Καλλίππου τοὺς πολίτας εἴς τινα τόπον ἐξορμηκέναι νομίσας, ἐκ Λεοντίνων ἐλθὼν ἐπὶ Συρακούσας νυκτὸς, πέμψας τινὰς ἐπὶ τὴν πόλιν, ἐκέλευσε τοὺς παραφυλάττοντας τὴν ἐφοδίαν ἀποκτεῖναι. οἱ μὲν ἔκτειναν τοὺς παραφυλάσσοντας, καὶ πυλίδας τινὰς τοῦ τείχους διεῖλον· Ἱππαρῖνος δὲ διὰ τούτου τοὺς ξένους εἰσαγαγὼν, κατέσχε τὴν Συρακουσίων πόλιν.

ΚΕΦ. Ε.

que expeditionem ordinabimus. Illi libentibus animis hæc receperunt, quod etiam ſe militares copias ad aggrediendum regem habituros putabant. Poſtridie cum in Timoleontium conveniſſent, Agathocles ſignum ad eos comprehendendos dedit. Reliqui audito ſigno Dioclem, Tiſarchum, et Anthropinum cum omnibus aſſeclis ad ducentos confoderunt: omnesque quotquot his opem vellent adferre, ſimul neci dederunt, non minus ſexcentis.

CAP. IV.

HIPPARINUS.

Hipparinus cum in Leontinorum urbe degens, Syracuſas audiret vacuas eſſe defenſoribus, quod cives in locum quendam cum Calippo profecti ex urbe dicerentur, ſtatuit ab Leontinis Syracuſas verſus exercitum ducere: noctuque miſit aliquos ad urbem, qui vigiles et excubitores de medio tollerent. Qui cum hoc præſtitiſſent, et portas aliquas civitatis aperuiſſent, Hipparinus per eas mercenarios introduxit, civitatemque Syracuſanorum occupavit.

ΚΕΦ. Ε.

ΘΕΟΚΛΗΣ.

Θεοκλῆς Χαλκιδέας τοὺς ἀπ' Εὐβοίας ἀγαγὼν, τὴν Λεοντίνων κατέσχεν μετὰ Σικελῶν, οἱ προενοικοῦντες ἐτύγχανον· ἐπεὶ δὲ καὶ Πλαταιεῖς ἐκ Μεγάρων ἀποικίαν ἀναγαγόντες τῇ Λεοντίνων προσβάλλουσιν, αὐτὸς μὲν ἐκβαλεῖν ἔφη τοὺς συνοικοῦντας Σικελοὺς μὴ δύνασθαι, διὰ τοὺς ὅρκους· ἐκείνοις δὲ νυκτὸς ἀνοίξειν τὰς πύλας, καὶ παρελθόντας αὐτοὺς χρῆσθαι τοῖς Σικελοῖς ὡς πολεμίοις. ὁ μὲν ἀνέωξεν· οἱ δὲ Μεγαρεῖς καταλαβόμενοι τὴν ἀγορὰν, καὶ τὴν ἀκρόπολιν, ὡπλισμένοι προσέπιπτον τοῖς Σικελοῖς· οἱ δὲ καταλειφθέντες ἄοπλοι τὴν πόλιν ἐκλιπόντες ἔφευγον· Μεγαρεῖς δὲ ἀντὶ Σικελῶν Χαλκιδεῦσι συνωμολόγησαν.

β' Θεοκλῆς Μεγαρέας Χαλκιδεῦσι συνοικήσαντας ἓξ μῆνας, τῆς πόλεως ἐξέβαλε, φήσας, εὔξασθαι κατὰ τὸν τοῦ πολέμου καιρὸν, ἐὰν κρατήσωμεν τῆς πόλεως ἀσφαλῶς, θύσειν τοῖς δώδεκα θεοῖς, καὶ πέμψειν πομπὴν ὅπλοις κεκοσμημένην· τῶν δὲ Μεγαρέων οὐχ ὑπιδομένων, ἀλλὰ θύειν ἀγαθῇ τύχῃ κελευόντων. Χαλκιδεῖς παρ' αὐτῶν εἰς τὴν

CAP. V.

THEOCLES.

Theocles Chalcidenſibus ab Eubœa adductis, Leontinorum civitatem invaſit, obtinuitque cum Siculis, qui antea ſedes in ea habuerant. Cum vero Platæenſes ex Megaris coloniam deducere in Leontinorum civitatem vellent, ad eamque veniſſent, ſe quidem jurisjurandi religione impediri dicebat, quo minus inhabitantes Siculos expellere poſſet; ipſis vero portas noctu patefacturum. Itaque ingreſſi, Siculos pro hoſtium conſuetudine tractarent. Qui cum portas aperuiſſet, Megarenſes occupato foro et arce, Siculos armati adoriebantur. Qui cum inermes obrutos ſe viderent, relicta civitate, fugam capeſſiverunt. Megarenſes vero pro Siculis ſocietatem cum Chalcidenſibus inierunt.

2 Theocles Megarenſes, cum ſex menſes Chalcidenſibus cohabitaſſent, ejecit ex urbe. Dicebat enim, ſe belli tempore votum nuncupaſſe, ſi urbe potiti ſine periculo fuiſſent, duodecim diis ſacrificia peracturum, pompamque armis ornatam celebraturum. Megarenſibus nihil ſuſpicantibus mali, ſed bonæ fortunæ ſacra jubentibus facere: Chalcidenſes ad obeundam

τὴν πομπὴν χρησάμενοι τὰς πανοπλίας, τῆς θυσίας γινομένης, αὐτοὶ νόμῳ πομπῆς βαδίζοντες· ἐπειδὴ κατὰ τὴν ἀγορὰν ὡπλισμένοι κατέστησαν, Θεοκλῆς ἐκέλευσεν ἀνειπεῖν τὸν κήρυκα, Μεγαρεῖς, ἐκ τῆς πόλεως ἀπιόντων πρὸ δύναντος ἡλίου· οἱ δὲ ἐπὶ τοὺς βωμοὺς ἱκέται καταφυγόντες, ἠξίουν μὴ διώκεσθαι, ἢ μετὰ τῶν ὅπλων ἐκπέμπεσθαι. Θεοκλῆς μετὰ τῶν Χαλκιδέων ἐβουλεύσατο οὐκ ἀσφαλῶς ἔχειν ἐκβαλεῖν τοσούτους ἐχθροὺς ὡπλισμένους· καὶ δὴ γυμνοὶ Μεγαρεῖς τῆς Λεοντίνων ἐκπεσόντες Τρώϊλον κατῴκησαν, μέχρι ἑνὸς χειμῶνος· μέχρι γὰρ τοσούτου συνεχώρησαν οἱ Χαλκιδεῖς.

ΚΕΦ. ϛ.

ΙΠΠΟΚΡΑΤΗΣ.

Ἱπποκράτης κρατῆσαι τῆς Ἐργετίνων πόλεως ἐσπουδακὼς, οὓς Ἐργετίνους εἶχε μισθοφόρους, τούτοις ἔνεμεν ἀεὶ τῆς λείας τὸ πλεῖον μέρος, καὶ μισθοὺς μείζονας, ὑπερεπαινῶν αὐτοὺς ὡς προθυμοτάτους, καὶ μάλιστα 27 χαρίνος, ὡς πλείο-

27 Conjeſt. *Caſaub.* στοχαζόμενος. conj. *Maſv.* χαριζόμενος.

dam pompam ab iis arma mutuati, dum ſacrificium perageretur, ipſi in morem pompæ gradientes, poſtquam in foro armati conſtitiſſent, Theocles præconem juſſit proclamare: Megarenſes ante ſolis occaſum ex urbe diſcedant. Illi ad aras ſupplices confugerunt, et ne ſe in exilium pelleret, rogaverunt, aut cum armis ex urbe emitteret. Theocles conſilio cum Chalcidenſibus habito, non tutum eſſe cenſuit, tot hoſtes armis munitos ejicere. Itaque inermes Megarenſes e Leontino pulſi, Troïlum inhabitaverunt, unam duntaxat hiemem. Tamdiu enim permiſerant Chalcidenſes.

CAP. VI.

HIPPOCRATES.

Hippocrates ad occupandam Ergetinorum urbem animum intendens, quos quidem Ergetinos ſecum ſtipendiarios habebat, his ſemper maximam prædæ partem diſtribuit, amplioremque mercedem dedit, ac ſummis eos laudibus tanquam ad ſubeunda pericula promtiſſimos affecit: in primisque operam dedit, ut plurimos ex hac

 urbe

πλείονας ἐκ τῆς πόλεως ταύτης ἔχοι συμμάχους· ταῦτα ἠγγέλλετο τοῖς ἐν τῇ πόλει· οἱ δὲ ζηλώσαντες πολιὰν τῶν στρατευομένων, ἐθέλοντες πάντες ἐξῆλθον, καταλιπόντες ἔρημον τὴν πόλιν. Ἱπποκράτης φιλοφρόνως δεξάμενος τοὺς ἄνδρας, αὐτῆς νυκτὸς ἀναλαβὼν τὴν δύναμιν, διὰ τοῦ Λαιστρυγονίου πεδίου προῆγε. τοὺς μὲν Ἐργετίνους τάξας πρὸς τὴν θάλατταν· τὴν δὲ ἄλλην στρατιὰν πρὸς τὴν ἤπειρον· ἐπεὶ δὲ ἐφράχθησαν πρὸς ταῖς ῥαχίαις τῶν κυμάτων οἱ Ἐργετῖνοι, τοὺς ἱππεῖς προπέμψας Ἱπποκράτης, τὴν πόλιν αὐτῶν ἔρημον οὖσαν κατελάβετο· καὶ τὸν κήρυκα πόλεμον αὐτοῖς προειπεῖν ἐκέλευσε, καὶ σύνθημα Γελῴοις καὶ Καμαριναίοις ἔδωκε κτείνειν ἀδεῶς Ἐργετίνους ἅπαντας.

ΚΕΦ. Ζ.

ΔΑΦΝΑΙΟΣ.

Δαφναῖος Συρακουσίων, καὶ Ἰταλιωτῶν πρὸς Καρχηδονίους παραταττομένων. τὸ μὲν δεξιὸν κέρας ἐχόντων Συρακουσίων· τὸ δὲ εὐώνυμον Ἰταλιωτῶν, ἀκούσας μεγάλης βοῆς φερομένης ἀπὸ τῆς λαιᾶς τάξεως, προσδραμὼν, τοὺς Ἰταλιώτας ἰδὼν πονοῦντας καὶ ἡττωμένους, ἐπανελθὼν ἐπὶ τὸ

urbe in exercitu ſuo haberet: hæc civibus in urbe nuntiabantur. Qui æmulantes militantium famam ac fortunam, omnes urbe relicta, ad ſtipendia ſub Hippocrate merenda exierunt. Hippocrates amice ſuſceptis hominibus, eadem nocte copiis aſſumtis per Læſtrygonium campum eas duxit: Ergetinisque ad mare collocatis, reliquo exercitu in continente, cum Ergetini ſeparati eſſent, et fluctibus impediti, præmiſſis equitibus Hippocrates, urbem eorum deſertam ac præſidiis nudatam, occupavit, præconemque miſit, qui bellum ipſis indiceret, et Gelois atque Camarinæis ſignum dedit, ut audacter Ergetinos ad unum omnes concidérent.

CAP. VII.

DAPHNÆUS.

Daphnæus Syracuſanis et Italis cum Carthaginienſibus prælium committentibus, dextrum cornu tenentibus Syracuſanis, ſiniſtrum Italis, cum audiſſet magnum tumorem ferri a lævo, accepe-rit: conſpicatusque laborantes, et pene victos Italos, retro verſus ad dextrum cornu, lætum

τὸ δεξιὸν κέρας, εὐηγγέλιζε τοῖς Συρακουσίοις [28] τῶν Ἰταλιωτῶν κατὰ τὴν εὐώνυμον τάξιν νενικηκότων· καλῶς δὲ ἔχειν, καὶ παρ' αὐτῶν ἔργον τι γενναῖον γενέσθαι· ὑπολαβόντες οἱ Συρακούσιοι, τὸν στρατηγὸν ἀληθῆ λέγειν, ἀνεβόησαν, Παντὶ θυμῷ τοῖς πολεμίοις ἐμβάλλωμεν. καὶ δὴ προθύμως ἐμβαλόντες ἐτρέποντο τοὺς βαρβάρους.

ΚΕΦ. Η.

ΛΕΠΤΙΝΗΣ.

Λεπτίνης Καρχηδονίων ἐπέκεινα τοῦ Παχύνου παραπλεόντων, καὶ ἀποβαινόντων ἐπὶ τὴν γῆν, καὶ ὅσα ἐπὶ θαλάττῃ, καὶ γῇ ἁρπαζόντων, παρακαθίσας νύκτωρ ἱππεῖς ἐνεδρεύοντας· προπέμψας κρύφα τινὰς ἐκέλευσεν ἐμπιπράναι τοὺς σταθμούς· οἱ δὲ Καρχηδόνιοι πρὸς τὰ καιόμενα προσθέοντες ὡς ἁρπασόμενοι τὰ ἐν τοῖς σταθμοῖς, περιέπιπτον τοῖς ἐνεδρεύουσιν ἱππεῦσιν, ὑφ' ὧν διωκόμενοι μέχρι τῶν τριήρων, οἱ πλεῖστοι διεφθείροντο.

β' Λεπτίνης, ἐκ Λακεδαίμονος ἀνακομιζόμενος Τάραντι προσέσχεν· ἐκβάντων δὲ τῶν ναυτῶν, οἱ Ταραντῖνοι τού-

τους

28 Codd. *Caſaub.* ὡς τῶν Ἰταλ.

lætum nuntium Syracuſanis attulit, Italosque in ſiniſtro cornu victoriam adeptos prædicabat: egregiumque eſſe, ſi ab ipſis etiam præclarum aliquod facinus ederetur. Syracuſani ducem vera dicere arbitrati, exclamarunt: Omnibus viribus in hoſtes irruamus; alacriterque impetu facto, barbaros in fugam verterunt.

CAP. VIII.

LEPTINES.

Leptines Carthaginienſibus Pachynum præternavigantibus, et in terram egredientibus, et prædam terra marique facientibus, ſub noctem equitibus in inſidiis collocatis, clam aliquot præmiſſos juſſit navalia incendere. Carthaginienſes igne conſpecto accurrentes, ut, quæ in navalibus eſſent, raperent, in equites inſidiantes incidunt: a quibus fuſi, fugatique ad triremes uſque, magnum ſuorum numerum amiſerunt.

2 Leptines Lacedæmone profectus, navem Tarentum appulit. Expoſitis nautis, Tarentini nullam his quidem injuriam aut vim attulerunt,

ob

τους μὲν οὐκ ἠδίκουν, ὄντας Λακωνικούς· τὸν δὲ Λεπτίνην ἐζήτουν συλλαβεῖν· ὁ δὲ τὴν ἰδίαν στολὴν ἀποθέμενος, καὶ λαβὼν τὰ αὐτοῦ σκεύη, καὶ φορτίον ξύλων ἀράμενος, ἐπέβη τῆς νεώς. καὶ ἀποκόψας τὰ πρυμνήσια τὸ σκάφος ἐπανῆγε, καὶ τοὺς ναύτας προσνηξαμένους ἀπολαβὼν ἀνέπλευσεν ὡς Διονύσιον.

ΚΕΦ. Θ.
ΑΝΝΩΝ.

Ἄννων σὺν Καρχηδονίοις ἀνακομιζομένοις παρέπλει Σικελίαν· Διονύσιος τύραννος ἐξέπεμψε ναῦς ἐπ᾽ αὐτὸν οὐκ ὀλίγας. αἱ μὲν ὅσον οὐκ ἤδη συνῆγον. ὁ δὲ Ἄννων τῶν αὐτοῦ νεῶν καθαιρεῖ τὰ ἱστία. καὶ οἱ πολέμιοι τὸ αὐτὸ ἐποίησαν. Ἄννων δὲ συνέταξεν ὀξέως ἄρασθαι τὰ ἱστία καὶ οὕτω διέφυγε τοὺς ἐναντίους μέλλοντας, καὶ ταρασσομένους, καὶ ἀπειροτέρους ὄντας ναυτικῆς ἐπιστήμης.

ΚΕΦ. Ι.
ΙΜΙΛΚΩΝ.

Ἰμίλκων Καρχηδόνιος εἰδὼς τῶν Λιβύων τὸ φίλοινον, κεράμια οἴνου πολλὰ μανδραγόρᾳ διαφθείρας, καὶ ἐν τοῖς προα-

ob eam cauſſam, quod eſſent Lacedæmonii. Leptinem vero quærebant, ut eum comprehenderent. Ille abjectis ſuis veſtimentis, acceptis vaſis, et lignorum onere ſublato, conſcendit navim, funeque reſecto navigium deduxit, et nautis adnatantibus receptis, ad Dionyſium navigavit.

CAP. IX.
ANNON.

Annon cum Carthaginienſibus domum redeuntibus, Siciliam præterlegebat. Dionyſius tyrannus naves adverſus eum non paucas numero miſit, quæ propemodum jam accedebant. Annon ſuis navibus vela detrahit: idem faciunt hoſtes. Annon ſuis mandat, ut celeriter explicent vela, et hoc pacto cunctantes et perturbatos et rei nauticæ imperitos effugit.

CAP. X.
IMILCON.

Imilcon Carthaginienſis non ignorans Africanorum in vino luxuriam, multa vini vaſa mandragora corrupit: iisque

προαστείοις ἐπικλίνας, ἐπιόντων ἀνεχώρησεν εἰς τὴν πόλιν, ὡς οὐχ οἷός τε ὢν βιαζομένοις ἀντιστῆναι· οἱ δὲ ὑπερχάρησαν ὡς κατακλείσαντες εἴσω τειχῶν Καρχηδονίους, καὶ τὰ κεράμια εὑρόντες τοῦ οἴνου χανδὸν ἐνεφορήθησαν· καὶ αὐτίκα ὕπνῳ βαρυτάτῳ καταλαμβάνονται.

β' Ἰμίλκων σὺν Καρχηδονίοις νύκτωρ ἀναγόμενος ἐκ Λιβύης εἰς Σικελίαν, γράψας καὶ σημηνάμενος εἰς γραμματεῖα τοῖς κυβερνήταις ἔδωκε, συντιθέμενος, ἐὰν ἀποσπασθῶσιν ἐν τῷ πελάγει, ποῖ χρὴ συνάπτειν, ἵνα μὴ ὑπὸ τῶν αὐτομόλων ἐξαγγελθῇ· [29] λαμπτῆρα τὸ πρόσθεν μέρος πεφραγμένον, ὅπως μὴ γνωρίζοιεν ἀπὸ τοῦ φωτὸς οἱ πολέμιοι τὸν ἐπίπλουν.

γ' Ἰμίλκων ἐν Λιβύῃ καταλαβεῖν [30] ἐσπούδασε πόλιν, ἐφ' ἣν ἦσαν ὁδοὶ δύο δύσποροι· ταύτας οἱ μὲν Λίβυες ἐφύλαττον· ὁ δὲ Ἰμίλκων ἔπεμψε πρὸς αὐτοὺς αὐτόμολον φράσοντα· ἡ μὲν ἑτέρα τῶν ὁδῶν ἐγχωσθήσεται, ὅπως εὔπορος γένοιτο· ἑτέρα δὲ ἀποσκαφήσεται, ὅπως μὴ διὰ ταύτης [31] ὁρμήσαντες κυκλωθήσονται· καὶ δὴ ταῦτα γινό-

29 Scribendum λαμπτῆρα δὲ ἦρε. *Caſaub.* 30 Mſſ. σπουδάζων. 31 Scribe ὁρμησάντων. *Caſ.*

iisque depoſitis in ſuburbiis, cum illi accederent, in urbem rediit, quaſi vim adhibentibus reſiſtere cum ſuis copiis non poſſet. Illi gaudio elati, quod Carthaginienſes intra mœnia concluſiſſent, inventis vaſis, largiſſime ſe vino ingurgitarunt, ſtatimque in ſomnum graviſſimum inciderunt.

2 Imilcon cum Carthaginienſibus noctu ſolvens ex Africa in Siciliam, ſcriptos obſignatosque libellos gubernatoribus tradidit: conſtituitque, ſi diſtraherentur in pelago, quo curſum dirigere et convenire deberent, ne per transfugas hoſtibus enuntiaretur. Funali ſignum dabat ab anteriore parte tecto, ne hoſtes ex ſplendore de adventu conjecturam facere poſſent.

3 Imilcon in Africa urbem capere nitebatur, ad quam duæ viæ difficiles et arduæ ferebant. Eas Africani impoſitis præſidiis cuſtodiebant. Imilcon transfugam ad eos miſit, qui diceret hoſtes alteram viam eſſe mudituros aggere, ut ſit ad ingrediendum idonea: per alteram foſſam ducturos, ne ab hoſtibus per eam venientibus includantur. Hæc fieri ho-

γινόμενα ὁρῶντες οἱ πολέμιοι, πιστὸν ἡγούμενοι τὸν αὐτόμολον, [32] ὁρμήσαντες ἐπὶ τὴν ἐγχωννυμένην ὁδὸν ὡς ἀνείρξοντες· ὁ δὲ νύκτωρ προπαρασκευασμένοις ξύλοις [33] τὴν ἀνεστρεμμένην ὁδὸν γεφυρώσας, διὰ ταύτης ἀγαγὼν τὸ στρατόπεδον εἷλε τὴν πόλιν, τῶν πολεμίων τὴν ἑτέραν ὁδὸν φυλαττόντων.

γ' Ἰμίλκων ἐν Ἀκράγαντι πλησίον τοῦ τείχους ἐστρατοπέδευσε· προῆλθε τῆς πόλεως στρατιὰ πολλή· ὁ δὲ διελὼν τὸ στρατόπεδον, ἑνὶ μέρει συνέβαλε, παράγγελμα δοὺς ἀπόρρητον, εἰς φυγὴν ἑκόντας τραπέσθαι· οἱ μὲν δὴ ἔφευγον, οἱ δ' Ἀκραγαντῖνοι διώκοντες πολὺ τῆς πόλεως ἀπεσπῶντο· Ἰμίλκων πρόσθεν τῶν τειχῶν ὕλην ἐμπρήσας, τοὺς ὑπολοίπους εἰς ἐνέδραν ἀφανῆ κατέστησεν· οἱ διώκοντες τὸν καπνὸν αἰρόμενον ἰδόντες ἀπὸ τῶν τειχῶν, ᾠήθησαν ὑπὸ τῶν πολιτῶν ἀνακαλεῖσθαι· καὶ μεταβαλλόμενοι, πρὸς τὴν πόλιν ἀνέστρεφον. ἐπικειμένων αὐτοῖς τῶν πρότερον φευγόντων· ὡς δὲ κατὰ τὴν ἐνέδραν ἐγένοντο, οἱ μετὰ Ἰμίλκω-

32 MſS. ὥρμησαν, quod rectum eſt. 33 *Cant.* ἀνεστραμμένην. conj. *Caſaub.* ἀνεσκαμμένην vel ἀπεσκαμμένην.

ſtes conſpicati, et fidelem transfugam exiſtimantes, ad eam viam quæ aggeſta terra muniebatur, concurſum fecerunt, ut hoſtium conatum et opus impedirent. At ille noctu, præparatis ad eam rem lignis, foſſa interciſam viam ponte conſtravit: per eumque copiis adductis, dum hoſtes alteram ſumma cura tuerentur, urbem cepit.

4 Imilcon Agrigentum oppugnans, non procul a civitate caſtra metabatur. Ejiciebant ſe ex urbe copiæ multæ. Ille vero exercitum dividens, cum altera parte hoſtes aggreſſus eſt, cui ſecretum dederat præceptum, ut ultro ſe in fugam verterent. Quibus fugientibus, Agrigentini inter perſequendum longius ab urbe diſtrahebantur. Imilcon ante civitatem incenſa ſylva, reliquam partem ſui exercitus in latentibus inſidiis collocaverat. Qui perſequebantur, fumum ſurgere a mœnibus conſpicati, a civibus ſe revocari putabant: ſeſeque convertentes ad urbem, revertebantur, inſtantibus, urgentibusque iis qui prius fugerant. Cum vero in eum locum ventum eſſet, ubi poſitæ erant inſidiæ, conſurgens Imilcon cum ſuis, partem

Ἰμίλκωνος ἐξαναστάντες. τοὺς μὲν αὐτῶν διέφθειραν· τοὺς δὲ ἐζώγρησαν.

ε΄ Ἰμίλκων περὶ τὸ Κρόνιον ἀντεστρατοπέδευε τοῖς τοῦ Διονυσίου στρατηγοῖς· τῶν δὲ Κρόνιον οἰκούντων βουλομένων δέξασθαι τοὺς Καρχηδονίους, οὐ μὴν τῶν στρατηγῶν ἐπιτρεπόντων· τοῦτο μαθὼν Ἰμίλκων, τὴν ὕλην, ὅση πρὸ τοῦ στρατοπέδου τῶν πολεμίων ἦν· πολλὴ δὲ ἦν· παραφυλάξας ἄνεμον ἐναντίον τοῖς πολεμίοις, ἐνέπρησεν. ὁ μὲν δὴ καπνὸς πολὺς, καὶ βιαίως ἐς τὰς ὄψεις τῶν πολεμίων ὑπὸ πνεύματος ἐφέρετο. Ἰμίλκων δὲ ἔλαθε διελθὼν πρὸς τὰ τείχη, καὶ ἀνέωξαν αὐτῷ τὴν πύλην οἱ βουλόμενοι δέξασθαι, καὶ παρῆλθεν εἴσω, τῶν στρατηγῶν ἀγνοούντων.

ΚΕΦ. ΙΑ.

ΓΕΣΚΩΝ.

Ἀμίλκας Καρχηδονίων ἄριστος στρατηγὸς, τῶν ἐν Λιβύῃ στρατηγῶν, πολλοὺς πολέμους κατορθώσας, φθονηθεὶς ὑπὸ τῶν διαπολιτευομένων διαβληθεὶς, ὡς ἐπιθέμενος τυραννίδι· αὐτός τε ἀνῃρέθη, καὶ ὁ ἀδελφὸς αὐτοῦ Γέσκων φυγαδευθεὶς

partem eorum morte affecit, partem in captivitatem redegit.

5 Imilcon juxta Cronium adverſus Dionyſii duces caſtra conſtituebat. Cum ii qui Cronium inhabitabant, Carthaginienſes urbe recipere vellent, neque duces poteſtatem facerent, Imilcon hac re cognita, ſylvam omnem, quæ pro caſtris hoſtium erat ſane magna, captato adverſo hoſtibus vento, ſubjectis ignibus incendit. Fumi magna copia vehementer in vultus hoſtium vi venti deferebatur. Interea temporis Imilcon clam ad mœnia tranſivit, eique portas aperuerunt ii, qui recipere eum cupiebant, in urbemque ducibus ignorantibus ingreſſus eſt.

CAP. XI.

GESCON.

Amilcar Carthaginienſium excellentiſſimus totius Africæ copiarum ductor, multis bellis feliciter confectis, in invidiam vocatus, et ab adverſarum partium factione in crimen affectatæ tyrannidis adductus, cum ipſe morte mulctatus eſt, tum ejus frater Geſcon in exilium

θεὶς ἐξέπεσε· τὰ δὲ χρήματα αὐτῶν δημευθέντα ἐνείμαντο οἱ πολῖται· τούτων πραχθέντων, οἱ Καρχηδόνιοι στρατηγοῖς ἄλλοις χρησάμενοι, καὶ πολλάκις ἡττώμενοι, καὶ ἀλῶναι κινδυνεύοντες, μετέγνωσαν ἐπὶ τῇ τοῦ Γέσκωνος φυγῇ, καὶ τῇ ἀναιρέσει τοῦ Ἀμίλκου. ἀλλὰ τὸν μὲν Ἀμίλκαν τεθνηκότα, οὐχ οἷόν τε ἦν ἀνακαλέσασθαι· τὸν Γέσκωνα δὲ ἀπὸ τῆς φυγῆς ἀνεκαλέσαντο, καὶ αὐτοκράτορα στρατηγὸν ἀπέδειξαν, καὶ τοὺς ἐχθροὺς [34] αὐτῷ παρέδωκαν εἰς τιμωρίαν καθ' ὃν ἂν βούληται τρόπον. Γέσκων δὲ παραλαβὼν αὐτοὺς δεδεμένους, προσέταξε τοῦ πλήθους ἐναντίον, κατὰ γαστέρα κατακλῖναι χαμαί· τρὶς δὲ ἑκάστοις [35] ἐλαφρῷ τῷ ποδὶ ἐπὶ τὸν τράχηλον ἐπιβὰς, ἱκανὴν ἔφη τιμωρίαν ἔχειν τῆς τοῦ ἀδελφοῦ προαναιρέσεως· τοῦτο πράξας, ἀφῆκε τοὺς ἐχθροὺς, προσειπών· οὐ κακῷ κακὸν ἠμυνάμην, ἀλλ' ἀγαθῷ κακόν. τοιγαροῦν αὐτοί τε οἱ ἐχθροὶ, καὶ οἱ τούτων οἰκεῖοι, καὶ οἱ Καρχηδόνιοι πάντες πειθαρχοῦντες τῷ Γέσκωνι διετέλεσαν, ὡς ἀγαθῷ στρατηγῷ, καὶ αὐτίκα μεταβολὴ τῆς τοῦ πολέμου νίκης ἐγένετο, νικῶντος τοῦ Γέσ-

κωνος

34 *Uterque Codex* αὐτῶν. 35 *U. C.* ἐλαφρῶς.

actus ſolum vertit. Eorum vero bona publicata inter ſe cives partiti ſunt. His ita geſtis, Carthaginienſes aliis ducibus uſi, cum plerumque turpiter ſuperarentur, et in extremum ſervitutis periculum veniſſent, pœnitentia ducebantur ob Geſconis exilium, et necem Amilcaris. Sed Amilcarem morte affectum, non poterant ab inferis excitare. Geſconem autem ab exilio revocarunt, eique ſummam belli commiſerunt, eorumque inimicos ad ſupplicium tradiderunt, quocumque modo eos punire illi collibitum eſſet. Geſcon vinculis affectos juſſit in conſpectu populi in ventrem humi procumbere: atque ter levi pede ſingulorum colla conculcavit, inquiens, ſatis magnas pœnas fraternæ cædis ab iis repetii. His factis, inimicos dimiſit, inquiens: Non malo malum ultus ſum, ſed bonum pro malo rependi. Quo factum eſt, ut cum ipſi inimici, tum horum etiam familiares, atque omnes Carthaginienſes perpetuo obedientiam Geſconi præſtiterint, tanquam bono duci: ſtatimque commutatio victoriarum in bellis conſecu-

ta

κωνος ἐν τοῖς μάχαις διὰ τὴν παρὰ τῶν ἀρχομένων εὔνοιαν καὶ προθυμίαν.

ΚΕΦ. ΙΒ.
ΤΙΜΟΛΕΩΝ.

Τιμολέων ἐν Σικελίᾳ τὴν δύναμιν ἐξήγαγε παραταξομένην Καρχηδονίοις ἐς τὴν νῆσον διαπεπλευκόσιν· ἡμίονος ἀπηντᾶτο αὐτοῖς κομίζων σέλινα· οἱ στρατιῶται τὸ σημεῖον ἐφοβήθησαν, ὅτι ἄρα παρ' αὐτοῖς τὰ μνημεῖα τῶν ἀποθανόντων στεφανοῦται σελίνοις. Τιμολέων, καὶ μὴν μᾶλλον, ἔφη, φανερὰν νίκην οἱ θεοὶ δηλοῦσιν ἡμῖν· τοὺς γὰρ τὰ Ἴσθμια νικῶντας οἱ Κορίνθιοι 36 τῶν σελίνων στεφανοῦσιν. ταῦτα εἰπὼν, αὐτός τε τῶν σελίνων ἀνεστέψατο, καὶ τοὺς περὶ αὐτὸν ἡγεμόνας ἀνέστεψεν· ὥς τε καὶ οἱ στρατιῶται, ἄλλος πρὸς ἄλλου τῶν σελίνων λαβόντες εὐτολμότεροι πρὸς τὴν μάχην ἐγένοντο.

β' Τιμολέων πολιορκῶν Μάμερκον τὸν τύραννον πολλοὺς ἐξαπατήσαντα, καὶ παρὰ τοὺς ὅρκους ἀποκτείναντα, κα-

τεστρα-

36 Vera eſt lectio quorundam librorum στεφάνοις τῶν σελίνων στεφανοῦσι. Iidem mox, ἐκ τῶν σελίνων ἀνεστ. *Caſ.*

ta eſt, ſuperante in præliis Geſcone, propter ſubjectorum erga ſe benevolentiam ac ſtudium.

CAP. XII.
TIMOLEON.

Timoleon in Sicilia copias eduxit ad pugnam ineundam cum Carthaginienſibus, qui in inſulam trajecerant: illis obviam factus eſt mulus, portans apium. Milites omen perhorruerunt, quod apud ipſos defunctorum monumenta coronabantur apio. Timoleon: Atqui, inquit, manifeſtiorem Dii nobis victoriam ſignificant. Nam eos qui Iſthmica certamina vicerunt, Corinthii ſertis ex apio factis coronant. His dictis, tum ipſe ſe apio redimivit, tum etiam duces ſuos coronavit. Ex quo accidit, ut reliqui milites ab ſe mutuo apium ſumentes, audaciores ad pugnam redderentur.

2 Timoleon oppugnabat Mamercum tyrannum, qui multos dolis circumvenerat, et neglecta jurisjurandi religione

στρατήγησιν, 37 ὁ μὲν τύραννος . . . . κριθῆναι παρὰ Συρακουσίοις μὴ κατηγοροῦντος Τιμολέοντος, ὁ δὲ ὤμοσε μὴ κατηγορήσειν. ἐπὶ τούτοις ὁ Μάμερκος ἧκεν εἰς τὰς Συρακούσας. Τιμολέων παραγαγὼν αὐτὸν εἰς τὴν ἐκκλησίαν, κατηγορῆσαι μὲν οὐδαμῶς ἔφη· τοῦτο γὰρ συνεθέμην· ἀποκτεῖναι δὲ τὴν ταχίστην αὐτὸν κελεύω· τὸν γὰρ πολλοὺς ἐξαπατήσαντα δίκαιον ἂν εἴη καὶ αὐτὸν ἅπαξ ὁμοίως ἐξαπατηθῆναι.

γʹ Τιμολέων συμμαχῶν Συρακουσίοις, ἐλθὼν ἐπί τινα λόφον ὑψηλὸν, καὶ μετέωρον, ἰδὼν Καρχηδονίους πεντακισμυρίους ἐκτεταμένους, τὸ δὲ κατασήμα κινούμενον ἐναντίον τοῖς πολεμίοις· ἐκκλησίαν συναγαγὼν ἠγόρευσε· νῦν ἁλῶναι χρὴ τοὺς πολεμίους· εἶναι γὰρ χρησμὸν ὡς ἐν τούτῳ τῷ τόπῳ παραταξάμενοι, διαφθαρήσοιντο· τεκμηριοῖ δὲ τὸν χρησμὸν ὁ χειμὼν ἐξαπίνης κινούμενος· οἱ Ἕλληνες ἐπὶ μέγα ταῖς γνώμαις ἀρθέντες ὀλίγοι πολλοὺς ἐνίκησαν.

ΚΕΦ. ΙΓ.

37 Deeſt vox ὡμολόγησε. In quibusdam vero libris ita hic locus legitur, ὁ μὲν τύραννος ὡμολόγησε Τιμολέοντι παραδώσειν ἑαυτὸν, ἐφ᾽ ᾧ κρ. *Caſ.*

gione trucidaverat. Tyrannus ſimulabat ſe judicium apud Syracuſanos ſubiturum, ſi Timoleon non accuſaret. Ille juravit ſe non accuſaturum. His intercedentibus conditionibus, Mamercus Syracuſas venit. Timoleon cum eum in concionem protraxiſſet, Nequaquam, inquit, eum accuſabo: ſic enim pactus ſum: verum interfici celerrime jubeo. Nam æquum eſt, qui multis verba dedit, eum aliquando ſimili ratione circumveniri.

3 Timoleon pro ſocietatis jure Syracuſanis auxilium ferens, in collem quendam altiſſimum et excelſum adſcendit. Cum vidiſſet quinquaginta millia Carthaginienſium explicata, locum vero procellis infeſtum, et ventum hoſtibus adverſum ferri, congregata concione: in hoc tempore, inquit, hoſtes capi neceſſe eſt. Etenim oraculum extare, eos qui in illo loco aciem collocaſſent, interituros: comprobari autem oraculum tempeſtate repentina. Græci magnis animis ſumtis, pauci complures fuderunt.

CAP. XIII.

ΚΕΦ. ΙΓ.
ΑΡΙΣΤΩΝ.

Ἀρίϛων κυβερνήτης, μιᾷ νηΐ τρεῖς ὁλκάδας σίτου ἀγῦσας παρέπεμψε· πολεμία τριήρης ἐπεφάνη τῦ πνεύματος ἐπιλείποντος· ὁ δὲ τὰς τρεῖς ὁλκάδας συναγαγὼν, ἐγγὺς αὐτῶν παρέπλει· ἵνα, ἢν μὲν ἡ πολεμία τριήρης προσάγοι σιτηγοῖς, ὑπὸ τῶν ἐν τῇ νηΐ προσβάλοιτο βέλεσι πολλοῖς. εἰ δὲ ταῖς ὁλκάσιν αὐταῖς πειρῶντο προσβάλλειν καὶ βιάζεσθαι, αὐτὸς περιπλέων ἐκ πλαγίων βλάπτοι τὴν πολεμίαν τριήρη, καὶ ἀπολαμβάνοι μέσην αὐτῦ καὶ τῶν ὁλκάδων.

β´ Ἀρίϛων Κορίνθιος κυβερνήτης, ναυμαχῦντων Ἀθηναίων καὶ Συρακυσίων, καὶ μενόντων ἀμφοτέρων, πέμψας πρὸς τῦς ἄρχοντας ἐκέλευσε τὴν ἀγορὰν τῶν τροφῶν μεταγαγεῖν ἐπὶ τὴν θάλασσαν· ἐπεὶ δὲ ταῦτα ἐκεκόμιςο, κρυσάμενοι πρύμναν ἀνεχώρησαν ἐπὶ γῆν, καὶ ἀποβάντες εὐθὺς ἠριςοποιῦντο· οἱ Ἀθηναῖοι, νομίσαντες αὐτῦς ἡττωμένυς ἀναχωρῆσαι, μέγα φρονῦντες ἐπὶ τῇ νίκῃ, ἐκβαίνυσί τε καὶ περιήεσαν, τά τε ἄλλα πράττοντες, καὶ ὅσα πρὸς ἄριςον

CAP. XIII.
ARISTON.

Ariſton una navi tres onerarias commeatum ferentes comitabatur. Oſtendebat ſe triremis hoſtilis, cum ventus remitteret. Hic vero conductis in unum locum onerariis, propter eas navigabat: ut ſi hoſtium triremis in eos qui frumentum vehebant, impetum feciſſet, ab his qui navem obtinebant, innumeris telis premerentur. Sin in ipſas onerarias conarentur impreſſionem facere, ac vim adhibere, ipſe circumcirca navigans ab lateribus hoſtilem triremem incommodo afficeret, eamque inter ſuam et onerarias concluderet.

2 Ariſton Corinthius gubernator, Athenienſibus et Syracuſanis navale prælium committentibus, et utriſque manentibus, miſit ad principes, juſſitque cibaria in mare transferre. Quæ cum eſſent allata, verſis navibus in terram receſſerunt: egreſſique, celeriter prandium ſumſerunt. Athenienſes exiſtimantes eos victos diſcedere, magnos animos ob victoriam gerentes, e navibus egrediuntur, obambulanteſque tum alia fecerunt, tum etiam omnia ad prandium inſtruxexerunt.

ἄριστον ἑτοιμάζοντες. ἐπέπλευσαν ἐξαίφνης οἱ Συρακούσιοι· θόρυβος ἦν τῶν Ἀθηναίων ἀσίτων ἐμβαινόντων· οἱ δὲ ἠριστηκότες εὐκολώτερον ἐκράτησαν.

ΚΕΦ. ΙΔ.

ΘΡΑΣΥΜΗΔΗΣ.

Θρασυμήδης Φιλομήλου, τῆς Πεισιστράτου θυγατρὸς ἐρασθεὶς πομπευούσαν αὐτὴν προσδραμὼν ἐφίλησεν· τῶν δὲ ἀδελφῶν τῆς παρθένου βαρέως φερόντων, καὶ δεινὴν ὕβριν ἡγουμένων, ὁ Πεισίστρατος, Εἰ τοὺς φιλοῦντας, ἔφη, κολάσωμεν; τοὺς μισοῦντας τί ποιήσομεν; Θρασυμήδης ἐπὶ μεῖζον αἰρομένου τοῦ ἔρωτος, ἡλικιώτας παραλαβὼν συμμάχους τὴν κόρην ἐπὶ τῇ θαλάσσῃ θυσίαν τελοῦσαν παρεφύλαξεν. οἱ μὲν δὴ σπασάμενοι τὰ ξίφη τὸν ὄχλον σκεδάσαντες εἰς σκάφος ἐμβάλλοντες ἐπ᾽ Αἰγίνης ἀνήγοντο· Ἱππίας δὲ ὁ πρεσβύτερος τῶν Πεισιστράτου παίδων τὰ λῃστρικὰ τῆς θαλάσσης ἀναιρῶν, καὶ τοῦτο τὸ σκάφος, διὰ τὴν σπουδὴν τῆς εἰρεσίας νομίσας εἶναι τῶν λῃστῶν, αὐτήν τε ἀνεσώσατο, καὶ τοὺς ἁρπάσαντας συλλαβὼν ἐπανήγαγεν· Θρασυμήδης καὶ οἱ φίλοι τῷ τυράννῳ παραστάντες, οὐκ ἱκέτευσαν, οὐκ ἀλλὰ

runt. Adnavigarunt repentino Syracuſani. Tumultus erat inter Athenienſes, qui ſine prandio naves conſcendebant. Illi vero pranſi, minori negotio hoſtes profligarunt.

CAP. XIV.

THRASYMEDES.

Thraſymedes filius Philomeli filiæ Piſiſtrati amore captus, eam in pompa ingredientem accurrens oſculabatur. Fratribus virginis ægre ferentibus, et non ferendam contumeliam exiſtimantibus, Piſiſtratus, Si, inquit, amantes pœnis affecerimus, quid iis faciemus, qui nos odio proſequuntur? Thraſymedes, amore magis magisque in dies accreſcente, aſſumtis æqualibus ſuis ſociis, puellam in mari ſacrificium obeuntem obſervavit. Qui diſtrictis gladiis turbam disjecerunt, inque navim ingredientes, Æginam verſus diſceſſerunt. Hippias, adultior Piſiſtrati filius, mare ab latrociniis repurgans, hanc etiam navem ob remorum celeritatem latronum eſſe exiſtmans, ſororem recuperavit, eosque, qui rapuerant, comprehenſos reduxit. Thraſymedes, ſociique coram tyranno

ἀλλὰ μάλα ἀνδρείως, χρῆσθαι αὐτοῖς ᾧ βούλοιτο τρόπῳ προεκαλέσαντο, φήσαντες, ἔκτοτε θανάτου καταφρονῆσαι, ὁπότε τὴν ἁρπαγὴν ἐβουλεύσαντο. Πεισίστρατος καταπλαγεὶς τὴν γενναιότητα τῶν νεανίσκων, πρὸς γάμον ἐξέδωκε τῷ νεανίσκῳ τῷ Θρασυμήδει τὴν θυγατέρα· τοῦτο ποιήσας, εὔνοιαν καὶ φιλίαν ἐκτήσατο παρ᾽ αὐτῶν, οὐκ ἔτι τύραννος, ἀλλὰ χρηστὸς πατὴρ, καὶ δημοτικὸς πολίτης.

ΚΕΦ. ΙΕ.
ΜΕΓΑΚΛΗΣ.

Μεγακλῆς Μεσσήνιος τῆς ἐν Σικελίᾳ Μεσσήνης, Ἀγαθοκλεῖ τῷ Συρακουσίῳ τυράννῳ τἀναντία πράττων διετέλει, καὶ πολλοὺς Σικελιώτας κατ᾽ αὐτοῦ συνίστα, καὶ τοῖς ἀνελοῦσιν αὐτὸν ἐκήρυξε μεγάλας δωρεάς. Ἀγαθοκλῆς παροξυνθεὶς πολιορκεῖν Μεσσήνην παρεσκευάζετο· καὶ πέμψας κήρυκα ἐξῄτει Μεγακλέα· εἰ δὲ μὴ λάβοι, τὴν πόλιν ἐξανδραποδιεῖσθαι κατὰ κράτος ἑλὼν ἠπείλει. Μεγακλῆς τὸν θάνατον οὐκ ἔδεισεν· ἀλλ᾽ ἑκὼν αὐτὸν εἰς τὴν ἔκδοσιν ἐπέδωκεν, εἰ πέμποιτο πρεσβευτής. Ψηφισαμένων ταῦτα

Μεσ

ranno conſtituti, nullo modo ſupplices ſe præbuerunt, ſed admodum viriliter, ut pro libitu ſe tractaret, hortabantur: dicentes, ex eo tempore ſe contemnere mortem, ac pro nihilo ducere cœpiſſe, cum primum de raptu conſilium iniviſſent. Piſiſtratus admiratus in juvenibus animi celſitudinem, filiam ſuam Thraſymedi adolescenti in matrimonium collocavit. Hoc facto, benevolentiam et amicitiam eorum ſibi conciliavit, non amplius tyrannum agens, ſed benignum patrem, ac popularem civem.

CAP. XV.
MEGACLES.

Megacles Meſſanius, ejus Meſſanæ quæ in Sicilia eſt, Agathocli Syracuſanorum tyranno in rebus omnibus adverſabatur, multosque Sicilienſes contra eum concitabat, iisque qui eum de medio ſuſtuliſſent, ampliſſima munera promiſit. Agathocles irritatus, Meſſanam oppugnare parabat, miſſoque præcone Megaclem a civibus expoſcebat. Quem niſi accepiſſet, omnino ſe eos urbe per vim capta in ſervitutem redacturum minabatur. Megacles mortem non perhorruit: ſed ultro ſe tradendum tyranno obtulit, ſi legatus mitteretur. Decernentibus hæc Meſſaniis

Μεσσηνίων ἐλθὼν εἰς τὸ στρατόπεδον τῦ Ἀγαθοκλέυς· ἐγώ τοι, ἔφη, καὶ πρεσβεύων παρὰ τῆς πόλεως, καὶ τεθνηξόμενος ἥκω. πρότερον δὲ τῆς πρεσβείας ἄκυσον μετὰ τῶν φίλων. Ἀγαθοκλῆς συνήγαγε τὺς φίλυς. ἐπὶ τύτων ὁ Μεγακλῆς διεξελθὼν τὰ δίκαια τῆς πατρίδος, τελευταῖον ἔφη· εἰ δὲ ἐπὶ τὰς Συρακύσας ἐστράτευον Μεσσήνιοι, πότερον ἂν ὑπὲρ Συρακυσίων, ἢ Μεσσηνίων ταῦτα ἔπραττες; τῦ δὲ Ἀγαθοκλέυς πρὸς τὸ ἐρώτημα μειδιάσαντος. οἱ παρόντες φίλοι παρεκάλεσαν αὐτὸν φείδεσθαι πρεσβευτῦ διαλέγοντος· ὁ δὲ διαλυσάμενος τὸν πόλεμον, καὶ τὸν Μεγακλέα σῶον ἀπέπεμψε, καὶ φιλίαν συνέθετο πρὸς τὺς Μεσσηνίυς.

ΚΕΦ. Ιϛ.

ΠΑΜΜΕΝΗΣ.

Παμμένης διὰ τῆς Φωκίδος ἦγε τὸ στρατόπεδον εἰς Θήβας· οἱ πολέμιοι τὸν Φιλοβοιωτὸν καλύμενον κατελάβοντο, ἔχοντα ὁδὺς δύο στενὰς, ὧν τῆς ἑτέρας ἤδη κατειλημμένης, ὁ Παμμένης ὀρθίας τὰς τάξεις βαθύνας, καὶ ποιήσας τὸ στρατόπεδον ἔνογκον, καὶ πορευτικὸν, ἐσχημάτισεν

niis, accedens in caſtra Agathoclis: Ego vero, inquit, et legatus civitatis nomine venio, et moriturus. Sed ante de legatione cum amicis audias. Cum Agathocles amicos convocaſſet, in horum conſeſſu Megacles patriæ jura percenſens ad extremum inquit: Si ad exſcindendas Syracuſas expeditionem Meſſanii ſuſcepiſſent, utrum pro Syracuſanis an pro Meſſaniis omnia faceres? Cum ad hanc interrogationem ſubrideret Agathocles, amici qui præſto erant, eum hortabantur, legato verba facienti parceret. Ille depoſito bello, Megaclem ſalvum et incolumem domum remiſit, amicitiamque cum Meſſaniis fecit.

CAP. XVI.

PAMMENES.

Pammenes per Phocidem Thebas verſus exercitum ducebat. Hoſtes collem Philobœotum nomine occuparant, ad quem duæ anguſtæ viæ ducebant: quarum cum altera jam hoſtium præſidiis teneretur, Pammenes rectis ordinibus condenſatis, exercitumque ad proficiſcendum amplifi-

τιάζειν ἐπὶ τὸ δεξιὸν ὡς ἔνθεν ἄξων, οἱ δὲ τὸ εὐώνυμον ἐκλιπόντες ἐπὶ τὸ δεξιὸν ἔδραμον ὡς κωλύσοντες. ὁ δὲ ἐπὶ τὸ εὐώνυμον σπουδῇ δραμὼν ἀσφαλῶς διήγαγε τὸ στρατόπεδον.

β′ Παμμένης πολλὴν ἵππον [38] καὶ μάχην ἔχων, πολλοὺς πελταστὰς τῶν πολεμίων ἐχόντων, ὀλίγους τῶν αὐτοῦ πελταστὰς, καὶ τὴν κούφην στρατιὰν ἔταξε κατὰ τὸ κράτιστον τῶν πολεμίων, καὶ παρήγγειλεν ἑκόντας ὑποφεύγειν, ἵνα ἀποσπάσῃ ἐναντίους πελταστὰς ἀπὸ τῆς ἄλλης φάλαγγος· ἐπεὶ δὲ τοῦτ᾽ ἐγένετο, λαβὼν τοὺς ἱππεῖς ἀπὸ τοῦ ἑτέρου κέρατος, παρίππευσεν ἐπ᾽ αὐτοὺς, καὶ κυκλωσάμενος ἐνίκησε, τῶν τε ἱππέων ἐπικειμένων, καὶ τῶν φεύγειν δοκούντων, ἀναστρεψάντων.

γ′ Παμμένης μετὰ Θηβαίων κρατῆσαι βουλόμενος τοῦ Σικυωνίων λιμένος, αὐτὸς μὲν κατὰ γῆν παρεσκευάζετο προσβαλεῖν· πλοῖον δὲ στρογγύλον πληρώσας ὁπλιτῶν, ἔπεμψεν· οἱ δὲ πλεύσαντες προσέσχον πρὸ τοῦ λιμένος. δείλης δὲ

38 *Σύμμαχον* conj. *Caſ.* *κατὰ μάχην* conj. *Gronov.*

plificatum ita inſtruxit in dextro latere, quaſi in eam partem ducturus. Illi relicta parte ſiniſtra, ad dextram deflectebant, ut profectionem impedirent. Ille ad ſiniſtram incitato curſu cum ſuis properabat, copiaſque ſine omni periculo traducebat.

2 Pammenes magnum equitum numerum in exercitu ducens, hoſtibus ſcutatorum multitudinem infinitam habentibus, paucos quos in ſuo exercitu habebat ſcutatos et levis armaturæ milites ea parte, ubi validiſſimus erat hoſtium exercitus, oppoſuit: iiſque præcepit, ut data opera ſe in fugam conjicerent, quo adverſariorum ſcutatos a reliqua acie diſtraheret. Quod poſtquam contigit, aſſumtis equitibus ab altero latere obequitans, in eos impetum fecit, et undiquaque circumdatos ſuperavit, inſtantibus equitibus, iiſque, qui fugere exiſtimabantur, ſe convertentibus.

3 Pammenes, ut cum Thebanis portum Sicyoniorum caperet, ipſe quidem in terra ſtatuit irruptionem facere, navem vero rotundiorem plenam militibus armatis per mare miſit. Qui navigantes, ante portum appulerunt. Sub veſperam pauci inermes in terram egrediebantur, quaſi mer-

δὲ ἀπέβησαν αὐτῶν ὀλίγοι γυμνοὶ, ὡς ἐμπορικοί τινες ἀπὸ πλοίου πρὸς ἀγορὰν ἐπιτηδείων ἥκοντες. ὁ δὲ Παμμένης ἐπεὶ τὸ πλοῖον ἐφώρμει τῷ λιμένι, καὶ ἐν ἑσπέρᾳ προσέβαλε τῇ πόλει σὺν θορύβῳ πολλῷ· οἱ δὲ περὶ τὸν λιμένα πρὸς τὸν θόρυβον ὁρμήσαντες, βοηθεῖν ἐπειρῶντο. ἐκ τοῦ πλοίου δὲ τοῦ στρογγύλου ἀποβάντες οἱ ὁπλῖται, μηδενὸς κωλύοντος, τὸν λιμένα κατέσχον.

δ′ Παμμένης τοὺς πολεμίους ἐξηπάτησε χρησάμενος τῷ νόμῳ τῆς σάλπιγγος ὑπεναντίον, προπαραγγείλας τοῖς ἑαυτοῦ στρατιώταις, πρὸς μὲν τὸ ἀνακλητικὸν ἐπιθέσθαι, πρὸς δὲ τὸ ἐπικελευστικὸν ἀναχωρῆσαι· τοῦτο ποιήσας, ἐν ἀμφοτέροις μεγάλα τοὺς πολεμίους ἔβλαψεν.

ε′ Παμμένης ὀλίγην ἔχων δύναμιν, ὑπὸ πλειόνων ἀποληφθεὶς, ἔπεμψεν αὐτόμολον ἐς τὸ τῶν πολεμίων στρατόπεδον· ὁ δὲ τὸ σύνθημα ἐκμαθὼν, ἐπανελθὼν ἤγγειλε τῷ Παμμένει. ὁ δὲ νυκτὸς ἐπιθέμενος τοῖς πολεμίοις, πολλοὺς αὐτῶν φθείρας διεξιππάσατο [39] αὐτὸς σύνθημα· τοῖς δὲ ἦν ἀπορία, γνωρίζειν ἐν σκότῳ τοὺς οἰκείους μὴ δυναμένοις διὰ τοῦ συνθήματος.

ΚΕΦ. ΙΖ.

39 Δοὺς τὸ *Caſaub.* in margine.

mercatores aliqui a navi ad forum ut, quæ ad victum neceſſaria ſunt, emerent, venientes. Pammenes poſtquam navis in portum venit, veſpere magno cum tumultu civitatem aggrediebatur. Qui circa portum habitabant, concurrentes ad tumultum, auxilium ferre ſuis nitebantur. Armati e navi rotundiori egredientes, nullo impediente, portum obtinuerunt.

4 Pammenes contrario modo tubarum modulato cantu uſus, hoſtes decepit, mandans ſuis militibus, ut cum receptui caneretur, impreſſionem facerent: cum vero ad pugnam vocarentur, diſcederent. His utriſque magnam cladem hoſtibus inflixit.

5 Pammenes cum exigua manu a pluribus interceptus, transfugam in hoſtium caſtra miſit, qui cognita pugnæ teſſera, reverſus Pammeni nuntiavit. Ille per noctem hoſtes aggreſſus magnum eorum numerum interfecit, atque per medios dicta teſſera equitavit. Qui ad difficultatem maximam redigebantur, cum in tenebris ſuos per teſſeram cognoſcere non poſſent.

CAP. XVII.

ΚΕΦ. ΙΖ.

ΗΡΑΚΛΕΙΔΗΣ.

Δημήτριος Ἡρακλείδην φύλακα τῶν Ἀθηναίων συντάξας, αὐτὸς μὲν ἦν περὶ τὴν Λυδίαν. οἱ δὲ στρατηγοὶ τῶν Ἀθηναίων ἐν ἀπορρήτῳ βουλευσάμενοι, τὸν ξεναγὸν Ἱεροκλέα Κᾶρα τῷ γένει ἔπεισαν νυκτὸς ἀνοῖξαι τὰς πύλας, καὶ δέξασθαι στρατιώτας Ἀττικοὺς, οἱ κτενοῦσιν Ἡρακλείδην. ταῦτα μὲν δὴ συνέθεντο παρὰ τὸν Ἰλισσὸν, οὗ τὸν καθαρμὸν τελοῦσι τοῖς ἐλάττοσι Μυστηρίοις, Ἱππάρχου καὶ Μνησιδήμου στρατηγῶν ὅρκια δόντων καὶ λαβόντων. Ἱεροκλῆς δὲ πιστὸς Ἡρακλείδῃ γενόμενος, ἐμήνυσε τὴν πρᾶξιν. ὁ δὲ συνέπραττεν 40 ὕδωρ αὐτοὺς εἰσδέξασθαι, διορύξαντας τὶ μέρος πυλῶν· καὶ δὴ νυκτὸς εἰσεδέξαντο υ´ καὶ κ´ ἄνδρας, ὧν ἡγοῦντο Μνησίδαμος, Πολυκλῆς, Καλλισθένης, Θεόπομπος, Σάτυρος, Ὀνητορίδης, Σθενοκράτης, Πυθίων. Ἡρακλείδης δὲ στρατιώτας δισχιλίους ὡπλισμένους ἐπαφῆκεν, οἱ πάντας αὐτοὺς εἰσελθόντας ἐφόνευσαν.

β´ Ἡρα-

40 Scribe *νύκτωρ*. *Maſu.*

CAP. XVII.

HERACLIDES.

Demetrius Heraclide Athenis præſidii cauſſa relicto, ipſe in Lydia verſabatur. Duces Athenienſium occulto habito conſilio, Hieroclem, natione Carem, mercenariorum ducem impulerunt, ut portas noctu patefaceret, et milites Atticos reciperet, qui Heraclidem interficerent. Hæc ad Iliſſum transfigebant, ubi luſtratio fieri conſuevit minoribus Myſteriis, Hipparcho et Mneſidamo ducibus jusjurandum dantibus et accipientibus. Hierocles fidelis Heraclidi totam rem ſignificavit. Qui conſenſit ut eos reciperent, aperta quadam parte duntaxat portarum. Ac noctu receperunt quadringentos et viginti viros, quibus præerant Mneſidamus, Polycles, Calliſthenes, Theopompus, Satyrus, Onetorides, Sthenocrates et Pythion: iis Heraclides duo millia militum armatos immiſit, qui omnes ingredientes trucidarunt.

β΄ Ἡρακλείδης Ταραντῖνος ἀρχιτέκτων ὑπέσχετο Φιλίππῳ τῷ πατρὶ Περσέος μόνος καταπρήσειν τὸ Ῥοδίων ναυτικόν· καὶ δὴ τότε στρατηγ[illegible] προῆλθεν ἐκ τῆς αὐλῆς τοῦ Φιλίππου, σημεῖα ἀδικίας ἔχων· καὶ βωμῷ προσέφυγεν ἱκετηρίας λαβὼν, καὶ παρὰ τοῦ πλήθους ἔλεον αἰτούμενος· ὥς τε ἦσαν τῶν Μακεδόνων, οἷς ἐδόκει ταῦτα μὴ δικαίως. ὁ δὲ πορθμίδος ἐπιβὰς καθῆκεν εἰς Ῥόδον, φάσκων, ἱκέτης ἥκω προπηλακιζόμενος δι᾽ ὑμᾶς, ἐπειδὴ Φίλιππον ἐκώλυον πολεμεῖν ὑμῖν· ἵνα δὲ πιστεύσητε τοῖς λεγομένοις, καὶ δὴ ἐπιστολὰς Φιλίππου δεικνύω γεγραμμένας πρὸς Κρῆτας, ἐν αἷς συντίθενται κατὰ Ῥοδίων τὸν πόλεμον ἐξοίσειν. Ῥόδιοι ταῖς ἐπιστολαῖς πιστεύσαντες, Ἡρακλείδην ὑποδέχονται, ὡς δυνησόμενον αὐτοῖς ὠφέλιμον κατὰ Φιλίππου γενέσθαι· ὁ δὲ νύκτωρ πνεῦμα ἐπίφορον [illegible]ραφυλάξας, τὰ νεώρια Ῥοδίων κατέπρησεν. τρισκαίδεκα νεώσοικοι διεφθάρησαν, καὶ ὅσαι τριήρεις ἐν αὐτοῖς. τὸ δὲ πῦρ ἐμβαλὼν, παραχρῆμα σκάφους ἐπιβὰς ἀνήχθη, καὶ διαβαλὼν ἐς Μακεδονίαν, ἦν παρὰ Φιλίππῳ κορυφαῖος τῶν φίλων Ἡρακλείδης.

ΚΕΦ. ΙΗ.

2 Heraclides Tarentinus architecton Philippo Perſei patri promiſit, ſe ſolum Rhodiorum claſſem incenſurum. Atque tum ficta arte progreſſus ex aula Philippi, ſigna injuriæ ferebat, et ad aram ſupplex confugit, et ramum oleæ protendens a populo miſericordiam flagitabat. Erant nonnulli Macedones, quibus hæc indigna viderentur. Ita conſcenſa cymba Rhodum devenit, inquiens: Supplex venio ad vos injuriis affectus propter vos, quoniam Philippum impedivi ne vobis bellum inferret. ut autem fidem his, quæ dico adhibeatis, epiſtolam Philippi oſtendo, ſcriptam ad Cretas, qua ſe bellum adverſus Rhodios ſuſcepturos eſſe paciſcuntur. Rhodii credentes litteris, Heraclidem recipiunt, eumque ſibi uſui fore contra Philippum arbitrantur. Ille noctu captans ventum procelloſum navalia Rhodiorum incendit. Tredecim navium domicilia perierunt, et quotquot triremes in iis fuerunt. Ille conjecto igne, mox ſcapham conſcendit, ac ſolvit: trajiciensque in Macedoniam, primum locum inter amicos Philippi Heraclides tenuit.

CAP. XVIII

ΚΕΦ. ΙΗ.
ΑΓΑΘΟΣΤΡΑΤΟΣ.

Ῥόδιοι βασιλεῖ Πτολεμαίῳ πολεμοῦντες περὶ Ἔφεσον ἦσαν· Χρεμωνίδης Πτολεμαίου ναύαρχος ἀνήχθη ναυμαχήσων· Ἀγαθόστρατος Ῥοδίους ἐξῆγεν 41 ἐπὶ μέλειαν ναῦν. καὶ φανερὸς γενόμενος τοῖς ἐπιπλέουσι, μετέστρεψε μετωπηδόν· χρόνον τ' ἐπισχὼν βραχὺν, ἀνεχώρησεν ἐπὶ τὸν αὐτὸν ὅρμον. οἱ πολέμιοι νομίσαντες ὅτι μὴ θαρροῦσι διαναυμαχεῖν, αὐτοὶ παιανίσαντες ἐς λιμένα ἐπανῆεσαν. Ἀγαθόστρατος ἐπιστρέψας, καὶ τὸ ναυτικὸν πυκνώσας ἐπ' ἀμφοτέρων τῶν κεράτων ἐπέπλευσε τοῖς πολεμίοις, ἐκβαίνουσι περὶ τῆς Ἀφροδίτης τέμενος, καὶ ἀπροσδοκήτως προσπεσὼν ἐνίκησεν.

ΚΕΦ. ΙΘ.
ΛΥΚΟΣ.

Λύκος Λυσιμάχου στρατηγὸς, Αἰνήτου στρατηγοῦ Δημητρίου φυλάσσοντος Ἔφεσον, καὶ πολλοῖς πειραταῖς τοὺς ὁμόρους κατατρέχοντος, τὸν ἀρχιπειρατὴν Ἀνδρῶνα χρήμασι δια-

41 *Cant.* ἐπὶ μελίαν ναῦν. conj. *Gronov.* ἐπὶ μίαν ναῦν.

CAP. XVIII.
AGATHOSTRATUS.

Rhodii bellum gerentes cum rege Ptolemæo, apud Epheſum erant. Chremonides Ptolemæi nauarchus ſolvit, ut navalem pugnam faceret. Agathoſtratus Rhodios eduxit ad Meliam navem, viſusque ab adnavigantibus hoſtibus, retro naves reduxit. Brevi tempore interjecto, ad eundem portum reverſus eſt. Hoſtes arbitrati, eos non audere prælium committere, clamore ſublato, in portum redierunt. Agathoſtratus reverſus, et claſſe condenſata, ab utroque latere hoſtibus adnavigavit, apud Veneris templum egredientibus: et ex inſperato irruptione facta, victoriam eſt conſecutus.

CAP. XIX.
LYCUS.

Lycus dux Lyſimachi, cum Anetus Demetrii dux Epheſum cuſtodiret, multisque piratis finitimorum terram infeſtaret, archipiratam Andronem pecuniis corrupit,

διαφθείρας, κατελάβετο τὴν Ἔφεσον. ὁ μὲν ἀρχιπειρατὴς τοὺς Λύκου στρατιώτας ἀόπλους ἐν ἱματίοις καὶ τρίβωσι, δεδεμένους, ὡς αἰχμαλώτους λαβὼν, εἰσήγαγε, καὶ πλησίον τῆς ἀκροπόλεως γενόμενος, παρήγγειλε χρῆσθαι τοῖς ἐγχειριδίοις ἃ κεκρυμμένα ἐκόμιζον ὑπὸ μάλην· τῶν δὲ περὶ τὴν ἀκρόπολιν πυλωρῶν, καὶ φυλάκων φονευομένων, αἴρεται σημεῖον τοῖς περὶ τὸν Λύκον· οἱ δὲ εἰσπεσόντες, καὶ τὸν Αἴνητον συνέλαβον, καὶ τὴν Ἔφεσον κατέσχον καὶ τοῖς μὲν πειραταῖς τὸν μισθὸν ἀποδόντες, παραχρῆμα τῆς πόλεως αὐτοὺς ἀπέπεμψαν· τὸ ἄπιστον αὐτῶν περὶ τοὺς πρώτους φίλους οὐκ ἀσφαλὲς ὑπάρχειν ἡγούμενοι.

ΚΕΦ. Κ.

ΜΕΝΕΚΡΑΤΗΣ.

Μενεκράτης Σαλαμῖνα τὴν ἐν Κύπρῳ βουλόμενος ἑλεῖν, δὶς τῷ τείχει προσβαλὼν ἀπεκρούσθη, τῶν στρατιωτῶν εἰς τὰς ναῦς φυγόντων· τρίτον προσβαλὼν, σημεῖον ἦρε τοῖς κυβερνήταις ἀποπλεῦσαι, καὶ ὑπὲρ τὴν παρακειμένην ἄκραν ναῦς ἀποκρύψαι. οἱ στρατιῶται προσβάλλοντες, πάλιν ἔφευγον· ὡς δὲ εἶδον τὰς ναῦς ἀφανεῖς, οὐκ ἔχοντες ἐλπίδα τοῦ δύνα-

pit, et Epheſum occupavit. Archipirata Lyci milites inermes, tunicis ac palliis amictos, vinctosque quaſi captivos in urbem induxit: cumque arci appropinquaſſet, juſſit eos enſibus uti, quos ſub axilla ferebant abſconditos. Trucidatis janitoribus et cuſtodibus, qui arcem tenebant, ſignum iis, qui cum Lyco erant oſtenditur. Qui per vim ingreſſi, Ænetum ceperunt, et Epheſum obtinuerunt, piratasque, perſoluta eis mercede, ex urbe confeſtim emiſerunt, perfidiam eorum in prioribus amicis non tutam eſſe rati.

CAP. XX.

MENECRATES.

Menecrates Salaminem in Cypro capere volens, bis muros aggreſſus eſt, toties que militibus in naves fugientibus re infecta diſceſſit. Cum tertio oppugnationem inſtitueret, gubernatoribus ſignum dedit, ut ſolutas naves abducerent, et ſub ſuprapoſito promontorio occultarent. Milites adorti mœnia, rurſus ſe fugæ mandabant: cumque nullibi

δύνασθαι φυγεῖν, ἀναςρέψαντες, ἐξ ἀπονοίας ἐμαχέσαντο, καὶ νικήσαντες κατέσχον τὴν Σαλαμῖνα.

ΚΕΦ. ΚΑ.

ΑΘΗΝΟΔΩΡΟΣ.

Ἀθηνόδωρος βασιλεῖ ςρατηγῶν ἡττηθεὶς ὑπὸ Φωκίωνος περὶ Ἀταρνέα, ὥρκισε τὰς ςρατιώτας, καὶ τὰς ἡγεμόνας αὐτῶν μονομαχήσασθαι μέχρις ἂν ζῶσι· καὶ δὴ συνέβαλον πάλιν ὡς διὰ τὸν ὅρκον. καὶ ἦν ἰδεῖν τὰς μὲν νικήσαντας ἡττημένας· τὰς δὲ ἡττημένας νικήσαντας.

ΚΕΦ. ΚΒ.

ΔΙΟΤΙΜΟΣ.

Διότιμος πλοῖα σιτηγὰ παραπέμπων δέκα τριήρεσι, καταληφθεὶς περὶ τὴν Χίον ὑπὸ Λακεδαιμονίων ἐχόντων εἴκοσι ναῦς διωκόμενος ἐν γαλήνῃ, κύκλῳ τῶν ὁλκάδων φεύγων, ταχύτερα ἔχων τὰ σκάφη ἔπασχε μὲν ἐδὲν ὑπὸ τῶν διωκόντων, ἀεὶ δὲ κατὰ πρύμναν ἁπτόμενος τῶν ἐσχά-

nullibi videre naves poſſent, nulla ſpe fugiendi relicta, reverſi ex deſperatione pugnam fecerunt: et hoſtibus devictis, Salamine potiti ſunt.

CAP. XXI.

ATHENODORUS.

Athenodorus Regis nomine bellum gerens ad Atarnam ſuperatus a Phocione, religione jurisjurandi obſtrinxit milites, atque duces eorum, ut ſingularia certamina ſubirent quamdiu eis vita ſupereſſet. Qui rurſus in eodem loco pugnam inierunt propter jusjurandum: eoque tempore licebat videre victores vinci, et victos vincere.

CAP. XXII.

DIOTIMUS.

Diotimus navigia commeatum vehentia cum decem triremibus deducens, deprehenſus apud Chium a Lacedæmoniis, qui viginti naves habebant, inſtantibus hoſtibus cum malacia eſſet, circum onerarias fugiens et celeriores habens naves, nihil damni a perſequentibus paſſus eſt: ſemperque puppibus in extremas impetu facto,

ἐσχάτην νεῶν, τὰς δέκα κατέδυσεν, ὥς τε ἦν τὸ χρῆμα παράλογον· οἱ γὰρ φεύγοντες ἐνίκησαν τοὺς διώκοντας.

β´ Διότιμος δέκα ναῦς ἔχων ἀνθώρμει Λακεδαιμονίοις, τὰς ἴσας ναῦς ἔχουσιν· οἱ μὲν οὐκ ἐθάῤῥουν συμβάλλειν, τὰς Ἀττικὰς ἐμπειρίας δεδιότες. ὁ δὲ τοὺς ταρσοὺς τῶν τριήρων ἐξελὼν, ζεύξας πρὸς ἀλλήλας, τὰ ἱστία τῆς μιᾶς ἐπαράμενος εἰς τὸ πέλαγος ἀνήγετο. Λακεδαιμόνιοι ε´ ἱστίων φαινομένων, πέντε ναῦς εἶναι νομίσαντες, καταφρονήσαντες ἔπλευσαν. Διότιμος τὰ ζεύγματα λύσας, ἐπιστρέψας ἐναντίοις ἐμβαλὼν ι´ ναυσὶ, προσούσης τῆς Ἀττικῆς ἐπιστήμης, τὰς μὲν ἓξ τῶν Λακωνικῶν κατέδυσεν, τὰς δὲ τέσσαρας ἔλαβεν αὐτάνδρους.

γ´ Διότιμος Ἀθηναῖος ναύαρχος πελάγιον πλοῦν μέλλων πλεῖν, κρύφα συναγαγὼν τοὺς τριηράρχους, προεῖπεν αὐτοῖς ὅτι τὰς κάλλιστα πλεούσας τῶν νεῶν αὐτὸς παραλαβὼν ἀναχθήσεται· τοῦτο δὲ προεῖπεν, ἵνα οἱ ἄλλοι τριήραρχοι μὴ ἀπολείποιντο ὡς περισσὰς τριήρεις ἔχοντες.

δ´ Διότιμος, καταπλεύσας νυκτὸς εἰς χωρίον τῆς πολεμίας, ἀφ᾽ ἑκάστης νεὼς συχνοὺς ἄνδρας ἐκβιβάσας, τοὺς μὲν

cto, decem ſubmerſit: eratque admirabilis pugna, qua a fugientibus perſequentes vincebantur.

2 Diotimus cum decem navibus obviam ibat Lacedæmoniis, totidem naves habentibus. Hi non audebant confligere, peritiam Atticarum metuentes. Ille remigio demto, binas inter ſe conjunxit, uniusque ſolum velis ſublatis, in pelagus ſolvebat. Lacedæmonii quinque velis apparentibus, quinque duntaxat naves eſſe ſuſpicati, contemta paucitate adnavigabant. Diotimus ſolutis vinculis ſe convertit, et in adverſarios impetum cum decem navibus fecit: et uſus Attica ſcientia, ſex Lacedæmoniarum navium ſubmerſit: reliquas quatuor una cum hominibus cepit.

3 Diotimus Athenienſis nauarchus navigationem ſuſcepturus, clam convocatis trierarchis, dixit eis, ſe iis navibus quæ optime navigarent aſſumtis ſoluturum. Hoc autem prædixit, ne reliqui trierarchi deſtituerentur, eximiasque naves haberent.

4 Diotimus ſub noctem in hoſtilem terram navigans, ex unaquaque navi plurimis vi-

μὲν εἰς ἐνέδραν ἀπέκρυψεν· ἀρχομένης δὲ ἡμέρας κατὰ τοὺς ἐνεδρεύοντας ταῖς ναυσὶν ἀνεκώχευε. παραγγείλας τοῖς μὲν ἐπὶ τῶν καταστρωμάτων διασκευάζεσθαι πρὸς μάχην. τοῖς δὲ ἐρέταις ἀνὰ μέρος, ὁτὲ μὲν τὰς θαλαμίας, ὁτὲ δὲ τὰς ζυγίας, ὁτὲ δὲ τὰς θρανίτιδας κώπας ἀναφέρειν, καὶ τινὰ τῶν σκαφῶν τῇ γῇ προσάγειν ἐπειρᾶτο· οἱ μὲν πολέμιοι προσδραμόντες ἐκώλυον τὴν ἀπόβασιν· τοῦ δὲ τὸ προκείμενον σημεῖον ἄραντος, οἱ μὲν ἐκ τῶν ἐνεδρῶν ἐπιφανέντες πολλοὺς τῶν πολεμίων ἐφόνευσαν· τοὺς δὲ λοιποὺς ἐς φυγὴν ἐτρέψαντο. ὁ δὲ Διότιμος ἀσφαλῆ τὴν ἀπόβασιν ἐποιήσατο.

ΚΕΦ. ΚΓ.

ΤΥΝΝΙΧΟΣ.

Τύννιχος Θευδοσίας τῆς ἐν τῷ Πόντῳ πολιορκουμένης ὑπὸ τῶν πλησίον τυράννων, καὶ κινδυνευούσης ἁλῶναι, τὴν πολιορκίαν ἔλυσεν, ὁρμηθεὶς μὲν ἐξ Ἡρακλείας νηὶ στρογγύλῃ, καὶ τριήρει μιᾷ, δεξάμενος δὲ στρατιώτας, ὅσους οἷόν τε ἦν, καὶ σαλπιγκτὰς τρεῖς, καὶ σκάφας, ἢ μονοξύλους, ἑκάστην ἕνα ἄνδρα δέξασθαι δυναμένην, νυκτὸς ἐπιπλεύσας, τῆς

viris expoſitis, eos in inſidiis occultavit. Summo mane juxta eos qui in inſidiis latebant, naves movebat, mandans iis qui erant in ſuperioribus tabulatis, ut ſe ad pugnam accingerent: remigibus vero ut viciſſim nunc infimos, nunc medios, nunc ſummos remos agitarent, et quasdam ſcaphas ad terram adducere conabatur. Hoſtes accurrentes, egredi prohibebant. Illo ſignum, de quo convenerat, tollente, milites ex inſidiis conſurgentes, multos hoſtium occiderunt, reliquos in fugam pepulerunt. Hoc pacto Diotimus ſine periculo milites expoſuit.

CAP. XXIII.

TYNNICHUS.

Tynnichus, cum Theodoſia Ponti civitas a vicinis tyrannis oppugnaretur, et ne caperetur, periculum eſſet, eam obſidione liberavit, veniens Heraclea cum navi rotundiori, et una triremi. Nam aſſumtis tot militibus, quot quidem poterat, et tribus tubicinibus, ſcaphisque ex uno ligno conſtantibus, quarum ſingulæ virum unum capere poſſent, per noctem adnavigans, cum ad civitatem ap-

τῆς πόλεως ἐγγὺς γενόμενος, ἐξελὼν τὰς σκάφας, ἐμβιβάσας ἑκάστῃ σαλπιγκτὴν ἕνα, συνέταξεν ἀποσχόντας ἀλλήλων διάστημα σύμμετρον, ἐπειδὰν ἐκ τῆς τριήρους, καὶ τῆς στρογγύλης ὑποσημαίνοι, διαδεξαμένους σημαίνειν παραλλάσσοντας τοῖς χρόνοις ὡς μὴ σάλπιγγος μιᾶς προσπίπτειν ἦχον, ἀλλὰ πλειόνων· οἱ μὲν ἐσήμηναν, ἤχῳ σαλπίγγων τὸν περικείμενον ἀέρα τῇ πόλει πληροῦντες· οἱ δὲ πολιορκοῦντες νομίσαντες ἐπίπλουν εἶναι στόλου μείζονος, οὐδενὶ κόσμῳ τὰς φυλακὰς ἐκλιπόντες ᾤχοντο· Τύννιχος δὲ προσπλεύσας, τὴν Θευδοσίαν ἠλευθέρωσε τῆς πολιορκίας.

ΚΕΦ. ΚΔ.

ΚΛΕΙΤΑΡΧΟΣ.

Κλείταρχος πολεμίων ἐπελθόντων, ἵνα μὴ γένοιτο τειχήρης, προήγαγε τὴν δύναμιν ἔξω τοῦ τείχους, προστάξας κλεῖσαι τὰς πύλας, καὶ βαλεῖν τὰς βαλανάγρας ὑπὲρ τὸ τεῖχος· ἃς δὴ καὶ λαβὼν, ἔδειξε τοῖς στρατιώταις· οἱ δὲ μαθόντες ὡς οὐκ ἔχοιεν ἐλπίδα εἴσω τῆς πόλεως φεύγειν, ἐνίκων ἀνδρείως μαχόμενοι.

ΚΕΦ. ΚΕ.

propinquaſſet, eximens ſcaphas, attribuit ſingulis buccinatorem unum: dato præcepto, ut mediocri intervallo a ſe mutuo diſtantes, poſtquam e triremi, navique rotundiori ſignum dediſſet, excipientes ipſi, viciſſim ſignum canerent certis tum intervallis temporum, ne unius tubæ duntaxat ſonus audiretur, ſed plurium. Illi cecinerunt, tubarumque fremitu univerſum urbi circumdatum aërem impleverunt. Qui oppugnabant, majorem aliquam claſſem adnavigare arbitrati, nullo ordine relictis excubiis, ſe fugæ tradiderunt. Tynnichus autem adductis navibus, Theodoſiam oppugnatione liberavit.

CAP. XXIV.

CLITARCUS.

Clitarchus adventantibus hoſtibus, ne intra muros incluſus oppugnaretur, ex oppido copias eduxit, imperans, ut clauſis portis claves ſupra mœnia conjicerent. Quas etiam militibus oſtendit. qui cum intelligerent nullam ſibi ſpem in urbem fugiendi ſupereſſe, fortiter pugnantes, cum victoria diſceſſerunt.

CAP. XXV.

ΚΕΦ. ΚΕ.
ΤΙΜΑΡΧΟΣ.

Τίμαρχος Αἰτωλὸς ἀποβὰς τῆς Ἀσίας ἐς πολυάνθρωπον χωρίον, ἵνα μὴ φύγοιεν οἱ στρατιῶται τὸ πλῆθος τῶν πολεμίων, τὰς ναῦς κατέπρησεν. οἱ δὲ ἐλπίδα φυγῆς οὐκ ἔχοντες, ἀγωνισάμενοι γενναίως ἐνίκησαν.

ΚΕΦ. Κϛ.
ΕΥΔΟΚΙΜΟΣ.

Εὐδόκιμος ὁρῶν τοὺς στρατιώτας στασιάζοντας καταπαῦσαι τὴν στάσιν οὐ δυνάμενος· ἤδη δὲ καὶ ἐπ' ἀλλήλους ὁρμώντων τοῖς δρομοκήρυξι προσέταττε κηρύττειν· ὡς ἥκοιεν οἱ πολέμιοι διαρπασόμενοι τὸν χάρακα· οἱ δὲ φοβηθέντες, τῆς μὲν στάσεως ἐπαύσαντο· τὰς δὲ αὐτῶν τάξεις ἀπολαβόντες, τὸν χάρακα ἐφύλαττον.

ΚΕΦ. ΚΖ.
ΠΑΥΣΙΣΤΡΑΤΟΣ.

Παυσίστρατος ναύαρχος Ῥοδίων παρήγγειλεν ἀριθμὸν, καὶ ἐξόπλισιν τοῖς στρατιώταις· ἐπειδὴ προῆλθον ἐν τοῖς καλλί-

CAP. XXV.
TIMARCHUS.

Timarchus Ætolus expoſitis militibus in Aſiæ locum multitudine hominum abundantem, ne milites multitudinem hoſtium metuentes, fugam capeſſerent, naves incendit. Illi omni ſpe fugæ interciſa, ſtrenue prælium facientes, victoria potiti ſunt.

CAP. XXVI.
EUDOCIMUS.

Eudocimus videns milites inter ſe tumultum movere, cum ſedare diſcordiam nullo modo poſſet, jamque etiam armis ſe mutuo peterent, curſoribus nuntiis mandavit, ut proclamarent hoſtes adventare, ac vallum diſcerpere velle. Qui metu hoſtium abſtracti, ſeditionem reliquerunt: inque ſuum locum quiſque recurrens, vallum tuebantur.

CAP. XXVII.
PAUSISTRATUS.

Pauſiſtratus, Rhodiorum nauarchus, numerum et armaturam militibus imperavit. Qui cum ſplendidiſſi-

καλλίστοις ὅπλοις, ἀναλαβὼν αὐτοὺς ἦγεν ἐπὶ τὰς ναῦς, καὶ πάντας ἐμβιβάσας ἐκέλευσεν ἀπερείσασθαι τὰ ὅπλα κατὰ κόσμον ἕκαστον, καὶ τοῦ 42 μηδὲν ὅπλον ἐκκομισθῆναι φύλακας κατεστήσατο.

ΚΕΦ. ΚΗ.

ΘΕΟΓΝΙΣ.

Θεόγνις Ἀθηναῖος στρατηγὸς ὁρῶν τοὺς στρατιώτας περὶ τῶν ἡγεμονιῶν, καὶ τῶν τάξεων στασιάζοντας. νύκτωρ προσέταξε πέμψαι τινὰς τῶν ἱππέων, καὶ 43 τῶν κορυφῶν, παραγγείλας ἐπιφανῆναι ὡς πολεμίους, κατ' ἄλλο τι χωρίον ἀφ' οὗ μάλιστα ἔμελλον ὀφθήσεσθαι ἐπιφανέντων. ὁ Θεόγνις μετὰ θορύβου καὶ ταραχῆς παρεκάλει τοὺς στρατιώτας· ὡς ἤδη τῶν πολεμίων ἐπιφαινομένων, αὐτοὺς καταλαμβάνεσθαι τάξιν τὴν προσήκουσαν. οἱ δὲ διὰ τὸν φόβον τῶν πολεμίων τοῦ φιλονεικεῖν ἀλλήλοις ἀποστάντες, εἰς τὰς συνήθεις τάξεις καθίσαντο· ἐπεὶ δὲ κατέστησαν, ὡμολόγησεν ὁ Θεόγνις, τοὺς μὲν πολεμίους εἶναι φίλους. ὑμεῖς δὲ,

42 *Cant.* μηδενός. 43 *Interpres* τῶν κορυφαίων. Vereor ne gravior menda ſubſit. *Caſ.*

didiſſimis armis induti progrederentur, in naves eos deduxit, omnibusque impoſitis, juſſit arma ſingulos ſuo loco deponere: certosque homines præfecit, qui ne qua arma efferrentur, caverent.

CAP. XXVIII.

THEOGNIS.

Theognis Athenienſium dux, videns milites de præfecturis et ordinibus ſeditionem facere, noctu quosdam equites ac duces miſit, præcipiens ut quaſi hoſtes ſe in alio quodam loco oſtenderent, in quo maxime conſpici ab exercitu poſſint. Quibus apparentibus, Theognis cum tumultu ac perturbatione milites ipſos, quaſi jam hoſtes in conſpectum veniſſent, juſta loca capere juſſit. Illi metu hoſtium adducti, contentione depoſita, priſtinos ordines conſtituerunt. Qui cum ordines ſtruxiſſent, Theognis hoſtes amicos eſſe fatebatur. Vos autem, inquit, in

δὲ, ἔφη, τάξαντες ἑαυτοὺς ἄνευ στάσεως, καὶ εἰσαῦθις φυλάττεσθε τὴν τάξιν ἣν αὐτοῖς δεδώκατε.

β΄ Θεόγνις ἐν τῷ στρατοπέδῳ κατασκόπους ὑπονοήσας ὑπάρχειν, φυλακὴν ἔξωθεν τοῦ χάρακος περιτειχίσας παρήγγειλεν ἕκαστον μένειν ἐπὶ τῶν ἰδίων ὅπλων 44 ὄντας καὶ χωριζομένους εὐχερῶς κατασκόπους ὄντας ἁλίσκεσθαι.

K L [illegible]

ΔΙΟΚΛΗΣ.

Διοκλῆς Ἀθηναίων στρατηγὸς ἐν τῇ πολεμίᾳ τῶν στρατιωτῶν ἀτάκτως διαλελυμένων τὰ ὅπλα φέρειν οὐ βουλομένων, σύνθημα ἔδωκεν ἕτερον ἐφ᾽ ἑτέρῳ. οἱ δὲ στρατιῶται νομίσαντες πλησίον εἶναι τοὺς πολεμίους, ἀναλαβόντες τὰ ὅπλα ἐν τάξει πάντες ἐβάδιζον.

ΚΕΦ. Λ.

ΧΙΛΙΟΣ.

Χίλιος Ἀρκὰς ἐν Λακεδαίμονι διατρίβων, μαθὼν Σπαρτιάτας βεβουλευμένους τὸν Ἰσθμὸν τειχίζειν, Ἀθηναίους δὲ καὶ

44 *Caſaub.* hæc interſerenda eſſe putat, ὅθεν συνῆσαν τοὺς ἄνευ ὅπλων.

in poſterum ordinibus abſque ſeditione ſervatis, eam ſtationem tenete, quam vobis ipſi dediſtis.

2 Theognis exploratores in caſtris eſſe ſuſpicatus, extra vallum præſidio conſtituto, mandavit, ut quilibet in ſuis armis permaneret: cumque diviſi ac diſtributi eſſent; facile exploratores deprehendit.

CAP. XXIX.

DIOCLES.

Diocles Athenienſium dux in hoſtili ſolo militibus nullo ordine diſperſis, arma ferre nolentibus, teſſeram datam ſæpe commutavit. Milites arbitrati non longe hoſtes abeſſe, receptis armis, inſtructa acie profectionem faciebant.

CAP. XXX.

CHILIUS.

Chilius Arcas Lacedæmone degens, cognoſcens, quod Spartiatæ de muniendo Iſthmo conſilium agitarent, Athenien-

καὶ [45] ἔξω Πελοποννήσου προΐεσθαι, προεῖπεν, Ἀθηναίων καὶ τῶν λοιπῶν Ἑλλήνων τὰ οἰκεῖα πρὸς τοὺς Πέρσας εὖ θεμένων, πολλὰς διαβάσεις ἕξουσιν εἰς τὴν Πελοπόννησον οἱ βάρβαροι. τούτῳ τῷ λόγῳ πεισθέντες οἱ Λάκωνες, τῷ Ἰσθμῷ μακρὰν χαίρειν εἰπόντες, ἐκοινώνησαν τοῦ πολέμου πᾶσι τοῖς Ἕλλησι.

ΚΕΦ. ΛΑ.
ΚΥΨΕΛΟΣ.

Κύψελος τοὺς ἐπιφανεστάτους τῶν Βακχιαδῶν θεωροὺς πέμψας εἰς Δελφοὺς ὡς περὶ τῆς κοινῆς Κορινθίων σωτηρίας χρώμενος, ἀπεῖπεν αὐτοῖς τῆς Κορινθίας μὴ ἐπιβαίνειν. καὶ τοῦ λοιποῦ τὴν τυραννίδα κατέσχεν ἀσφαλῶς, τοὺς εὐγενεστάτους ἐκβαλών.

ΚΕΦ. ΛΒ.
ΤΕΛΕΣΙΝΙΚΟΣ.

Τελεσίνικος Κορίνθιος ἐν τῷ λιμένι τῶν Συρακουσίων ἐναυμάχει πρὸς Ἀθηναίους· ἐπεὶ δὲ ἐπὶ πλεῖστον τῆς ἡμέρας ναυμαχοῦντες ἐπόνουν, κελήτιον πέμψας ἐς τὴν πόλιν τῶν

τῶν

45 Deeſt τοὺς. *Caſ.*

thenienſes autem et quotquot ſunt extra Peloponneſum deſerere, prædixit: Si Athenienſes, cæterique Græci privatim ſibi conſuluerint in hoc adverſus Perſas, multos aditus in Pelopponneſum habebunt barbari. Hoc ſermone perſuaſi Lacones, omnem de Iſthmo curam abjecerunt, ſeque omnibus Græcis belli ſocios adjunxerunt.

CAP. XXXI.
CYPSELUS.

Cypſelus, cum clariſſimos ex Bacchiadum familia Delphos miſiſſet, qui de communi ſalute Corinthiorum oraculum conſulerent, interdixit eis, ne Corinthum ingrederentur: atque in poſterum nobiliſſimis ejectis, ſecure tyrannidem obtinuit.

CAP. XXXII.
TELESINICUS.

Teleſinicus Corinthius in portu Syracuſanorum cum Athenienſibus navali prælio confligebat. Cum ad multum diem obita pugna defatigarentur, celocem in urbem Syracu-

racu-

τῶν Συρακουσίων τὴν ἀγορὰν ἐκέλευσεν ἐπὶ τὸν λιμένα κομίζειν. ὡς δὲ κεκοσμημένην ἶδε, σημεῖον ἄρας, ἀκρίτου τῆς ναυμαχίας οὔσης, ἀπῆλθεν ἐπὶ τὸν λιμένα. οἱ δὲ Ἀθηναῖοι καὶ αὐτοὶ, διὰ τάχους 46 μὲν ὡς ἀπαλλαγέντες ἐπὶ τὴν γῆν ἠριστοποιοῦντο, ἄλλος ἄλλη διασπαρέντες. ὁ δὲ, τῶν στρατιωτῶν ἑτοίμῃ τῇ ἀγορᾷ χρησαμένων, ἀναχθεὶς, αὐτίκα σὺν τοξόταις καὶ ἀκοντισταῖς ἐπὶ τῶν καταστρωμάτων, πολλοῖς προσπεσὼν ἄφνω τοῖς Ἀθηναίοις ἀνακομιζομένοις ἀτάκτως, καὶ μετὰ θορύβου, ποιεῖσθαι τὴν ἔμβασιν, ἀντιπρώροις ταῖς τριήρεσιν ἐμβαλὼν ἐνίκησε.

β΄ Τελεσίνικος ἀπὸ τῶν αὐτῶν σημείων ἀριστοποιουμένων τῶν πολεμίων, καὶ τὰ λοιπὰ πραττόντων ὁμοίως, προσέταξε τοὺς ἐν ταῖς ἄριστα πλεούσαις τριήρεσιν, αὐτοὺς πρὸ ἡμέρας ἀριστήσαντας ἡσυχάζειν ἐμβάντας· ἐπεὶ δὲ καιρὸς ἀρίστου παρῆν, κατὰ τὸ ἔθος ἐσήμηνεν· οἱ μὲν οὖν ἐν τοῖς ἄλλοις σκάφεσιν ἠριστοποιοῦντο 47 συνιδόντες πρὸς τῇ παρασκευῇ τῶν σιτίων ἦσαν· οἱ δὲ τῶν Συρακουσίων προεμβεβηκότες ἐπὶ τὰ καταστρώματα τοὺς ἐπιβάντας ἐπιπλεύ-

46 Aut legendum ἀσμένως, aut tollendum τὸ μέν. *Idem.*
47 *Caſaub.* ex conjectura emendat, οὓς συνιδόντες οἱ πολέμιοι, πρὸς τ. π. τ. σ.

racuſanorum miſit, ac cibaria in portum deportari juſſit. Quæ cum inſtructa videret, ſublato ſigno, dum anceps adhuc prælium eſſet, in portum ſe recepit. Athenienſes etiam ipſi in terram diſcedentes, prandium faciebant, alius alio diſperſi. Ille militibus præparato victu refectis, ſolvens continuo cum ſagittariis et jaculatoribus in ſuperioribus tabulatis repentine ſuperveniens, Athenienſibus ſine ordine diſcurrentibus, et cum tumultu egreſſis, in obverſas triremium proras impetu facto victor diſceſſit.

2 Teleſinicus cum iisdem ſignis hoſtes prandium ſumerent, et reliqua ſimiliter facerent, mandavit iis qui optime navigantes triremes habebant, ut ipſi ante lucem ſumto cibo egreſſi quieſcerent. Cum tempus inſtaret prandii, conſueto more ſignum dedit. Qui igitur in reliquis erant navigiis, prandium faciebant, quos hoſtes videbant apparandis cibis vacare. Reliqui Syracuſani progreſſi, conſcenſis navibus in hoſtes impetum faciebant,

πλεύσαντες, πολλὰς διέφθειραν τριήρεις τῶν πολεμίων περὶ τὰς τροφὰς ἀσχολουμένων.

ΚΕΦ. ΛΓ.

ΠΟΜΠΙΣΚΟΣ.

Πομπίσκος Ἀρκὰς, ἀεὶ στρατοπεδεύων τὰς ὁδοὺς τὰς ἐπὶ τὸ στρατόπεδον ἀγούσας, τὰς μὲν ἀπέσκαπτε, τὰς δὲ ἀπὸ χαράκου χωννυμένας· αὐτὸς δὲ καινὰς κατεσκεύαζεν ἄλλας, ὅπως οἱ κατάσκοποι ἢ οἱ νύκτωρ ἐπιθέμενοι διὰ τῶν ἀρχαίων ὁδῶν πορευόμενοι, ἐμπίπτοιεν τοῖς ὀρύγμασι· τῶν δὲ καινῶν ἀπείρως ἔχοιεν.

β' Πομπίσκος τῶν πολεμίων ἐγγύθεν τὰ σημεῖα καὶ τὰ κηρύγματα αὐτοῦ παραφυλαττόντων ἐν ἀπορρήτῳ, παρήγγειλε τοῖς φανεροῖς παραγγέλμασι καὶ κηρύγμασι χρῆσθαι τοὺς στρατιώτας εἰς τοὐναντίον.

γ' Πομπίσκος περιστρατοπεδεύων πόλιν, ἐπὶ μὲν τὴν πολλὴν τῆς χώρας ἐξιέναι τοὺς πολεμίους ἐκώλυσεν· 48 ἐπὶ δὲ τόπον ἕνα συνεχῶς . . . . καὶ τοῖς ληϊζομένοις ἀπέχεσθαι τοῦ τόπου τούτου προσέταξεν. οἱ δὲ ἐκ τῆς πόλεως ἀδεῶς ἐνταῦθα προ-

48 Ad lacunam explendam addit *Caſ.* συνεχώρησε.

ciebant, multasque triremes eorum perdiderunt, dum ipſi in capiendo cibo occuparentur.

CAP. XXXIII.

POMPISCUS.

Pompiſcus Arcas in more habebat, ut quotiescunque caſtra poneret, ſemper vias eas quæ ad caſtra ducerent, partim foſſa ducta incideret, partim aggere obrueret. Ipſe vero novas alias parabat, ut exploratores, aut qui nocte aggredi exercitum vellent, per vias priſtinas profecti, in foſſas inciderent, novarumque peritiam non haberent.

2 Pompiſcus, hoſtibus ex propinquo ſigna et promulgationes ipſius obſervantibus, in occulto præcepit militibus, ut manifeſto data præcepta et promulgationes ſemper in contrarium verterent.

3 Pompiſcus urbem cingens caſtris, in maximam regionis partem hoſtes exire prohibuit. In unum vero locum continenter venire permiſit, iisque, qui ad agendam prædam mitterentur, præcepit, ut ab eo ſolo loco abſtinerent. Qui in urbe erant,

προϊέσαν· ὁ δὲ παρὰ τῶν σκοπῶν ὡς ἔμαθεν τοὺς ἥκοντας πολλοὺς, ἐπιθέμενος, τοὺς πλείστους αὐτῶν ἐχειρώσατο.

δ' Πομπίσκος χωρίον πολιορκῶν, ἑλεῖν οὐχ οἷός τε ὢν καθίστα αὐτόμολον ἀγγέλλοντα ὡς Ἀρκάδων αὐτὸν μεταπεμπομένων, ἀποροίη πῶς ἂν ἀπολίποι τὴν πολιορκίαν· οἱ δὲ ἡσθέντες, 49 μετ' οὐ πολὺ τὴν στρατιὰν ἀναχωροῦσαν ἰδόντες, πιστὸν εἶναι τὸν αὐτόμολον ἡγούμενοι, προελθόντες, πολλὰ ἐκ τοῦ στρατοπέδου διήρπαζον. ὁ δὲ Πομπίσκος ἀναστρέψας ἐπιθέμενος, καταλαβὼν ἐκράτησεν αὐτῶν τε καὶ τοῦ χωρίου.

ε'. Πομπίσκος, ἵνα θᾶττον οἱ κατάσκοποι τῶν πολεμίων ἁλίσκοιντο, 50 εἰσόδους ὀλίγας .... τὸ στρατόπεδον ἐτίθει παρ' αὐτὰς ἐπὶ ὑψηλοῦ· καὶ τοῖς πορευομένοις εἰς τὰς προνομὰς παρηγγέλλετο 51 παρὰ τὸν πίλου διέρχεσθαι· οἱ δὴ κατάσκοποι τὰς διόδους ταύτας ὡς φανερὰς φυλαττόμενοι διὰ τῶν πλαγίων ὑπεῖναι πειρώμενοι ταχέως ἡλίσκοντο.

ς' Πομπίσκος κατασκόπους ἔπεμψεν ἄνδρας ἀγνῶτας ἀλλήλοις, ἵνα μὴ συντίθοιντο, μηδὲ ψευδάγγελοι γίγνοιν-

το

49 Mſſ. οὐ μετ' οὐ πολύ. Unde lego οὐ μετὰ πολύ. *Maſv.*
50 Nempe παρασκευάζων, vel ſimile quid. *Caſaub.*
51 Mſſ. παρὰ τὸν πίλον. *Interpres* παρὰ τὴν ὁδὸν legiſſe videtur.

rant, ſine metu eo commeabant. Ille cum multos veniſſe ex ſpeculatoribus cognoviſſet, facto in eos impetu, magnum numerum ſubegit.

4 Pompiſcus cum oppidum quoddam oppugnatione capere non poſſet, transfugam ſubornat, qui nuntiaret: Arcades ipſum arceſſere, et ob eam cauſſam animi pendere, quemadmodum oppugnationem relinqueret. Illi ſummo gaudio affecti, cum non multo poſt exercitum diſcedere viderent, transfugam vera dixiſſe arbitrati, effuſi ex urbe, multa in caſtris diripiebant. Pompiſcus reverſus, et deprehenſos aggreſſus, tum ipſos ſuperavit, tum etiam oppido potitus eſt.

5 Pompiſcus, quo citius exploratores hoſtium caperentur, paucas vias habebat, ad quas in excelſo loco caſtra ponebat: iisque, qui prædatum exirent, præcipiebat, ut extra viam ingrederentur. Exploratores has vias quaſi perſpicuas caventes, perque obliquas ſubire conantes, celeriter capiebantur.

6 Pompiſcus exploratum miſit viros ſibi invicem ignotos, ne conſpirationem facerent,

το. ἀπηγόρευεν δὲ αὐτοῖς μηδενὶ τῶν ἐν τῷ στρατοπέδῳ διαλέγεσθαι, ὅπως μή τινες αὐτοῖς φθονοῦντες ἐξαγγείλωσι τοῖς πολεμίοις τὴν μέλλουσαν αὐτῶν ἄφιξιν.

ΚΕΦ. ΛΔ.

ΝΙΚΩΝ.

Νίκων Σάμιος κυβερνήτης πλησίον τριήρων πολεμίων ὁρμουσῶν, βουλόμενος παραπλεύσας λαθεῖν, τὴν ἀλοιφὴν τῆς αὐτοῦ νεὼς ὁμοίαν καταχρίσας ταῖς πολεμίαις τριήρεσι, τάξας τοὺς ἀρίστους, καὶ τοῖς σώμασιν 52 εὐρρώστους ἐρέτας, ἔπλει παρ' αὐτὰς τὰς πρώρας τῶν πολεμίων τριήρων, ὡς φίλος ὢν ναύταις· προελθὼν ἐπ' ἐσχάτων τῶν ὁρμουσῶν νεῶν ἐξέπλευσε, καταπεπληγότων, καὶ θαυμαζόντων τὸ δρώμενον τῶν πολεμίων· καὶ τότε ἐγνώσθη πολέμιος ὤν, ὅτε μὴ καταληφθῆναι οἷός τε ἦν.

ΚΕΦ. ΛΕ.

ΝΕΑΡΧΟΣ.

Νέαρχος Κρὴς κατέσχε Τελμισσὸν Ἀντιπατρίδου κρατοῦντος· κατέπλευσε μὲν ἐς τὸν λιμένα Νέαρχος· ἐπεὶ δὲ Ἀντι-

52 Εὐρώστους, aut ἐυρωστάτους. *Caſ.*

rent, et res falſas referrent: iisque interdixit, ne cum aliquo in caſtris ſermones miſcerent, ne qui eis invidentes, hoſtibus futurum illorum adventum ſignificarent.

CAP. XXXIV.

NICON.

Nicon Samius gubernator, cum hoſtium naves in propinquo navigarent, quo commodius illis ignorantibus præteriret, eodem colore ſuam tinxit, quo hoſtiles triremes tinctas eſſe intelligebat: fortiſſimisque et corporis robore validiſſimis viris remos committens, proras ipſas hoſtilium navium prætergebat, et tanquam amicus nautis appropinquans, provectus ad extremas naves evaſit, obſtupeſcentibus ac mirantibus id factum hoſtibus. Et tum demum eum hoſtem eſſe cognitum eſt, cum eum capere jam non amplius poſſent.

CAP. XXXV.

NEARCHUS.

Nearchus Cretenſis Telmeſſum in ſuam poteſtatem redegit, cum Antipatrides eam antea tenuiſſet. Navigavit

Ἀντιπατρίδας, παλαιὸς ὢν φίλος, ἀπὸ τῆς ἄκρας κατέβη πρὸς αὐτὸν, καὶ διελέξαντο περὶ ὧν ἐβούλοντο· ὁ Κρὴς ἔφη, βούλεσθαι γυναῖκας ἀποθέσθαι παρ' αὐτῷ, καὶ παῖδας δεδεμένους· ὁ μὲν Ἀντιπατρίδης ἐπέτρεψεν· οἱ δὲ παῖδες οἱ δεδεμένοι τὰ σκεύη τῶν μουσουργῶν γυναικῶν ἀνεκόμισαν· ἐν δὲ τοῖς κιβωτίοις τῶν αὐλῶν ἐνῆν ἐγχειρίδια γυμνά· ἐν δὲ ταῖς κύσταις πέλται· ὡς δὲ εἴσω τῆς ἄκρας ἐγένοντο, οἵ τε τὰς γυναῖκας καὶ τοὺς παῖδας ἄγοντες, σπασάμενοι τὰ ἐγχειρίδια καταλαμβάνουσι τὴν ἄκραν, καὶ τῆς Τελμισσοῦ Νέαρχος ἐκράτησεν.

ΚΕΦ. Λϛ.
ΔΩΡΟΘΕΟΣ.

Δωρόθεος Λευκάδιος 53 ναυμαχίαν ἔχων κατῆγεν εἰς λιμένα, προηγουμένων αὐτῶν οὐ πολύ· κάμψας δὲ τὴν ἄκραν τοῦ λιμένος, εὐθὺς ἐπέστρεψε τὴν ναῦν· ἡ δὲ προτέρα τῶν πολεμίων τριήρων διώκουσα τὸν Δωρόθεον, ῥύμῃ φερομένη τὸν εἴσπλουν ἐποιεῖτο. Δωρόθεος ἐμβαλὼν κατέδυσεν· ἡ δ' ἑτέρα ναῦς τὴν προτέραν ἰδοῦσα καταδυομένην εὐθὺς ὥρμησε φεύγειν.

ΚΕΦ. ΛΖ.

53 ναῦν μίαν. conj. *Caſaub.*

vit in portum Nearchus. Cum igitur Antipatrides pro veteri amicitia ad eum ab arce deſcenderet, et illi de variis rebus colloquerentur: Cres inquit, ſe mulieres quasdam et vinctos ſervos apud eum velle deponere. Conceſſit Antipatrides. Servi vincti vaſa mulierum muſicarum portabant. In tibiarum arculis exigui quidam inerant enſes: in ciſtis vero pila. Cum in arcem ventum eſſet, ii qui mulieres ac pueros ducebant, ſtrictis gladiis arcem occupant, et Telmiſſum Nearchus obtinuit.

CAP. XXXVI.
DOROTHEUS.

Dorotheus Leucadius inter navale prælium in portum quendam confugit, hoſtibus non longe inſequentibus: et prætèrlegens finem portus extremum, navem convertit. Prior hoſtium triremis perſequens Dorotheum, impetu delata in portum tendebat. In quam Dorotheus irruptione facta, eam ſubmerſit. Altera navis videns priorem ſubmergi, ſtatim fugam capeſſebat.

CAP. XXXVII.

ΚΕΦ. ΛΖ
ΣΩΣΙΣΤΡΑΤΟΣ.

Σωσίϛρατος ἔπεισε τὸν Συρακούσιον δῆμον ἄνδρας φίλους Ἀγαθοκλεῖ, πρός τε τὴν τυραννίδα συμπράττοντας, φεύγειν μετὰ τῶν οἰκετῶν ψηφίσασθαι. ἐπεὶ δὲ τῆς πόλεως ἔξω ἐγίνοντο ἄνδρες χίλιοι οἱ προπέμποντες αὐτοὺς ὁπλῖται καὶ ἱππεῖς, οὓς μὲν συλλαβόντες ἀπέκτειναν· οὓς δὲ διαφυγόντας Σωσίϛρατος ἐπικηρύξας ἀναιρεῖν ἐπέτρεψεν· αὐτὸς δὲ τὰς τῶν φυγάδων οὐσίας κατίσχεν· καὶ συναγαγὼν ϛρατιώτας Ἕλληνας, καὶ βαρβάρους, καὶ τοὺς ἐκ τῶν λιθοτομιῶν λύσας, ὑπὸ τούτων φυλασσόμενος ἦρχε τῶν Συρακουσίων.

ΚΕΦ. ΛΗ.
ΔΙΟΓΝΗΤΟΣ.

Διόγνητος Ἀθηναῖος βουλόμενος κρατῆσαι πόλεως τινὸς, ἀποβιβάσας κρύφα ϛρατιώτας νυκτὸς, καὶ λόχον ἐγκαθίσας μεθ' ἡμέραν αὐτὸς ἐπιπλεῖ φανερῶς· οἱ μὲν ἐκ τῆς πόλεως ἐπὶ τὰς ναῦς ἐβοήθουν. οἱ δὲ ἐνεδρεύοντες ὥρμησαν ἐπὶ τὴν πόλιν, καὶ ῥᾳδίως αὐτῆς ἐκράτησαν. Διόγνητος

CAP. XXXVII.
SOSISTRATUS.

Soſiſtratus populo Syracuſano perſuaſit, ut eos quibus cum Agathocle neceſſitudo aliqua intercederet, quique ad tyrannidem aſſequendam ſuam operam ei præſtitiſſent, communi decreto cum omni familia in exilium mitterent. Qui cum extra civitatem veniſſent, mille viri comitantes eos partim armati, partim equites, alios comprehenſos interfecerunt: alios, qui effugerant, Soſiſtratus facta promulgatione occidere conceſſit. Ipſe vero exulum bonis potitus, conductis militibus Græcis ac barbaris, iisque qui in lautumiis vincti tenebantur ſolutis, ſtipatus his, ac ſatellitibus uſus, imperium in Syracuſanos tenuit.

CAP. XXXVIII.
DIOGNETUS.

Diognetus Athenienſis civitatem quandam capere volens, clam ſub noctem expoſitis militibus, inſidiisque collocatis, interdiu palam ipſe naves appulit. Cives undique prouentes, ex urbe ad naves decurrebant. Qui in inſidiis latebant, in urbem impetum faciunt, eamque ſine labore occupant. Diognetus ad-

νητος προσπλεύσας καὶ καθορμισθεὶς, ἐκβιβάσας τοὺς ἐκ τῶν νεῶν, ἐχειρώσατο τοὺς ἐπὶ τὴν βοήθειαν ἐξελθόντας.

ΚΕΦ. ΛΘ.

ΑΡΧΕΒΙΟΣ.

Ἀρχέβιος ἦν Ἡρακλεώτης τῶν πολεμίων ἀποβάσεις ποιουμένων συνεχῶς, πλοῖα τῶν ἁλιευτικῶν ἀνασπάσας, καὶ διὰ τῆς 54 τροπίας δεσμοῖς αὐτὰ δυσκίνητα ποιήσας, αὐτὸς μετά τινων ἐνήδρευε. σαλπιγκτὴς ἦν ἐπὶ δένδρου σκοπός. οὗτος ἰδὼν τοὺς πολεμίους προσορμισθέντας νηῒ μακρᾷ, καὶ τριακοντόροις δυσὶν, καὶ ἀποβάντας, καὶ τοὺς μὲν ἁρπάζοντας· τοὺς δὲ τὰ πλοῖα τῶν δεσμῶν ἀπολύοντας, ἐσήμηνε τῇ σάλπιγγι· Ἀρχέβιος τοὺς ἐνεδρεύοντας ἀναστήσας, τοὺς μὲν πολεμίους διέφθειρε, τὰς δὲ τριακοντόρους αὐτῶν, καὶ τὴν ναῦν τὴν μακρὰν εἰς τὸν λιμένα τῆς πόλεως κατήγαγεν.

ΚΕΦ. Μ.

ΑΡΙΣΤΟΚΡΑΤΗΣ.

Ἀριστοκράτης Ἀθηναῖος ναῦν λαβὼν Λακωνικὴν, ταύτην ἔχων ἀνέπλευσεν ἐς πόλιν συμμαχίδα Σπαρτιατῶν, ἔχων ἐν τῇ νηῒ συχνοὺς ἄνδρας ἔνδοθεν ἐγχειριδίοις ὡπλισμένους· οἱ μὲν ἐπὶ

54 Forſitan τρόπιος, a τρόπις.

adnavigans, et appellens, expoſitis his qui in navibus erant, eos qui ad defendendum excurrerant, domuit.

CAP. XXXIX.

ARCHEBIUS.

Archebius Heracleotes, hoſtibus continenter abeuntibus, piſcatoria navigia contraxit, eaque per carinas vinculis inſertis immobilia fecit, atque ipſe cum aliquibus hoſtium adventum in inſidiis exſpectabat. Tubicen qui in arbore ſpeculandi cauſſa ſtabat, conſpicatus hoſtes adnavigare cum navi longa, et duabus triginta remorum, et egreſſos, partim prædam agere, partim navigiorum vincula ſolvere, ſignum tuba dedit. Archebius iis, quos in inſidiis poſuerat excitatis, hoſtes perdidit: naves autem triginta remorum et navem longam in portum civitatis adduxit.

CAP. XL.

ARISTOCRATES.

Ariſtocrates Athenienſis Laconica navi ſumta, cum ea in urbem quandam ſocietate Lacedæmoniis devinctam navigavit, habens in navi plurimos viros clandeſtinis enſibus

ἐπὶ τοῦ λιμένος τὴν ναῦν ὡς φίλην ὑπεδέξαντο· οἱ δὲ τῆς νεὼς ἐκβάντες ἄφνω προσπεσόντες τοῖς περιπατοῦσι, δέκα μὲν αὐτῶν ἀπέσφαξαν· κʹ δὲ καὶ πέντε, συναρπάσαντες, ἀπέπλευσαν. οὓς πολλῶν χρημάτων [55] Ἀριστοκλῆς ἀπελυτρώσατο.

ΚΕΦ. ΜΑ.

ΑΡΙΣΤΟΜΑΧΟΣ.

Ἀριστόμαχος Καρδιανῶν τριήρεις λαβὼν μετεμβιβάσας τοὺς ἐρέτας, καὶ κοσμήσας τοῖς ἀκρωτηρίοις τῶν αὐτοῦ νεῶν, αὐλούμενος κατέπλει, τὰς ἰδίας ναῦς ἐφέλκων τὴν καταγωγὴν ὀψὲ ποιούμενος. Καρδιανοὶ μὲν πρὸς ναῦς ὥρμησαν ἐκ τῆς πόλεως ὡς οἰκείας καὶ νικώσας· οἱ δὲ Ἀριστομάχειοι τῶν νεῶν ἐκβάντες, πολλοὺς Καρδιανῶν ἀπέκτειναν.

ΚΕΦ. ΜΒ.

ΧΑΡΙΜΕΝΗΣ.

Χαριμένης Μιλήσιος καταφυγὼν ἐς Φασηλίδα, ἐφορμούντων αὐτῷ νεῶν μακρῶν Περικλέους τοῦ Λυκίου, περιθέμενος περιθετὴν πεζῇ διὰ τῆς Περικλέους χώρας ἐσώθη.

ΚΕΦ. ΜΓ.

55 Lege Ἀριστοκράτης. Nam ἀπελυτρώσατο, non eſt *redemit*, ſed *pro redemtione exegit*. *Caſ.*

bus armatos. Qui portui præerant, navem quaſi ſociam et amicam receperunt. Illi autem egreſſi, ex improviſo deambulantes adorti, decem ex iis trucidarunt, et viginti quinque captivos abduxerunt, quos Ariſtocles multis pecuniis redemit.

CAP. XLI.

ARISTOMACHUS.

Ariſtomachus triremibus Cardianorum captis, impoſuit remiges, ſuarumque navium inſignibus eas ornavit, cum concentu ſuas naves ſub multam veſperam appellens. Cardiani ad naves, affundebantur ex urbe, quaſi ſuas et victrices: Ariſtomachii e navibus egreſſi, multos Cardianorum occiderunt.

CAP. XLII.

CHARIMENES.

Charimenes Mileſius cum in Phaſelidem confugiſſet, ſupervenientitibus ei longis navibus Periclis Lycii, capillamento ſumto, pedes per regionem Periclis evaſit.

CAP. XLIII.

ΚΕΦ. ΜΓ.

ΚΑΛΛΙΑΔΗΣ.

Καλλιάδης κυβερνήτης καταλαμβανόμενος ὑπὸ νεὼς ταχυτέρας τὸ πηδάλιον ἔσχαζε συχνῶς, καθ᾽ ὁπότερον ἂν ἐμβάλλειν μέλλοι· ἵνα ὁ διώκων προσκρούων ταῖς ἐπωτίσι πρὸς τὸ πηδάλιον ἐμβαλεῖν μὴ δύνηται, τῷ τὴν ἐμβολὴν εἶναι κατὰ τὰς πρώτας θρανίτιδας.

ΚΕΦ. ΜΔ.

ΜΕΜΝΩΝ.

Μέμνων ἐπιθέμενος Λεύκωνι τῷ Βοσπόρου τυράννῳ, βουλόμενος καταμαθεῖν τὰ μεγέθη τῶν πολεμίων, καὶ τὰ πλήθη τῶν ἐνοικούντων, ἔπεμψεν Ἀρχιβιάδην Βυζάντιον ἐπὶ τριήρους, πρεσβευτὴν πρὸς Λεύκωνα, ὡς ὑπὲρ φιλίας, καὶ ξενίας διαλεξόμενον. συνέπεμψε δὲ αὐτῷ καὶ Ὀλύνθιον κιθαρῳδὸν Ἀριστόνικον, εὐδοκιμοῦντα μάλιστα δὴ πάντων τότε παρὰ τοῖς Ἕλλησιν· ὅπως ἐν τῷ παράπλῳ προσορμιζομένων, ἐπιδεικνυμένου τοῦ κιθαρῳδοῦ, τῶν ἐνοικούντων εἰς τὰ θέατρα σπουδῇ συνιόντων, τὸ πλῆθος τῶν ἀνθρώπων κατάδηλον τῷ πρεσβευτῇ γένοιτο.

β´ Μέμ-

CAP. XLIII.

CALLIADES.

Calliades gubernator interceptus a nave celeriore, gubernaculum frequenter inhibuit, a quacunque parte eſſet incurſura, ut perſequentes alliſis ad gubernaculum navis auriculis impreſſionem facere non poſſent, quæ fere ad primos remos, qui in puppi ſunt, fieri conſuevit.

CAP. XLIV.

MEMNON.

Memnon inſidias Leuconi Boſpori tyranno ponens, cum explorare vellet, quanta hoſtium eſſet magnitudo, et incolentium in ea terra multitudo, Archibiadem Byzantium in triremi legatum ad Leuconem miſit, ut de amicitia et hoſpitio cum eo loqueretur. Miſit autem una cum illo citharœdum, Olynthium, nomine Ariſtonicum, propter artem celeberrimum omnium eo tempore apud Græcos: ut in tranſitu, ſi appellerent, ſpecimen edente citharœdo, incolisque in theatra ſummo ſtudio confluentibus, multitudo hominum nota legato fieret.

β′ Μέμνων ἐρυμνὰ χωρία τῶν πολεμίων καταλαβόντων, καὶ ȣ̓ καταβαινόντων ἐς μάχην, ἀποχωρήσας ἀπωτέρω τῶν ὀχυρῶν τόπων, καὶ ἀντιταχθεὶς μετὰ τῶν ἡμίσεων στρατιωτῶν, ὡς τῶν ἄλλων στασιαζόντων πρὸς αὐτὸν, πέμψας πρὸς αὐτȣ̀ς αὐτόμολον, ἐκέλευσε φράζειν ὅτι στασιάζοιεν, καὶ μέλλοιεν ἀλλήλοις μάχεσθαι· καὶ διὰ τȣ̃το ἀνεχώρησαν ἀποτέρω, ἄνωθεν ὑμᾶς φοβηθέντες· καὶ δὴ ὡς ἀντιπαρατάσσεσθαι μέλλοντες ὁπλίζοιντο. οἱ δὲ ἐκ τῆς πόλεως τοῖς τȣ̃ αὐτομόλȣ λόγοις ὅμοια καὶ τὰ ἔργα ὁρῶντες, καταβαίνȣσιν, ἀπὸ τῶν ἐρυμνῶν πρὸς αὐτȣ́ς. οἱ δὲ Μεμνόνειοι τȣ̀ς πολεμίȣς ὁρῶντες ἐν τῷ ἰσοπέδῳ, ȣ̓κ ἐπ᾽ ἀλλήλȣς, ἀλλὰ μετ᾽ ἀλλήλων ἐπ᾽ αὐτȣ̀ς ὁρμήσαντες, ὑποχειρίȣς ἅπαντας ἐποιήσαντο.

γ′ Ἀριστώνυμον ἐν Μηθύμνῃ [56] Χάρης πολιορκῶν, πρεσβείαν ἔπεμψεν πρὸς Μέμνονα, ἀξιῶν αὐτὸν μὴ φοβηθῆναι Ἀριστωνύμῳ αὐτῷ κατὰ κράτος· καὶ γὰρ εἶναι πατρικὸν φίλον, καὶ ξένον· καὶ τῆς γε νυκτὸς τῆς ἐπιȣ́σης μετὰ

56 Mire hic variant Codices. Nam in ſuis ita reperit Interpres: Ἀρ. ἐν Μηθ. Χ. ἐπολιόρκει, π. ε. πρὸς αὐτὸν Μέμνων, ἀξιῶν μὴ προσφέρεσθαι Ἀριστωνύμῳ αὐτὸν κατὰ κράτος. *Caſ.*

2 Memnon hoſtibus munitiſſima loca tenentibus, neque ad pugnam deſcendentibus, longius a munitis caſtris diſcedens, et dimidiam tantum militum partem in aciem inſtruens, ut alii ſeditionem adverſus eum concitaſſe viderentur, transfugam ad hoſtes miſit, juſſitque dicere, Seditionem inter eos eſſe coortam, atque inteſtinum bellum movere, ob eamque cauſſam longius receſſiſſe, metuentes ne ipſi deſuper impetum facerent. Itaque ad faciendam pugnam armis ſe cingebant. Qui erant in urbe, cum transfugæ verbis rem conſentaneam viderent, a munitionibus adverſus eos deſcendunt. Memnonii hoſtes in æquali, planoque campo conſpicati, non contra ſe mutuo, ſed una et conjuncti adverſus ipſos arma ferentes, omnes ad unum ſubegerunt.

3 Ariſtonymum in Methymna Chares oppugnabat. Miſit ad eum Memnon legationem, petens ne quid per vim Ariſtonymo faciat. Etenim eſſe ſibi patrium amicum et hoſpitem: et ſequenti nocte

μετὰ πάντων τῶν στρατιωτῶν ἐκεῖ γενήσεσθαι. Χάρης, τῶν πρεσβευτῶν ἀγγειλάντων ταῦτα, κατεφρόνησεν, ὡς ἀδύνατον, πολὺ καὶ βαρὺ στρατόπεδον, ἐπιούσης νυκτὸς ἐνταυθοῖ γενέσθαι· ὁ δὲ Μέμνων ὁδεύσας ε' στάδια ἑσπέρας, ἐς πλοῖα χιλίους διακοσίους στρατιώτας ἐμβιβάσας, σύνθημα ἔδωκεν, ὅταν ἀποβάντες ἐς τὴν ἀκρόπολιν παρέλθωσιν, ἆραι πυρσὸν, καὶ τοῖς πολεμίοις ἐπιτίθεσθαι. τούτων πραχθέντων, ἡ μὲν ἐπίθεσις ἐν τῷ σκότῳ παράδοξος ἐφάνη. ὁ δὲ πυρσὸς ἀρθεὶς ἐς φυγὴν ἐτρέψατο τὸν Χάρητα, ὡς τοῦ Μέμνονος μετὰ πάσης δυνάμεως τὴν ἀκρόπολιν κατειληφότος.

δ' Μέμνων τετρακισχιλίους στρατιώτας ἔχων, Μαγνησίας ἀπέχων μ' στάδια, τεῖχος ἤγειρε κύκλῳ τοῦ στρατοπέδου· Παρμενίων καὶ Ἄτταλος ἦσαν ἐν Μαγνησίᾳ, μυρίους ἔχοντες· ὀχυρωσάμενος δὲ τὸ στρατόπεδον ὁ Μέμνων ἐξήγαγεν αὐτοὺς διεσκευασμένους ἐς μάχην ὅσον ἐπὶ στάδια δέκα· τῶν δὲ πολεμίων ἐκβοηθησάντων, ὁ Μέμνων ἀνακλητικὸν σημήνας, ἀνεχώρησεν εἴσω τείχους· καὶ οἱ πολέμιοι δὲ ὁμοίως ἀπηλλάγησαν. πάλιν ὁ Μέμνων προελθὼν, τοὺς πολεμίους ὁρῶν ἀντιπαρατασσομένους, ἀνεχώρησε· καὶ

οἱ

nocte ſe cum omnibus militibus ibi affuturum. Chares legatis hæc referentibus, contemſit: quod fieri non poſſe exiſtimaret, ut exercitus tanto numero atque onere, ſequenti nocti in eum locum pervenire poſſet. Memnon veſperi quinque confectis itinere ſtadiis milites ad mille et ducentos in naves impoſuit: iisque præceptum dedit, ut cum egreſſi ad arcem veniſſent, ſublato igne ſignificationem facerent, et hoſtes aggrederentur. His factis, impetus in tenebris præter ſpem et expectationem accidit, Ignis vero ſublatus, in fugam Charetem vertit, quaſi Memnon cum univerſis copiis arcem occupaſſet.

4 Memnon quatuor millia militum ducens, cum quadraginta ſtadiis abeſſet a Magneſia, caſtra muro erecto cinxit. Parmenion et Attalus erant Magneſiæ cum decem millibus. Munitis caſtris Memnon eduxit eos inſtructos ad pugnam ad decem ſtadia. Hoſtibus excurſionem facientibus, Memnon receptui ſigno dato, intra muros conceſſit. Similiter etiam hoſtes diſceſſerunt. Rurſus Memnon progreſſus, cum hoſtes aciem inſtruere cerneret, diſceſſit,

 atque

οἱ πολέμιοι ἀνεχώρουν. καὶ τοῦτο πολλάκις τῆς ἡμέρας. 57 τέλος δὲ ὁπότε . . . . ἐκδεδυκότας αὐτοὺς τὰ ὅπλα περὶ ἀριστοποιίαν ἀσχολεῖσθαι, πάλιν ἐπεφάνη· τῶν δὲ οὐ φθασάντων ἀριστῆσαι, πολλῶν μὲν γυμνῶν, πολλῶν δὲ ἄρτι τὰ ὅπλα λαμβανόντων, πάντων δὲ ἀτάκτων συνιδὼν διεσπασμένην αὐτῶν τὴν φάλαγγα, συντεταγμένος πολλοὺς αὐτῶν διαφθείρας, πολλοὺς δε ζωγρήσας, τοὺς λοιποὺς καταφυγεῖν εἰς Μαγνησίαν ἠνάγκασεν.

ε' Μέμνων Κυζικηνοῖς ἐπιὼν, τῇ κεφαλῇ καυσίαν ἐπέθετο Μακεδονικὴν, αὐτός τε καὶ οἱ ἀμφ' αὐτὸν ἡγεμόνες. οἱ Κυζικηνοὶ προσιόντας ἀπὸ τῶν τειχῶν ὁρῶντες, νομίσαντες ὅτι ὁ Χαλκὸς ὁ Μακεδὼν φίλος ὢν καὶ σύμμαχος ἥκοι βοηθήσων, προσεδέχοντο, τὰς πύλας ἀνοίγοντες. ἐπεὶ δὲ πλησίον γενομένων ἐγνώρισαν, οἱ μὲν ἀπέκλεισαν τὰς πύλας· Μέμνων δὲ τὴν χώραν λεηλατήσας ἀπηλλάττετο.

ΚΕΦ. ΜΕ.
ΦΙΛΟΜΗΛΟΣ.

Φιλόμηλος Φωκεῦσι πολεμουμένοις ὑπὸ Θηβαίων, καὶ Θετταλῶν, ὑποσχόμενος κατορθώσειν τὸν πόλεμον ἡγεμὼν ἀπο-

57 Fortaſſe τέλος δ' ὁπότε ἑώρα. *Caſ.*

atque etiam hoſtes, idque ſæpius eodem die. Poſtremo cum exutis armis in faciendo prandio diſtinerentur, iterum apparuit. Qui cum nondum abſolviſſent prandium, aliis inermibus, aliis jam arma ſumentibus, omnibusque perturbatis, cum diſſipatam phalangem conſpicaretur, inſtructis ordinibus multos ex eis interfecit, multosque vivos cepit, ita ut reliqui in urbem confugere cogerentur.

5 Memnon Cyzicenos aggrediens, cauſiam Macedonicam capiti impoſuit, cum ipſe, tum qui eum ſequebantur. Duces Cyziceni eos accedentes conſpicati e mœnibus, arbitrati Chalcum Macedonem amicum et ſocium auxilio venire, portis apertis eos exſpectabant. Quem cum propius accedentem cognoviſſent, portas clauſerunt. At Memnon agris vaſtatis revertebatur.

CAP. XLV.
PHILOMELUS.

Philomelus Phocenſibus, qui a Thebanis ac Theſſalis bello petebantur, promittens ſe bellum feliciter confecturum,

ἀποδειχθεὶς, τὴν τοῦ πολέμου πρόφασιν, ἐξενολόγει. κρατῶν δὲ τοῖς ἱεροῖς χρήμασιν ἀναίδην ἀποχρώμενος, τὴν ἡγεμονίαν μετέβαλεν εἰς τὴν τυραννίδα.

ΚΕΦ. Μϛ.

ΔΗΜΟΚΛΗΣ.

Δημοκλῆς πρεσβεύσας κατηγορούμενος ὑπὸ τῶν πρεσβευτῶν, ὅτι μεγάλας τοῦ Διονυσίου πράξεις ἔβλαψεν· ὀργισθέντος τοῦ τυράννου, Ἐμοὶ πρὸς τούτοις, ἔφη, γέγονε διαφορὰ, ὅτι μετὰ τὸ δεῖπνον οὗτοι μὲν τοὺς Στησιχόρου καὶ Πινδάρου παιᾶνας ᾖδον, ἐγὼ δὲ τοὺς ὑπὸ σοῦ πεποιημένους· καὶ συνῆψε τοὺς παιᾶνας αὐτοῦ. Διονύσιος ἡσθεὶς, οὐκ ἔτι ἠνείχετο τῶν ἐγκλημάτων.

ΚΕΦ. ΜΖ.

ΠΑΝΑΙΤΙΟΣ.

Παναίτιος Λεοντίνων Μεγαρεῦσι πολεμούντων περὶ γῆς ὅρων, πολεμαρχῶν, πρώτους μὲν τοὺς πένητας, καὶ πεζοὺς, τοῖς ἐμπόροις, καὶ ἱππεῦσι συνέκρουεν, ὡς ἐκείνων πλεονεκτούντων ἐν ταῖς μάχαις, αὐτῶν δὲ πολλὰ ἐλαττουμένων· ἔπειτα δὲ καὶ πρὸ τῶν πυλῶν ἐξόπλισιν ποιήσας, τὰ μὲν ὅπλα

rum, cum dux eſſet creatus, belli prætextu mercenarios collegit, et impudenter ſacris pecuniis ad eam rem abuſus, ductum belli in tyrannidem convertit.

CAP. XLVI.

DEMOCLES.

Democles legationem obiens, cum a reliquis legatis accuſaretur, magnis Dionyſii rebus obſtitiſſe, iraſcente tyranno; Mihi cum his, inquit, controverſa fuit, quod poſt cœnam Steſichori et Pindari Pæanas canerent: ego vero eos quos tu compoſuiſti, atque ſimul ejus carmina cecinit. Dionyſius lætitia affectus, non amplius ob crimina in eum collata iraſcebatur.

CAP. XLVII.

PANÆTIUS.

Panætius, cum Leontini bellum adverſus Megarenſes gererent de finibus agrorum, dux belli creatus, primum egenos et pedites adverſus mercatores et equites irritavit, quod illi longe deterrima conditione in pugnis uterentur, hi vero commodiſſima. Deinde pro portis armorum

ὅπλα ἀριθμεῖν καὶ δοκιμάζειν ἐπειρᾶτο. τοὺς δὲ ἵππους, ταῖς ἡνιόχοις παραδοὺς, ἐκέλευσεν ἄγειν ἐς νομήν. χ´ δὲ πελταστὰς ἔχων εὐτρεπεῖς πρὸς τὴν ἐπανάστασιν, τῷ μὲν τούτων ἄρχοντι τὴν ἐξαρίθμησιν τῶν ὅπλων ἐπέτρεψεν· αὐτὸς δὲ ὡς σκιᾶς δεόμενος, ὑπὸ τὰ δένδρα ἀνεχώρησε, καὶ τοὺς ἡνιόχους ἔπεισεν ἐπιθέσθαι τοῖς δεσπόταις. οἱ δὲ ἐπιβάντες τῶν ἵππων ἐπέδραμον αὐτοῖς, καὶ τὰ ὅπλα ἐξαριθμούμενα ἁρπάσαντες, γυμνοὺς καὶ ἀόπλους ἐφόνευσαν· καὶ οἱ πελτασταὶ δὲ συνεψηφίσαντο τοῦ φόνου, καὶ πολλῇ σπουδῇ δραμόντες κατελάβοντο τὴν πόλιν· καὶ Παναίτιον τύραννον ἀνηγόρευσαν.

Τέλος τοῦ ε´ βιβλίου τῶν Πολυαίνου Στρατηγημάτων.

morum numerum atque delectum habere inſtituit. Equos aurigis traditos pabulatum ducere juſſit. Sexcentos vero ſcutatos habens, idoneos et expeditos ad eruptionem, horum principi numerationem armorum permiſit. Ipſe vero ſub arbores capturus umbram conceſſit, aurigisque perſuaſit, ut impetum in dominos facerent. Illi conſcenſis equis incurſionem in equos fecerunt, atque armis, quorum numerus habebatur, direptis, nudos et inermes trucidaverunt, atque ſcutati in eam cædem conſenſerunt, citatoque curſu urbem occupaverunt, et Panætium tyrannum conſtituerunt.

Τάδε ἔνεστιν ἐν τῷ ἕκτῳ τῶν

ΠΟΛΥΑΙΝΟΥ

ΣΤΡΑΤΗΓΗΜΑΤΩΝ.

HAEC INSUNT IN SEXTO LIBRO

POLYAENI

STRATEGEMATUM.

Ἰάσων, Στρατηγήματα	ζ	Jaſon, Strateg.	7
Ἀλέξανδρος Φεραῖος	β	Alexander Pheræus	2
Ἀθηνοκλῆς	α	Athenocles	1
Φιλοποίμην	γ	Philopœmen	3
Ἄρατος.	α	Aratus	1
Πύῤῥος	β	Pyrrhus	2
Ἀπολλόδωρος	β	Appollodorus	2
Αἴγυπτος	α	Ægyptus	1
Λεύκων	δ	Leucon.	4
Ἀλέξανδρος Φρούραρχος	α	Alexander Phrur.	1
Ἀριστείδης Ἐλεάτης	α	Ariſtides Eleates	1
Ἀλέξανδρος Λυσιμάχου	α	Alexander Lyſimachi	1
Ἀμφικτύονες	α	Amphictyones	1
Σαυνῖται	α	Samnites	1
Καμπανοί	α	Campani	1
Καρχηδόνιοι	ε	Carthaginienſes	5
Ἀμπρακιῶται	α	Ambraciotæ	1
Φωκεῖς	β	Phocenſes	2
Πλαταιεῖς	γ	Platæënſes	3
Κερκυραῖοι	α	Corcyræi	1
Αἰγεσταῖοι	α	Ægeſtani	1
Λοκροί	α	Locri	1
Κορίνθιοι	α	Corinthii	1
Λαμψακηνοί	α	Lampſaceni	3

Χαλ-

Χαλκηδόνιοι	α	Chalcedonii	1
Αἰτωλοὶ *	α	Ætoli	1
Λακεδαιμόνιοι *	γ	Lacedæmonii	3
Μεσσήνιοι *	γ	Meſſenii	3
Ἴβηρες *	α	Iberes	1
Ἡρακλεῶται *	α	Heracleotæ	1
Ἀργεῖοι *	α	Argivi	1
Χῖοι *	β	Chii	2
Ἀμπρακιῶται *	α	Ambraciotæ	1
Βουχίτιοι *	α	Buchetii	1
Σάμιοι *	α	Samii	1
Ἠλεῖοι *	α	Elei	1
Πάριοι *	α	Parii	1
Ἀννίβας *	α	Annibal	1
Θεσσαλοὶ *	α	Theſſali	1
Μασσανάσσης *	α	Maſſiniſſa	1
Ἀμίλκας *	α	Amilcar	1
Ἀσαρούβας *	β	Aſarubas	2
Νασάμων *	α	Naſamon	1
Ἱερεὺς *	α	Hiereus	1
Συλοσῶν	α	Solyſon	1
Ἀλέξανδρος Θετταλὸς	α	Alexander Theſſalus	1
Θρασύβουλος	α	Thraſybulus	1
Μέντωρ	α	Mentor	1
Ἀναξαγόρας	α	Anaxagoras	1
Πίνδαρος	α	Pindarus	1
Θήρων	α	Theron	1
Σίσυφος	α	Siſyphus	1
Ἄγνων	α	Agnon	1
Ἀμφίρητος	α	Amphiretus	1

Τέλος τοῦ πίνακος.

ΠΟ-

ΠΟΛΥΑΙΝΟΥ
ΣΤΡΑΤΗΓΗΜΑΤΩΝ.
βιβλίον ἕκτον.

ΠΡΟΟΙΜΙΟΝ.

Καὶ τόδε ὑμῖν ἕκτον βιβλίον, ἱερώτατοι βασιλεῖς Ἀντωνῖνε καὶ Οὐῆρε, προσφέρω τῶν Στρατηγημάτων· εὐχόμενος καὶ ὑμῶν νικώντων ἐν τοῖς πολεμίοις, πολλὰ καὶ καλὰ τῆς ὑμετέρας ἀρετῆς ἀναγράψαι στρατηγήματα· ὅσῳ γὰρ δυνάμει καὶ τύχῃ μείζονές ἐστε τῶν πάλαι στρατηγῶν· καὶ δὴ τόσῳ πλεονεκτεῖτε πάντας ἐμπειρίᾳ καὶ τέχνῃ. μεθ' ἧς ἤδη πολλοὺς πολεμίους κατείργασθε πολλῶν βαρβάρων, βουλευσάμενοι καλῶς μετὰ τοῦ πατρός. Μαυρουσίων ἁλόντων, Βρεττανῶν ἁλισκομένων, Γετῶν πεπτωκότων. ἄγε δὴ κατὰ Περσῶν καὶ Παρθυαίων ἐξιόντες αὐτοὶ μετὰ τῶν θεῶν δείξατε τὴν ὑμετέραν [1] τύχην, ὡς καὶ βουλευο-

1 Τέχνην. *Caſ.*

POLYAENI
STRATEGEMATUM
LIBER SEXTUS.

PROOEMIUM.

Etiam hunc ſextum librum ſtrategematum vobis dedico, ſanctiſſimi imperatores Antonine et Vere: exoptans, ut veſtra quoque, qui victores omnibus in bellis extitiſtis, multa, pulchraque ſtrategemata conſcribere poſſim. Quanto enim potentia, fortunaque veteribus ducibus eſtis ſuperiores, tanto magis omnibus præſtatis experientia et arte, qua multa jam bella contra barbaros confeciſtis, bona ſalubriaque conſilia una cum patre capientes: Mauris victis, captis Britannis, ſuperatis Getis. agite in bello contra Perſas et Parthos ſuſcepto, deorum auxilio veſtram oſtendite fortunam, quod et recte de bellis inire

βουλευόμενοι περὶ πολέμων, καὶ πολεμοῦντες αὐτοὶ [2] τῶν ἐπανισαμένων . . . . δύνασθε. ἐγὼ δὲ καὶ ταῦτα μὲν ὡς ἀξιομνημόνευτα ὄντα ἐν τῷ δέοντι καιρῷ διὰ μακροτέρων συγγράψαι προθυμήσομαι· νυνὶ δὲ ὅσα θεραπείαν ὑμετέραν οὐκ ἔχει, ἀλλὰ τῶν πάλαι γεγονότων ἀλήθειαν, προσθήσω καὶ ταῦτα τοῖς προλελεγμένοις.

Τέλος τοῦ προοιμίου.

ΚΕΦ. Α.
ΙΑΣΩΝ.

Ἰάσων βουλόμενος ἐπιθέσθαι πόλει Θετταλικῇ μηδὲν εἰς τὴν ἐπίθεσιν προειδότας παρήγγειλεν, ἐπὶ ἀριθμὸν, καὶ μισθοδοσίαν ἐξοπλίσασθαι· οἱ μὲν δὴ πάντες ἐξωπλίσαντο. καὶ τῶν σωμάτων εὖ, καὶ τῶν ὅπλων ἔχοντες. ἄγγελοι δὲ [3] καθέμενοι θέοντες ἧκον ἀγγέλλοντες πολεμίους ἐμβεβηκέναι τῇ χώρᾳ, τοσοῦτον ἀπέχοντας, ὅσον ἀπεῖχεν ἡ πόλις, ἣ προσπολεμεῖν ἐσπουδάκει. οἱ δὲ στρατιῶται πρὸς μάχην ἐντρεπεῖς ὄντες, ἠξίωσαν αὐτοὶ μὴ μέλλειν, ἀλλὰ

τὴν

2 τῶν ἐπανισαμένων περιγίνεσθαι. *Idem.* 3 καθειμένοι. † conject. *Caſaub.*

inire conſilia, et ipſi manu vincere hoſtes poſſitis. Ego vero etiam hæc, ut memoratu digna, ſuo tempore longioribus verbis perſcribere conabor. Nunc ea, quæ non veſtram continent induſtriam ſed veterum memoria geſtorum veritatem, prædictis adjungam.

CAP. I.
JASON.

Jaſon, cum in animo haberet urbem quandam Theſſalicam aggredi, juſſit prorſus ignaros conſilii ſui, quod de oppugnatione ceperat ad habendum delectum, accipiendumque ſtipendium armatos convenire. Qui cum omnes eſſent armati corporibus, armiſque valentes, clam miſſi nuntii citato curſu ſuperveniunt, et hoſtes in agros impreſſionem feciſſe nuntiant, tantoque ſpatio abeſſe, quanto diſtaret civitas, quam oppugnare inſtituerat. Milites ad pugnam parati, rogare, ne moram rebus injiceret,

ſed

τὴν ταχίστην ἄγειν· ὁ δὲ Ἰάσων ἐπὶ τὴν πόλιν προσβαλὼν ἀδοκήτως ἐκράτησε, μηδενὸς προγνόντος μή τε τῶν νικώντων, μή τε τῶν νικωμένων.

β' Ἰάσων Θετταλὸς ἀπαιτούμενος ἀπὸ τῶν μισθοφόρων ἀργύριον, οὐκ ἔχων, εἰσέδραμε πρὸς τὴν μητέρα ὡς διωκόμενος ὑπὸ τῶν στρατιωτῶν ἀφ' ὧν δύο καὶ τρεῖς αὐτῷ 4 συνέπεσον, ὡς διώκοντες. ἡ μήτηρ, πολυχρήματος γὰρ ἦν, τοὺς μισθοὺς ὑπὲρ αὐτοῦ διέλυσεν.

γ' Ἰάσων πολέμῳ νικήσας ἔφη πρὸς τὴν μητέρα τοὺς Διοσκούρους φανερωτάτους αὐτῷ γενέσθαι συμμάχους. καὶ διὰ τοῦτο εὔξασθαι, νικήσας ξενίσαι τοὺς θεούς· κεκληκέναι δὲ ἐπὶ τὴν εὐχὴν τοὺς ἡγεμόνας τοῦ στρατεύματος, καὶ λοχαγοὺς, καὶ ταξιάρχους, καὶ τοὺς ἐν τέλει πάντας· ἡ δὲ πιστεύσασα ὅσον εἶχε κόσμον ἐκπωμάτων, κρατήρων, τραπεζῶν, ἀργύρου, χρυσοῦ, πάντα ἔπεμψεν· ὁ δὲ πολλῶν χρημάτων κύριος γενόμενος, τὸν μισθὸν ἀπέδωκε τοῖς μισθοφόροις.

δ' Ἰάσων πόλιν πλουτοῦσαν ἑλὼν, πολλὰ καὶ λαμπρὰ λάφυρα κομίζων, ἔπεμψε πρὸς τὴν μητέρα κελεύων πέμψαι

4 Συνεισέπεσον. Caſ.

ſed quam primum ſe adverſus hoſtes ducat. Jaſon ad urbem copiis adductis, et irruptione facta, præter omnium exſpectationem ea potitus eſt, nemine præſciente neque ex victoribus neque ex victis.

2 Jaſon Theſſalus cum ſtipendium ab eo mercenarii flagitarent, neque eſſet ſolvendo, cucurrit ad matrem [illegible] quaſi perſequentibus militibus: quorum duo tres[illegible] veluti perſequentes eum, ſimul irruebant. Mater, quæ multis pecuniis abundabat, mercedem pro eo diſſolvit.

3 Jaſon, cum bellum dextre confeciſſet, dixit ad matrem, Dioſcuros manifeſtiſſimum ſibi auxilium præſtitiſſe, et ob eam cauſſam voviſſe ſe poſt victoriam deos hoſpitio recepturum. Vocaſſe autem ad convivium duces exercitus, et tribunos militum et centuriones, omnesque qui aliquam dignitatem gererent. Illa fidem habens ejus verbis, quicquid habebat ornatus, poculorum, craterum, menſarum, vaſorum ex argento et auro, omnia miſit. Qui magnam pecuniam aſſecutus, ſalarium mercenariis perſolvit.

4 Jaſon capta urbe pecuniis affluente multa ſplendidaque ſpolia conſecutus miſit ad matrem, omnes famulas

ψαι [5] θεραπαίνας, ὅσαι ποικίλης καὶ πολυτελοῦς ἐσθῆτος ἐμπειρίαν καὶ τέχνην εἶχον, ὅπως ἐπιλέξαιτο αὐτῇ τὰ κάλλιστα· ἡ δὲ πάσας ὅσας εἶχε θεραπαίνας ἔπεμψεν ἐπὶ τὴν ἐκλογὴν τῶν ἐσθήτων. Ἰάσων συγκλείσας αὐτὰς, λύτρα ὑπὲρ αὐτῶν ᾔτησε τὴν μητέρα.

ε´ Ἰάσων πρὸς τὴν μητέρα ἐν τοῖς ἱστῶσι τῆς ταλασιουργίας τῶν θεραπαινῶν [6] ἐπιμένειν εἰσελθὼν μετὰ ἑνὸς τῶν ἀδελφῶν ὡς συμβούλῳ χρησόμενος περὶ τῶν ἀναγκαίων τῆς ἀρχῆς, μεταστῆναι ταύτας ἐκέλευσε· δορυφόροις μὲν δὴ [7] συντεταγμένος ἦν ἀπάγειν ἁπάσας. αὐτὸς δὲ μετὰ μακρὰν ὁμιλίαν ἐξιὼν, μειδιῶν τῇ μητρὶ προσέταξε περὶ τῶν θεραπαινῶν ἀργύριον αὐτῷ πέμψαι.

ς´ Ἰάσων ἀδελφὸν εἶχε Μηριόνην ἄγαν πλουτοῦντα, φιλάργυρον, μηδὲν αὐτῷ διδόντα· καὶ δή ποτε παιδίου γεννηθέντος αὐτῷ, μέλλων ὄνομα τιθέσθαι, τοὺς ἀρίστους Θετταλῶν καλέσας, παρεκάλεσε τὸν ἀδελφὸν προστῆναι τῆς ὑποδοχῆς. ὁ μὲν δὴ περὶ ταῦτα εἶχεν· Ἰάσων δὲ κατὰ πρόφασιν θήρας ἐξελθὼν εἰς Παγασὰς ἔνθα Μηριόνης κατῴκει, περι-

5 *Cant.* θεραπαίνας πάντας, pro πάσας. pro ἐπιλέξαιτο ſcribend. ἐπιλέξαιντο. *Caſaub.* 6 Ἐπιμενούσας. *Idem.* 7 Συντεταγμένον. Idem.

las mittere jubens, quotquot variæ, magnificæque veſtis experientiam et artem haberent, quæ ipſi pulcherrima quæque deligerent. Illa famulas omnes quotquot habuit, ad veſtes eligendas miſit. Jaſon iis conprehenſis, mercedem pro redimendis ipſis a matre poſtulavit.

5 Jaſon ad matrem, in textrina, ubi famulæ lanificio operam dare conſueverant, commorantem, ingreſſus cum uno ex fratribus, quaſi in conſilium eam de rebus imperii neceſſariis adhibiturus, eas removere juſſit. Satellitibus imperatum erat, ut omnes eas abducerent. Ipſe poſt longum colloquium egreſſus, ac ſubridens, matri præcepit, ut pro famulabus argentum ſibi mitteret.

6 Jaſon fratrem habuit Merionem, maximis opibus præditum, ſed tenacem, nihilque ipſi largientem. Qui puero ſibi procreato, ad imponendum ei nomen principibns Theſſalorum convocatis, advocabat fratrem: ut primas in convivio parando partes ipſe ſuſciperet. Merione in his rebus occupato, Jaſon venationem præ ſe ferens, Pagaſas usque egreſſus eſt, ubi Meriones ſedem ac familiam habe-

περιςήσας τοὺς αἰχμοφόρους, βιασάμενος τοὺς οἰκονόμους, εἴκοσιν ἀργυρίου τάλαντα λαβὼν, μετὰ σπουδῆς ἐπὶ τὸ δεῖπνον ἦλθε, καὶ τῷ ἀδελφῷ σπονδῶν κατάρχειν ἐπέτρεψεν καὶ κύριον αὐτὸν εἶναι τῆς θέσεως τοῦ ὀνόματος τοῦ παιδίου. Μηριόνης ἀγγελίαν τοῦ πεπορθῆσθαι τὴν οἰκείαν δεξάμενος, τὸ ὄνομα ἔθετο τῷ παιδίῳ Πορθάονα.

ζ Ἰάσων τὸν ἀδελφὸν Πολύδωρον ἤγαγεν ἐπὶ πόλιν ἁλίσκεσθαι μέλλουσαν, λαφυροπώλην γενησόμενον· ἐπεὶ δὲ ἦν ὥρα λουτροῦ, παρεκάλεσε τὸν ἀδελφὸν, σφοδρῶς αὐτοῦ τὸ σῶμα τρίψαι, καὶ διαγυμνάσαι. ὁ μὲν ἐπειρᾶτο τρίβειν ἐντόνως. Ἰάσων δὲ ὡς ἐνοχλούμενος ὑπὸ τοῦ δακτυλίου παρεκάλεσεν αὐτὸν παρὰ τὴν τρίψιν ἀποθέσθαι. Πολύδωρος δὲ ἐξελὼν τῆς χειρὸς ἀπέδωκεν ἀνδρὶ πιςῷ τῶν παρόντων. τούτῳ δὲ ἦν ὥρα προσεγκείμενον, δραμεῖν πρὸς τὴν γυναῖκα Πολυδώρου, καὶ τὸν δόντα τὸ δακτύλιον, ἀντὶ δέκα τάλαντα χρυσίου λαβεῖν παρ᾽ αὐτῆς. ἡ δὲ τῷ δακτυλίῳ τοῦ ἀνδρὸς πιςεύσασα, παραχρῆμα ἔδωκε τὸ χρυσίον. ὡς δὲ ἐπανῆλθεν ὁ τὸ δακτύλιον παρὰ Πολυδώρου λαβὼν, τότε Ἰάσων τριβόμενος ἐπαύσατο.

ΚΕΦ. Β.

habebat: milites haſtigeros circumdedit, vimque diſpenſatoribus adhibuit: et abreptis viginti argenti talentis, ſummo ſtudio ad cœnam rediit, ac fratri litationum principatum conceſſit, eique poteſtatem nomen puero indendi dedit. Meriones cum domum vaſtatam eſſe a nuntiis accepiſſet, nomen impoſuit infanti Porthaon, quod eſt vaſtator.

7 Jaſon fratrem Polydorum ad civitatem jam capiendam adduxit, ut ſpolia divenderet: cumque tempus eſſet balnei, fratrem monebat, ut vehementer ſibi corpus fricaret et exerceret. Qui cum rite et apte fricare conaretur, Jaſon ſimulans annulum quem frater digito geſtabat, ſibi moleſtum eſſe, eum inter fricandum juſſit deponere. Polydorus abſtractum e manu, viro cuidam fido ex iis qui forte aderant, conſervandum dedit. Huic autem injunctum erat, ut feſtinanter ad uxorem Polydori curreret: datoque annulo, decem auri talenta ab ea poſtularet: illa mariti annulo fidem habens, confeſtim aurum dedit, cumque is, qui annulum a Polydoro acceperat, rediiſſet, tum demum Jaſon fricari deſiit.

ψαι 5 θεραπαίνας, ὅσαι ποικίλης καὶ πολυτελοῦς ἐσθῆτος ἐμπειρίαν καὶ τέχνην εἶχον, ὅπως ἐπιλέξαιτο αὐτῇ τὰ κάλλιστα· ἡ δὲ πάσας ὅσας εἶχε θεραπαίνας ἔπεμψεν ἐπὶ τὴν ἐκλογὴν τῶν ἐσθήτων. Ἰάσων συγκλείσας αὐτὰς, λύτρα ὑπὲρ αὐτῶν ᾔτησε τὴν μητέρα.

ε΄ Ἰάσων πρὸς τὴν μητέρα ἐν τοῖς ἱστῶσι τῆς ταλασιουργίας τῶν θεραπαινῶν 6 ἐπιμένειν εἰσελθὼν μετὰ ἑνὸς τῶν ἀδελφῶν ὡς συμβούλῳ χρησόμενος περὶ τῶν ἀναγκαίων τῆς ἀρχῆς, μεταστῆναι ταύτας ἐκέλευσε· δορυφόροις μὲν δὴ 7 συντεταγμένος ἦν ἀπάγειν ἁπάσας. αὐτὸς δὲ μετὰ μακρὰν ὁμιλίαν ἐξιὼν, μειδιῶν τῇ μητρὶ προσέταξε περὶ τῶν θεραπαινῶν ἀργύριον αὐτῷ πέμψαι.

ϛ΄ Ἰάσων ἀδελφὸν εἶχε Μηριόνην ἄγαν πλουτοῦντα, φιλάργυρον, μηδὲν αὐτῷ διδόντα· καὶ δή ποτε παιδίου γεννηθέντος αὐτῷ, μέλλων ὄνομα τίθεσθαι, τοὺς ἀρίστους Θετταλῶν καλέσας, παρεκάλεσε τὸν ἀδελφὸν προστῆναι τῆς ὑποδοχῆς. ὁ μὲν δὴ περὶ ταῦτα εἶχεν· Ἰάσων δὲ κατὰ πρόφασιν θήρας ἐξελθὼν εἰς Παγασὰς ἔνθα Μηριόνης κατῴκει, περι-

5 *Cant.* θεραπαίνας πάντας, pro πάσας. pro ἐπιλέξαιτο ſcribend. ἐπιλέξαιντο. *Caſaub.* 6 Ἐπιμένουσαν. *Idem.*
7 Συντεταγμένον. Idem.

las mittere jubens, quotquot variæ, magnificæque veſtis experientiam et artem haberent, quæ ipſi pulcherrima quæque deligerent. Illa famulas omnes quotquot habuit, ad veſtes eligendas miſit. Jaſon iis conprehenſis, mercedem pro redimendis ipſis a matre poſtulavit.

5 Jaſon ad matrem, in textrina, ubi famulæ lanificio operam dare conſueverant, commorantem, ingreſſus cum uno ex fratribus, quaſi in conſilium eam de rebus imperii neceſſariis adhibiturus, eas removere juſſit. Satellitibus imperatum erat, ut omnes eas abducerent. Ipſe poſt longum colloquium egreſſus, ac ſubridens, matri præcepit, ut pro famulabus argentum ſibi mitteret.

6 Jaſon fratrem habuit Merionem, maximis opibus præditum, ſed tenacem, nihilque ipſi largientem. Qui puero ſibi procreato, ad imponendum ei nomen principibns Theſſalorum convocatis, advocabat fratrem: ut primas in convivio parando partes ipſe ſuſciperet. Merione in his rebus occupato, Jaſon venationem præ ſe ferens, Pagaſas usque egreſſus eſt, ubi Meriones ſedem ac familiam habe-

περιστήσας τοὺς αἰχμοφόρους, βιασάμενος τοὺς οἰκονόμους, εἴκοσιν ἀργυρίου τάλαντα λαβὼν, μετὰ σπουδῆς ἐπὶ τὸ δεῖπνον ἦλθε, καὶ τῷ ἀδελφῷ σπονδῶν κατάρχειν ἐπέτρεψεν καὶ κύριον αὐτὸν εἶναι τῆς θέσεως τοῦ ὀνόματος τοῦ παιδίου. Μηριόνης ἀγγελίαν τοῦ πεπορθῆσθαι τὴν οἰκίαν δεξάμενος, τὸ ὄνομα ἔθετο τῷ παιδίῳ Πορθάονα.

ζ' Ἰάσων τὸν ἀδελφὸν Πολύδωρον ἤγαγεν ἐπὶ πόλιν ἁλίσκεσθαι μέλλουσαν, λαφυροπώλην γενησόμενον· ἐπεὶ δὲ ἦν ὥρα λουτροῦ, παρεκάλεσε τὸν ἀδελφὸν, σφοδρῶς αὐτοῦ τὸ σῶμα τρίψαι, καὶ διαγυμνάσαι. ὁ μὲν ἐπειρᾶτο τρίβειν εὐτόνως. Ἰάσων δὲ ὡς ἐνοχλούμενος ὑπὸ τοῦ δακτυλίου παρεκάλεσεν αὐτὸν παρὰ τὴν τρίψιν ἀποθέσθαι. Πολύδωρος δὲ ἐξελὼν τῆς χειρὸς ἀπέδωκεν ἀνδρὶ πιστῷ τῶν παρόντων. τούτῳ δὲ ἦν ἄρα προσεγκείμενον, δραμεῖν πρὸς τὴν γυναῖκα Πολυδώρου, καὶ τὸν δόντα τὸ δακτύλιον, ἀντὶ δέκα τάλαντα χρυσίου λαβεῖν παρ' αὐτῆς. ἡ δὲ τῷ δακτυλίῳ τοῦ ἀνδρὸς πιστεύσασα, παραχρῆμα ἔδωκε τὸ χρυσίον. ὡς δὲ ἐπανῆλθεν ὁ τὸ δακτύλιον παρὰ Πολυδώρου λαβὼν, τότε Ἰάσων τριβόμενος ἐπαύσατο.

ΚΕΦ. Β.

habebat: milites haſtigeros circumdedit, vimque diſpenſatoribus adhibuit: et abreptis viginti argenti talentis, ſummo ſtudio ad cœnam rediit, ac fratri litationum principatum conceſſit, eique poteſtatem nomen puero indendi dedit. Meriones cum domum vaſtatam eſſe a nuntiis accepiſſet, nomen impoſuit infanti Porthaon, quod eſt vaſtator.

7 Jaſon fratrem Polydorum ad civitatem jam capiendam adduxit, ut ſpolia divenderet: cumque tempus eſſet balnei, fratrem monebat, ut vehementer ſibi corpus fricaret et exerceret. Qui cum rite et apte fricare conaretur, Jaſon ſimulans annulum quem frater digito geſtabat, ſibi moleſtum eſſe, eum inter fricandum juſſit deponere. Polydorus abſtractum e manu, viro cuidam fido ex iis qui forte aderant, conſervandum dedit. Huic autem injunctum erat, ut feſtinanter ad uxorem Polydori curreret: datoque annulo, decem auri talenta ab ea poſtularet: illa mariti annulo fidem habens, confeſtim aurum dedit, cumque is, qui annulum a Polydoro acceperat, rediiſſet, tum demum Jaſon fricari deſiit.

ΚΕΦ. Β.

ΑΛΕΞΑΝΔΡΟΣ ὁ ΦΕΡΑΙΟΣ.

Ἀλέξανδρος Πάνορμον πολιορκοῦντος Λεωσθένους πρὸς ἁπάσας τὰς Ἀττικὰς ναῦς φανερῶς ναυμαχεῖν οὐ θαῤῥῶν, διέπεμψεν 8 ἐπὶ Ἀκατίου νύκτωρ πρὸς τοὺς ἔνδον στρατιώτας, ὅπως εἴ τινες τῶν νεῶν ἐκλίποιεν τὴν φυλακὴν πρὸς τῷ πρότερον αἰρομένῳ πυρσῷ, δεύτερον ἀνάσχοιεν τοῖς ἐν Μαγνησίᾳ, κἀκεῖνοι τοῖς ἐν Παγασαῖς. Λεωσθένης μὲν τρεῖς τριήρεις διέπεμψε, τὴν μὲν ἐπὶ Σάμου, τὴν δὲ ἐπὶ Θάσου, τὴν δὲ ἐπὶ Ἑλλησπόντου. οἱ δὲ πολιορκούμενοι τοὺς πυρσοὺς ἀνέσχον. Ἀλέξανδρος ἐπιπλεύσας ἄφνω, καὶ προσπεσὼν ἐνίκησε τῇ ναυμαχίᾳ τοὺς Ἀθηναίους.

β' Ἀλέξανδρος μετὰ τὴν ἐν Πεπαρήθῳ ναυμαχίαν, ἐλπίσας λήψεσθαι τοὺς Ἀθηναίους, ἀφυλάκτως μετὰ νίκην καὶ ἀμελῶς ἔχοντας· συνέταξε τοῖς ἐπὶ τῶν νεῶν διὰ τάχους προσπλεῦσαι τῷ Δείγματι τοῦ Πειραιῶς, καὶ ἀπὸ τῶν τραπεζῶν ἁρπάσαι τὰ χρήματα. τῶν δὲ προσπλεόντων, οἱ

8 Quidam Codd. ἐπὶ Ἀκάνθιον non probo, ſed ἐπὶ ἀκατίου potius. *Caſaub.* Ἐπὶ ἀκατίου. *Cant.*

CAP. II.

ALEXANDER PHERÆUS.

Alexander, Panormum oppugnante Leoſthene, adverſus omnes naves Atticas manifeſto prælio navali non audens contendere, ſub noctem ad milites qui erant in urbe in actuario minuto quendam miſit, qui moneret, ut ſi quæ naves ſtationem vigiliamque relinquerent, præter ignem prius ſublatum, tollerent alium iis qui Magneſiæ commorabantur, atque illi rurſus iis qui Pagaſis. Leoſthenes tres triremes dimiſit, unam verſus Samum, alteram ad Thaſum, tertiam ad Helleſpontum. Qui oppugnabantur, igne ſignum dabant. Aexander appellens, de improviſo impetu facto, navali pugna Athenienſes ſuperavit.

2 Alexander poſt commiſſam in Peparetho navalem pugnam, in ſpem adductus, ſe Athenienſes capere poſſe, ſine cuſtodia, vacuosque cura poſt victoriam agentes, mandavit iis qui in navibus erant, ut celeriter in Piræeum ad Digma naves appellerent, eque menſis pecunias diriperent. Quibus

οἱ Ἀθηναῖοι φιλίας τὰς ναῦς εἶναι νομίσαντες ἀπεσκόπουν. οἱ δὲ ἀποβάντες τὸ πολεμικὸν ἐσήμηναν, καὶ σπασάμενοι τὰς μαχαίρας ὥρμων ἐπὶ τὰς τραπέζας· οἱ μὲν Ἀθηναῖοι σπουδῇ ἔθεον ἐς τὸ ἄστυ, τοῖς στρατηγοῖς ἀγγελοῦντες τὴν κατάληψιν τοῦ Πειραιῶς· οἱ δὲ τὰ χρήματα ἁρπάσαντες, ἀπέπλευσαν.

ΚΕΦ. Γ.

ΑΘΗΝΟΚΛΗΣ.

Ἀθηνοκλῆς πολιορκούμενος, πρὸς τοὺς κριοὺς, καὶ τὰ τρύπανα, δοκοὺς μολίβδου ποιήσας, πλαγίας παρέτεινεν ἐπὶ τὰς ἐπάλξεις, αἷς ἐμπιπτόντων τῶν πολεμίων τὰ μηχανήματα συνετρίβετο. οἱ δὲ ἐτεχνάσαντο ἄλλο μηχάνημα προσάγειν, ὅπερ τὸ ἄκρον τῆς δοκοῦ πλῆξαν, τὴν δοκὸν ἀπὸ τῶν ἐπάλξεων πίπτειν ὀρθὴν ἐβιάζετο, μηδένα βλάπτουσαν τῶν ἐπὶ γῆς ἑστηκότων· πάλιν οἱ μὲν πολέμιοι χελώνας προσάγοντες, τὰ τείχη συνέσειον. οἱ δὲ ἀπὸ τῶν τειχῶν μόλιβδον τηκτὸν ἐν χαλκείοις προσθοῦντες κατέχεον, ὑφ᾽ οὗ συνέβαινε τὴν χελώνην διαλύεσθαι. οἱ δὲ πολέμιοι μετὰ τῆς χελώνης ἐκ πύργων προσαγομένων ὄξος ἐπέχεον, καὶ

bus adnavigantibus Athenienſes amicas naves eſſe rati, nullam earum rationem ducebant. Illi egreſſi claſſicum cecinerunt, diſtrictiſque gladiis in menſas impreſſionem fecerunt. Athenienſes ſummo ſtudio in urbem currebant, nuntiaturi ducibus Piræei occupationem. Interim illi pecuniis ablatis diſceſſerunt.

CAP. III.

ATHENOCLES.

Athenocles oppugnatus, adverſus arietes ac terebra, trabes plumbeas comparavit, eaſque transverſas in propugnaculis oppoſuit: Quibus irruentes hoſtium machinæ confringebantur. At illi tormentum aliud adducere machinabantur, quod extremitate trabis concuſſa, eam per vim de propugnaculis rectam dejiceret, ita ut neminem in terra conſiſtentem læderet. Rurſus hoſtes teſtudinibus admotis quaſſabant mœnia. Illi e mœnibus liquefactum plumbum æreis vaſis deſuper effundebant, quo teſtudo diſſoluta eſt. Hoſtes ope teſtudinis de turribus dejectis acetum

ξάνδρου βασιλέως ὕπαρχος Ἰωνίας, τοὺς ἄνδρας παρὰ τῶν Ἐφεσίων ἐξαιτῶν, οὐ λαβὼν, φρουρὰν εἰς τὴν πόλιν εἰσαγαγὼν, τοὺς τρεῖς ἄνδρας ἐξαρπάσας ἐν κλοιῷ δεδεμένους ἐς τὴν ἄκραν τὴν ἐν Σάρδεσιν ἔπεμψεν· οἱ δὲ ἐπὶ μακρὸν ταλαιπωρηθέντες, ἔλυσαν αὐτοὺς, φίλου ῥίνην εἰσπέμψαντος. ᾗ χρησάμενοι τὰ δεσμὰ διέσπασαν, καὶ οἰκετικαῖς ἐσθῆσι μετασκευασάμενοι διὰ νυκτὸς ὡς οἰκέται τοῦ δεσμωτηρίου προελθόντες σχοινίῳ καὶ ἱματίοις κατὰ μῆκος παρασχιζομένοις, συνδήσαντες αὐτοὺς ἀπὸ τῶν τειχῶν 40 καθῆκαν. ἐκπεσὼν ἀπὸ ὕψους ὁ εἷς αὐτῶν παραχρῆμα χωλωθεὶς ἄμφω πόδε, ληφθεὶς ὑπὸ Λυδῶν ὡς Ἀλέξανδρον ἐπέμφθη, δίκας δώσων. Ἀλεξάνδρου ἐν Βαβυλῶνι τελευτήσαντος, εἰς Ἔφεσον ὑπὸ Περδίκκου κατεπέμφθη, κριθησόμενος κατὰ τοὺς νόμους. Ἀναξαγόρας δὲ καὶ Κόδρος διαδράντες ἐς Ἀθήνας ἐσώθησαν· τὴν δὲ Ἀλεξάνδρου τελευτὴν ἀκου-

40 *Fl.* καθῆσαν. Κόδρος μὲν ἐκπεσὼν ἀπὸ ὕψους παρ. Sed ſcribe cum *Interprete*: καθῆκαν. Διόδωρος μὲν ἐκπεσὼν ἀπὸ ὕψους, παρ. *Maſv.*

nus ab Alexandro rege præfectus Ioniæ, viros ab Epheſiis poſtulavit: cumque non impetraſſet, præſidium in urbem adduxit, et hos tres viros per vim rapuit, eosque ferreis catenis ligatos, in arcem Sardianorum miſit. Qui diu multumque cruciati, ſeipſos liberaverunt, accepta ab amico lima, cujus auxilio uſi, vincula diſſecuerunt: et ſervilibus veſtimentis induti, per noctem quaſi ſervi e carcere egreſſi, fune et veſtimentis pro longitudine diſſectis, ea conſtrinxerunt, ſeſeque de mœnibus demiſerunt. Diodorus ſubito decidens ex alto, claudusque factus, in eo loco remanſit: captusque a Lydis, ad Alexandrum miſſus eſt, ut ſupplicium dependeret. Cum autem Alexander Babylone ſummum diem obiiſſet, Epheſum a Perdicca miſſus eſt, ut ſecundum leges judicium ſubiret. Anaxagoras vero et Codrus diſcedentes, Athenas per-

ἀκούσαντες, εἰς Ἔφεσον ἐπανελθόντες, καὶ τὸν ἀδελφὸν Διόδωρον ἀνέσωσαν.

ΚΕΦ. Ν.
ΠΙΝΔΑΡΟΣ.

Κροίσου τοῦ Λυδοῦ πολιορκοῦντος Ἔφεσον, ἐπειδὴ τῶν πύργων τὶ, ὁ προδότης κληθεὶς, ἔπεσε, καὶ τὸ δεινὸν τῆς ἁλώσεως ἐν ὀφθαλμοῖς ἦν, Πίνδαρος ὁ τυραννεύων τῆς πόλεως συνεβούλευσε τοῖς Ἐφεσίοις ἐκ τῶν πυλῶν καὶ τῶν τειχῶν θώμιγγας συνάψαι τοῖς κίοσι τοῦ ἱεροῦ τῆς Ἀρτέμιδος, ὥσπερ ἀνατιθέντας τῇ θεῷ τὴν πόλιν. Κροῖσος τιμῶν τὴν θεὸν, ἐφείσατο τῆς πόλεως, ὥσπερ ἀναθήματος, καὶ πρὸς τοὺς Ἐφεσίους ἐπὶ ἐλευθερίᾳ συνθήκας ἐποιήσατο.

ΚΕΦ. ΝΑ.
ΘΗΡΩΝ.

Θήρων Ἀκραγαντίνων δορυφόρους μὲν ἔχων ἐν ἀπορρήτῳ παρεσκευασμένους, χρημάτων δὲ οὐκ εὐπορῶν πρὸς τὰς μισθο-

pervenerunt: et audita morte Alexandri, revertentes Epheſum, etiam fratrem ſuum Diodorum liberaverunt.

CAP. L.
PINDARUS.

Crœſo Epheſum oppugnante, cum turris, quæ proditrix appellabatur, cecidiſſet, et periculum, quod ab expugnatione urbis imminebat, coram ob oculos cerneretur, Pindarus, qui imperium in urbe tenebat, conſilium Epheſiis dedit, ut per funes portas, mœniaque Dianæ templi columnis connecterent, atque urbem univerſam Deæ conſecrarent. Crœſus in honorem numinis, urbi quaſi ſacrato dono pepercit: et cum Epheſiis, permiſſa eis libertate, fœdus pepigit.

CAP. LI.
THERON.

Theron Agrigentinorum mercenarios in occulto paratos et inſtructos habens, cum ei pecuniæ ad ſtipendia perſol-

μισθοθεσίας, τῆς πόλεως Ἀθηνᾶς μεγαλοπρεπῆ ναὸν ἐγαιρούσης, ἐπειδὴ τὰ χρήματα ἐν ταῖς ἐργασίαις διεκέκλεπτο, ἔπεισεν ἀθρόαν ἔκδοσιν ποιήσασθαι τοῦ νεὼ, καὶ λαβεῖν ἐγγυητὰς ἀξιοχρέους, καὶ ὁρίσαι προθεσμίαν, ἐν ᾗ τὸ ἱερὸν συντελεσθήσεται· ἔδοξεν ὀρθῶς λέγειν, καὶ ἡ πόλις πεισθεῖσα, τὸ ἔργον ἐξέδωκεν. ἠργολαβεῖτο Γόργος ὁ Θήρωνος. ἐπεὶ δὲ τὸ τῆς πόλεως ἀργύριον ἔλαβεν, οὔτε τέκτονας, οὔτε λιθοξόους, οὔτε τοὺς ἄλλους δημιουργοὺς ἐμισθώσατο. ἀλλὰ κατὰ τῆς δούσης πόλεως μισθὸν τοῖς δορυφόροις ἔδωκε· καὶ τοῖς ἰδίοις χρήμασιν Ἀκραγαντῖνοι ὑπὸ Θήρωνος ἐτυραννεύθησαν.

ΚΕΦ. ΝΒ.

ΣΙΣΥΦΟΣ.

Σίσυφος, Αὐτολύκου τὰς βόας αὐτοῦ κλέπτοντος πολλάκις, ταῖς χηλαῖς τῶν βοῶν ἐνέπηξε μόλυβδον, ᾧ χαρακτῆρα ἐνήρμοσε γράμματα ἐκτυποῦντα, Αὐτόλυκος ἔκλεψεν.

ſolvenda non ſuppeterent, et civitas Minervæ templum magnificentiſſimum exſtrueret, cum pecuniæ, quæ opificibus diſtribuendæ erant, interverterentur, ſuaſit, ut ſummatim opus totum ad exſtruendum locarent, in eamque rem vades dignos acciperent, certumque tempus definirent, quo templi ædificationem abſolvi vellent. Viſus eſt non inutilem ſententiam adferre: et ei civitas aſſenſa, opus perficiendum locavit. Manceps factus eſt Gorgus, Theronis filius. Poſtquam igitur argentum civitatis acceperat, neque architectos, neque lapicidas, neque alios opifices conducebat, ſed contra civitatem, quæ ipſi pecuniam dederat, ſatellitibus mercedem dabat, et Agrigentinos ſuis pecuniis in tyrannidem redegit.

CAP. LII.

SISYPHUS.

Siſyphus, Autolyco boves ejus ſæpius clam abducente, plumbum eorum ungulis adaptavit, in eoque quaſi characterem, has literas impreſſit, Autolycus furatus eſt.

ψειν. ὁ μὲν δὴ Αὐτόλυκος νύκτωρ ἀπήλαυε τὰς βόας· ὁ δὲ Σίσυφος μεθ' ἡμέραν τοῖς γείτοσι γεωργοῖς ἔδειξε τὰ ἴχνη τῶν βοῶν κατηγορῦντα τὴν Αὐτολύκυ κλοπήν.

ΚΕΦ. ΝΓ.

ΑΓΝΩΝ.

Ἄγνων Ἀττικὴν ἀποικίαν ἤγαγεν οἰκίσαι βυλόμενος τὰς καλυμένας θ' ὁδὺς ἐπὶ τῷ Στρυμῶνι· ἦν γὰρ καὶ λόγιον Ἀθηναίοις τοιόνδε.

Τίπτε νέως κτίσαι πολύπυν μενεαίνετε χῶρον
Κῦροι Ἀθηναίων; χαλεπὸν δὲ θεῶν ἄτερ ὔμμιν.
Οὐ γὰρ θέσφατόν ἐστι, πρὶν ἂν κομίσητ' ἀπὸ Τροίης
Ῥήσυ ἀνευρόντες καλάμην, πατρίῃ δὲ ἀρύρῃ.
Κρύψητ' ἐναγέως τότε δ' ἂν τότε κῦδος ἄροισθε.

Ταῦτα τῦ Θεῦ χρήσαντος, ὁ ςρατηγὸς Ἄγνων ἐς Τροίαν ἔπεμψεν ἄνδρας, οἱ, τὸ Ῥήσυ σῶμα νύκτωρ ἀνορύξαντες, ἀνείλοντο τὰ ὀςᾶ· καὶ καταθέντες τὰ ὀςᾶ ἐς χλαμύδα πορφυρᾶν, κομίζυσιν ἐπὶ τὸν Στρυμῶνα. οἱ μὲν δὴ κατέχοντες

Autolycus ſub noctem boves abducebat. Siſyphus interdiu vicinis agricolis boum oſtendit veſtigia, quæ Autolyci furtum redarguerent.

CAP. LIII.

AGNON.

Agnon Atticam coloniam deduxit, ad inhabitandum eum locum ad Strymonem, qui novem viarum nomen habet. Erat enim oraculum apud Athenienſes ejusmodi:

Multiviam noviter quid vultis condere terram,
Palladii cives, ſine diis res ardua vobis
Eſt: nec id ante licet, quam Troja ex urbe feratis
Inventam Rheſi ſtipulam, terræque paternæ
Mandetis ſancte, tum tum decus inde legetis.

Cum hæc Deus prædidiſſet, Dux Agnon viros aliquot Trojam miſit, qui Rheſi monumento per noctem effoſſo, ejus oſſa ſuſtulerunt, et in chlamydem purpuream oſſa conjecta, ad Strymonem deportarunt. Barbari terram eam

χοντες βάρβαροι τὴν χώραν διαβαίνειν τὸν ποταμὸν ἐκώλυον. Ἄγνων δὲ σπονδὰς ποιησάμενος [41] τρεῖς ἡμέρας, ἀπέπεμψεν τοὺς βαρβάρους, καὶ διὰ τῆς νυκτὸς τὸν Στρυμῶνα μετὰ τοῦ στρατεύματος διελθὼν, τά τε ὀστᾶ τοῦ Ῥήσου κατώρυξε παρὰ τὸν ποταμόν· καὶ τὸ χωρίον ἀποταφρεύσας ἐτείχιζε πρὸς τὴν σελήνην· ἡμέρας δὲ οὐκ εἰργάζοντο. καὶ δὴ πᾶν ἔργον ἐξετελέσθη τριῶν νυκτῶν. ὡς δὲ οἱ βάρβαροι μετὰ τρεῖς ἡμέρας ἐλθόντες τὸ τεῖχος εἶδον ἐγηγερμένον, ἐνεκάλουν Ἄγνωνι ὡς παραβάντι τὰς σπονδάς· ὁ δὲ οὐδὲν ἔφη ἀδικεῖν· σπείσασθαι γὰρ τρεῖς ἡμέρας οὐ τρεῖς νύκτας. τούτῳ τῷ τρόπῳ τὰς θ′ ὁδοὺς Ἄγνων οἰκίσας, τὴν πόλιν Ἀμφίπολιν ἐκάλεσεν.

ΚΕΦ. ΝΔ.

ΑΜΦΙΡΕΤΟΣ.

Ἀμφίρετος Ἀκάνθιος λῃσταῖς ἁλοὺς ἐς Λῆμνον ἀχθεὶς ἐν δεσμοῖς ἐφρουρεῖτο, τῶν λῃστῶν λύτρα μεγάλα ἐλπιζόντων. ὁ δὲ τροφῆς ἀποσχόμενος μίλτον ὕδατι ἁλμυρῷ μίξας ἔπιεν· ἐπεὶ δὲ διεχώρησεν, οἱ λῃσταὶ νομίσαντες αἵματος

41 Quidam Codd. *Caſaub.* ἐς τρεῖς ἡ.

eam tenentes, flumen tranſire prohibebant. Agnon factis trium dierum induciis, barbaros amandavit: noctuque Strymonem cum exercitu trajecit, et oſſa Rheſi ad flumen defodit: eumque locum foſſa ac vallo munivit ad Lunam: interdiu autem ab opere ceſſabant: totaque munitio tribus noctibus perfecta eſt. Barbari poſt triduum reverſi, cum murum ædificatum cernerent, Agnonem violati fœderis accuſarunt. At ille, non, inquit, ſe injuriam facere. Conveniſſe enim inter ipſos de tribus diebus, ſe vero tribus noctibus murum erexiſſe. Hoc pacto Agnon Novem vias condidit, urbemque Amphipolim appellavit.

CAP. LIV.

AMPHIRETUS.

Amphiretus Acanthius captus a piratis, in Lemnum deductus, in vinculis conſervabatur, prædonibus magnam pecuniæ vim pro redemtione ſperantibus. Ille a cibo abſtinens, minium aqua ſalſa commixtum bibit. Cum

τος ῥύσιν αὐτῷ γεγονέναι, τῶν δεσμῶν ἀνῆκαν, ὡς μὴ διὰ τὴν νόσον ἀποθάνοι· καὶ δὴ τῶν λύτρων ἀπολεμένων. ὁ δὲ λυθεὶς νύκτωρ ἀποδρὰς, ἁλιάδος ἐπιβὰς, εἰς 42 Ἀκάνθας διεσώθη.

Τέλος τοῦ ϛʹ βιβλίου τῶν Πολυαίνου Στρατηγημάτων.

42 *Caſaub.* in margine γρ. Ἄκανθον.

igitur per alvum exiiſſet, prædones exiſtiinantes eum in ſanguinis fluxum incidiſſe, vinculis ſolverunt, ne morbo moreretur, atque ita ipſis pecuniæ ſperatæ perirent. Ille ſolutus noctu aufugit, conſcenſaque navi piſcatoria Acanthum pervenit.

Τάδε ἔνεστιν ἐν τῷ ἑβδόμῳ τῶν

ΠΟΛΥΑΙΝΟΥ

ΣΤΡΑΤΗΓΗΜΑΤΩΝ.

HAEC INSUNT IN SEPTIMO LIBRO

POLYAENI

STRATEGEMATUM.

Διοκλῆς, Στρατήγημα	α	Diocles, Strateg.	1
Ἀλυάττης	β	Alyattes	2
Ψαμμήτιχος	α	Pſammetichus	1
Ἄμασις	α	Amaſis	1
Μίδας	α	Midas	1
Κῦρος	ι	Cyrus	10
Ἅρπαγος	α	Harpagus	1
Κροῖσος	β	Crœſus	2
Καμβύσης	α	Cambyſes	1
Οἰβάρης	α	Oebares	1
Δαρεῖος	ζ	Darius	7
Σιράκης	α	Siraces	1
Ζώπυρος	α	Zopyrus	1
Ὀρόντης	ε	Orontes	5
Ξέρξης	ε	Xerxes	5
Ἀρταξέρξης	β	Artaxerxes	2
Ὦχος	α	Ochus	1
Τισαφέρνης	β	Tiſſaphernes	2
Φαρνάβαζος	α	Pharnabazus	1
Γλὼς	α	Glos	1
Δατάμης	ζ	Datames	7
Κοσίγγας	α	Coſingas	1
Μαυσωλὸς	β	Mauſolus	2
Βόργης	α	Borges	1

Δρομιχέτης	α	Dromichetes	1
Ἀριοβαρζάνης	α	Ariobarzanes	1
Αὐτοφραδάτης	γ	Autophradates	3
Ἀρσάμης	β	Arſames	2
Μιθριδάτης	β	Mithridates	2
Μέμψις	α	Mempſis	1
Κερσοβλέπτης	α	Cerſobleptes	1
Σεύθης	α	Seuthes	1
Ἀρτάβαζος	γ	Artabazus	3
Ἀρυάνδης	α	Aryandes	1
Βρέννος	β	Brennus	2
Μυγδόνιος	α	Mygdonius	1
Παρισάδης	α	Pariſades	1
Σεύθης	α	Seuthes	1
Χήλης	α	Seiles	1
Βόρζος	α	Oborzus	1
Σουρήνας	α	Surenas	1
Κελτοὶ	α	Celtæ	1
Θρᾷκες	α	Thraces	1
Σκύθαι	β	Scythæ	2
Πέρσαι	α	Perſæ	1
Περσίδες	α	Perſides	1
Ταῦροι	α	Tauri	1
Τρωϊάδες	α	Troades	1
Σαλματίδες	α	Salmatides	1
Τυῤῥηνίδες	α	Tyrrhenides	1
Κελτοὶ	α	Celtæ	1

Τέλος τοῦ πίνακος.

ΠΟ-

ΠΟΛΥΑΙΝΟΥ ΣΤΡΑΤΗΓΗΜΑΤΩΝ.

βιβλίον ἕβδομον.

ΠΡΟΟΙΜΙΟΝ.

Καὶ τόδε ὑμῖν ἕβδομον βιβλίον ἱερώτατοι βασιλεῖς Ἀντωνῖνε καὶ Οὐῆρε προσφέρω τῶν Στρατηγημάτων, ἐν ᾧ καταμάθοιτε ἂν καὶ τὰς τῶν βαρβάρων γνώμας οὐ παντάπασιν ἀστρατηγήτους· ἀλλὰ καὶ παρ᾽ ἐκείνοις μηχανὴ καὶ δόλος καὶ ἀπάτη σπουδάζεται. ὥς τε αὐτοί τε ὑμῖν αὐτοῖς ἐν τῷ πολέμῳ, καὶ τοῖς ὑπὸ ὑμῶν πεμπομένοις πολεμάρχοις, ὀρθῶς ἂν παραγγέλλοιτε μὴ καταφρονεῖν ὡς ἀνοήτων, ἢ ἀδόλων. ἀλλὰ τοὐναντίον μηδὲν οὕτως αὐτῶν πεφυλάχθαι, ὡς τὸ δολερὸν, καὶ ἄπιστον, καὶ ἀπατηλὸν, [1] οἷς μᾶλλον ἀγγέλλεται .... τὸ βαρβαρικὸν, ἢ τοῖς ὅπλοις. ἄπιστον δὴ φυλακτή-

1 Vel *χαίρειν* vel *νικᾷν*. *Caſ.* Nihil deeſſe videtur, ſed pro *ἀγγέλλεται* ſcribendum *ἀγάλλεται*. *Maſv.*

POLYAENI STRATEGEMATUM

LIBER SEPTIMUS.

PROOEMIUM.

Etiam hunc ſeptimum Strategematum librum vobis dedico, ſanctiſſimi imperatores Antonine et Vere: in quo perſpicere poteſtis, etiam barbarorum animos non plane fuiſſe ad rem militarem incallidos. Sed apud ipſos quoque in machinas, dolos ac fraudes multum ſtudii conferri. Itaque non abs re facietis, ſi vobis ipſis in bello, iisque qui a vobis mittuntur, belli ducibus mandabitis, ne eos quaſi inſipientes et expertes doli contemnant: ſed e diverſo nihil in eis tam caveant, quam dolum, perfidiam et fraudem: quibus potius gaudent barbari, quam armis. Itaque nihil

λακτήριον, καὶ ἀνάλωτον ἔσω πρὸς αὐτοὺς ἀπιστία· μεθ' ἧς ἰσχὺν τῶν ὅπλων ἕξομεν, καὶ τὴν πρὸς αὐτοὺς τέχνην ὀξυτέραν μελετήσομεν, προμαθόντες αὐτῶν τὰς ἐννοίας τῶν στρατηγημάτων.

Τέλος τοῦ προοιμίου.

ΚΕΦ. Α.

ΔΗΙΟΚΗΣ.

[2] Δηϊόκης ὁ Μῆδος ἐπέθετο τῇ Μήδων ἀρχῇ ὧδε. Μῆδοι νομάδες ἦσαν, πόλιν οὐκ ἔχοντες, ἄνευ νόμου καὶ δίκης ἄγοντες καὶ φέροντες ἀλλήλους. Δηϊόκης ἐδίκαζε τοῖς γείτοσι, καὶ τὸ ἴσον ἔχειν αὐτοὺς ἐδίδασκεν· ἥσθησαν τῷ δικαστῇ, καὶ αὐτίκα κλέος ἦν ἐν Μήδοις αὐτοῦ, καὶ συνέθεον ἐπ' αὐτὸν, ὡς ἴσον δικαστήν. ἐπεὶ δὲ τῇ δόξῃ πάντας παρεστήσατο, [3] τὰς φρουρὰς κατασχίσας νύκτωρ αὐτὸς, καὶ λίθων πλήσας τὴν τύρσιν, ἔδειξε μεθ' ἡμέραν τοῖς Μήδοις, ὡς

2 Ita editum cum *Fl.* pro vulgato Δηϊοκλῆς, niſi quod in eo Δηϊοκῆς. *Maſv.* 3 *Fl.* οὐράς. τὰς θύρας vel θυρίδας. conj. *Caſ.* qui etiam pro τύρσιν, quod ſtatim ſequitur, mavult τύρσει.

hil eſt, quo facilius aut melius ſe tueri ac defendere ab iis poſſint, quam diffidentia: cum qua robur ac vires conjunctas habebimus, artemque adverſus eos efficaciorem uſurpabimus, ſi prius ſtrategematum, quibus utuntur conſilium ac vim cognoverimus.

CAP. I.

DIOCLES.

Diocles Medus hoc pacto Medorum tyrannidem occupavit. Medi ſparſim habitabant, nullamque civitatem habentes, ſine legibus ac judiciis vitam agebant: et agebant, rapiebantque ſeſe mutuo. Diocles vicinis jura dabat, eosque æqualitatem ſervare docebat. Eo delectabantur judice, cujus nomen ſtatim celebre apud Medos evaſit, factusque eſt ad eum concurſus, tanquam ad æquum judicem. Cum omnium benevolentiam ſibi fama et gloria conciliaſſet, noctu portas concidit, et lapidibus turrim implevit, et interdiu Medis oſtendit, quaſi eorum cauſſa

ὡς ταῦτα δι' αὐτοὺς παθὼν, καὶ κινδυνεύσας ἀποθανεῖν, ὅτι αὐτοῖς δικάζοιτο· τὸ πλῆθος ἠγανάκτησαν, καὶ ἀσφάλειαν αὐτῷ τοῦ σώματος ἐπεψηφίσαντο, χωρίον μὲν ἐνοικεῖν ὀχυρώτατον, τὴν ἐν Ἐκβατάνοις ἄκραν· φύλακας δὲ τοῦ σώματος, οὓς αὐτὸς αἱροῖτο· χορηγίαν δὲ τροφῶν συνέταξαν ἀπὸ τῶν ἱερῶν χρημάτων. ὁ δὲ ταύτην περιβαλλόμενος τὴν δορυφορίαν, καὶ πλείονας ἀεὶ προσλαμβάνων, ἀντὶ δικαστοῦ βασιλεὺς ἐγένετο.

ΚΕΦ. Β.
ΑΛΥΑΤΤΗΣ.

Ἀλυάττης Κιμμερίων ἐπιστρατευσάντων, ἀλλόκοτα καὶ θηριώδη σώματα ἐχόντων μετὰ τῆς ἄλλης δυνάμεως, καὶ τοὺς ἀλκιμωτάτους κύνας ἐπὶ τὴν μάχην ἐξήγαγεν· οἱ προσπλακέντες τοῖς βαρβάροις, ὡς θηρίοις, πολλοὺς μὲν αὐτῶν διέφθειραν, τοὺς δὲ λοιποὺς φεύγειν αἰσχρῶς [4] ἐβιάσαντο.

β' Ἀλυάττης Κολοφωνίους πολλὴν δύναμιν ἔχοντας ἀφελέσθαι βουλόμενος τοὺς ἵππους, συμμαχίαν πρὸς αὐτοὺς ἐποιήσατο, καὶ τὰς ἐκ τῶν [5] στρατιωτῶν ὠφελείας, ἀεὶ μείζονας

4 *Vulg.* ἐποιήσαντο. 5 Στρατειῶν. *Caſ.*

cauſſa hæc paſſus, et in mortis periculum adductus, quod inter eos jus diceret. Multitudo indignabatur, et ad corporis ſecuritatem decernebat ei locum munitiſſimum inhabitandum, arcem Ecbatanorum et corporis ſtipatores, quos ipſe delegiſſet, eique victum de ſacris pecuniis ſuppeditandum conſtituit. Hanc ille conſecutus ſtipatorum multitudinem, in dies his plures adjecit, et pro judice Rex factus eſt.

CAP. II.
ALYATTES.

Alyattes Cimmeriis, inuſitata ac belluina corporum magnitudine præditis, ſibi bellum inferentibus, cum reliquis copiis robuſtiſſimos etiam canes ad pugnam eduxit, qui barbaros quaſi belluas adorti, magnum eorum numerum confecerunt, et reliquos turpiter ſe fugæ mandare coëgerunt.

2 Alyattes, ut Colophonios, magnum exercitum habentes, equitatu ſpoliaret, ſocietatem cum eis conſtituit, ſemperque ex militibus equi-

νας ἔνεμε τοῖς ἱππεῦσι· τέλος δὲ ὁ μὲν ἐν Σάρδεσιν ἦν, λαμπρὰν ἀγορὰν αὐτοῖς παρασκευάζων, καὶ διπλῆν τὴν μισθοφορὰν ἑτοιμάζων· οἱ δὲ ἱππεῖς ἔξω τῆς πόλεως τὸ στρατόπεδον ἔχοντες, τοῖς ἱπποκόμοις παραδόντες τοὺς ἵππους εἴσω τειχῶν παρῆλθον, ἐπὶ τὴν διπλῆν μισθοφορὰν σπουδῇ θέοντες· Ἀλυάττης τὰ τείχη κλείσας, τοὺς ἰδίους ὁπλίτας περιστήσας, ἀπέκτεινε τοὺς ἱππεῖς ἅπαντας, καὶ τοὺς ἵππους αὐτῶν τοῖς ἰδίοις ὁπλίταις ἔδωκεν.

ΚΕΦ. Γ.
ΨΑΜΜΗΤΙΧΟΣ.

Ψαμμήτιχος, Τεμένθη τὸν Αἰγύπτου βασιλέα κατέλυσεν· ὁ μὲν θεὸς Ἄμμων χρωμένῳ Τεμένθει περὶ τῆς βασιλείας ἀνεῖλε φυλάξασθαι τοὺς ἀλεκτρυόνας· Ψαμμήτιχος δὲ Πήγρητα τὸν Κᾶρα συνόντα ἔχων, παρ' αὐτοῦ μαθὼν ὡς πρῶτοι Κᾶρες ἐπέθεντο τοῖς κράνεσι λόφους, συνῆκεν τοῦ λογίου, καὶ πολλοὺς Κᾶρας ξεναλογήσας εἰσήγαγεν ἐπὶ τὴν Μέμφιν. καὶ περὶ τὸ τῆς Ἴσιδος ἱερὸν [6] ἄσω τῶν βα-

6 Scribe,, ſi ſequeris Interpretem, ἔσω τῶν βασιλείων ἐστρατοπέδευσεν, ἃ ἀπ. *Caſ.*

equites majoribus amplioribusque muneribus affecit. Poſtremo Sardibus ſplendidum eis commeatum inſtruebat, et duplex ſtipendium apparabat. Equites extra civitatem caſtra habentes, equiſonibus equos tradiderunt, et confeſtim in urbem venerunt, ſummo ſtudio ad duplicatum ſtipendium feſtinantes. Alyattes clauſis portis, ſuis armatis eos circumdedit, et equites ad unum omnes interfecit, atque eorum equos ſuis armatis conceſſit.

CAP. III.
PSAMMETICHUS.

Pſammetichus Tementhen Ægypti regem ſuſtulit. Deus Ammon Tementhi oraculum conſulenti de regno reſponderat, caveret Gallos. Pſammetichus Pigrete Care familiariter utens, cum ab eo cognoviſſet, primos Cares galeis impoſuiſſe criſtas, oraculi mentem intellexit, et magnam Carum multitudinem conduxit, eosque duxit verſus Memphin, et juxta templum Iſidis caſtra poſuit in

βασιλείων ἀπέχει στάδια πέντε, συμβαλὼν μάχην ἐνίκησεν· ἀπὸ τῶν Καρῶν ἐκείνων μέρος τι τῆς Μέμφεως κέκληται Καρομεμφῖται.

ΚΕΦ. Δ.

ΑΜΑΣΙΣ.

Ἄμασις ἐν τῷ πρὸς Ἄραβας πολέμῳ, κατόπιν τῶν Αἰγυπτίων ἔθηκε τὰ τῶν θεῶν ἱδρύματα τῶν μάλιστα τιμωμένων παρ' αὐτοῖς· ἵν' οὕτως προθυμότερον κινδυνεύοιεν, νομίζοντες ἔχειν θεατὰς τοὺς θεοὺς, ἐκδότους δοῦναι τοῖς πολεμίοις οὐχ ὑπομένοντες.

ΚΕΦ. Ε.

ΜΙΔΑΣ.

Μίδας προσποιησάμενος τελετὴν ποιεῖν τοῖς μεγάλοις θεοῖς, νυκτὸς ἐξήγαγε τοὺς Φρύγας μετ' αὐλῶν καὶ τυμπάνων, καὶ κυμβάλων κρυπτὰ ἔχοντας ἐγχειρίδια. οἱ μὲν πολῖται τῶν οἰκιῶν ἐξῆλθον ἐπὶ τὴν θέαν· οἱ δὲ τυμπανίζοντες, καὶ κυμβαλίζοντες, τοὺς μὲν θεατὰς κατεφόνευσαν· τὰς δὲ οἰκίας αὐτῶν ἀνεωγμένας καταλαβόντες, Μίδαν τύραννον ἀνηγόρευσαν.

ΚΕΦ. ϛ.

in regia, quæ diſtabat ab urbe quinque ſtadia. Commiſſaque pugna, victoriam adeptus eſt. Ab his Caribus pars quædam Memphis Caromemphitæ dicta eſt.

CAP. IV.

AMASIS.

Amaſis in eo bello, quod adverſus Arabes habebat, a tergo Ægyptiorum conſtituit ſtatuas eorum Deorum, qui apud ipſos ſumma religione colebantur, ut hoc modo alacrius pericula ſubirent: arbitrantes ſe Deos habere ſpectatores, quos nequaquam hoſtibus prodere deberent.

CAP. V.

MIDAS.

Midas ſimulans ſe diis magnis rem divinam facturum, per noctem Phryges cum tibiis, tympanis, ac cymbalis eduxit, quibus pugiones occulte geſtandos dederat. Cives e domibus egrediebantur ad ſpectaculum. Illi tympana, cymbalaque pulſantes, ſpectatores trucidaverunt, et in ædes apertas impetu facto, Midam tyrannum conſtituerunt.

CAP. VI.

νας ἔνεμε τοῖς ἱππεῦσι· τέλος δὲ ὁ μὲν ἐν Σάρδεσιν ἦν, λαμπρὰν ἀγορὰν αὐτοῖς παρασκευάζων, καὶ διπλῆν τὴν μισθοφορὰν ἑτοιμάζων· οἱ δὲ ἱππεῖς ἔξω τῆς πόλεως τὸ στρατόπεδον ἔχοντες, τοῖς ἱπποκόμοις παραδόντες τοὺς ἵππους εἴσω τειχῶν παρῆλθον, ἐπὶ τὴν διπλῆν μισθοφορὰν σπουδῇ θέοντες· Ἀλυάττης τὰ τείχη κλείσας, τοὺς ἰδίους ὁπλίτας περιστήσας, ἀπέκτεινε τοὺς ἱππεῖς ἅπαντας, καὶ τοὺς ἵππους αὐτῶν τοῖς ἰδίοις ὁπλίταις ἔδωκεν.

ΚΕΦ. Γ.
ΨΑΜΜΗΤΙΧΟΣ.

Ψαμμήτιχος, Τεμένθην τὸν Αἰγύπτου βασιλέα κατέλυσεν· ὁ μὲν θεὸς Ἄμμων χρωμένῳ Τεμένθει περὶ τῆς βασιλείας ἀνεῖλε φυλάξασθαι τοὺς ἀλεκτρυόνας· Ψαμμήτιχος δὲ Πήγρητα τὸν Κάρα συνόντα ἔχων, παρ᾽ αὐτοῦ μαθὼν ὡς πρῶτοι Κάρες ἐπέθεντο τοῖς κράνεσι λόφους, συνῆκεν τοῦ λογίου, καὶ πολλοὺς Κάρας ξεναλογήσας εἰσήγαγεν ἐπὶ τὴν Μέμφιν. καὶ περὶ τὸ τῆς Ἴσιδος ἱερὸν [6] εἴσω τῶν βα-

6 Scribe, ſi ſequeris Interpretem, *ἔσω τῶν βασιλείων ἐστρατοπέδευσεν, ἃ ἀπ. Caſ.*

equites majoribus amplioribusque muneribus affecit. Poſtremo Sardibus ſplendidum eis commeatum inſtruebat, et duplex ſtipendium apparabat. Equites extra civitatem caſtra habentes, equiſonibus equos tradiderunt, et confeſtim in urbem venerunt, ſummo ſtudio ad duplicatum ſtipendium feſtinantes. Alyattes clauſis portis, ſuis armatis eos circumdedit, et equites ad unum omnes interfecit, atque eorum equos ſuis armatis conceſſit.

CAP. III.
PSAMMETICHUS.

Pſammetichus Tementhen Ægypti regem ſuſtulit. Deus Ammon Tementhi oraculum conſulenti de regno reſponderat, caveret Gallos. Pſammetichus Pigrete Care familiariter utens, cum ab eo cognoviſſet, primos Cares galeis impoſuiſſe criſtas, oraculi mentem intellexit, et magnam Carum multitudinem conduxit, eosque duxit verſus Memphin, et juxta templum Iſidis caſtra poſuit in

βασιλείων ἀπέχει σάδια πέντε, συμβαλὼν μάχην ἐνίκησεν· ἀπὸ τῶν Καρῶν ἐκείνων μέρος τι τῆς Μέμφεως κέκληται Καρομεμφῖται.

ΚΕΦ. Δ.

ΑΜΑΣΙΣ.

Ἄμασις ἐν τῷ πρὸς Ἄραβας πολέμῳ, κατόπιν τῶν Αἰγυπτίων ἔθηκε τὰ τῶν θεῶν ἱδρύματα τῶν μάλιστα τιμωμένων παρ᾽ αὐτοῖς· ἵν᾽ οὕτως προθυμότερον κινδυνεύοιεν, νομίζοντες ἔχειν θεατὰς τοὺς θεοὺς, ἐκδότους δοῦναι τοῖς πολεμίοις οὐχ ὑπομένοντες.

ΚΕΦ. Ε.

ΜΙΔΑΣ.

Μίδας προσποιησάμενος τελετὴν ποιεῖν τοῖς μεγάλοις θεοῖς, νυκτὸς ἐξήγαγε τοὺς Φρύγας μετ᾽ αὐλῶν καὶ τυμπάνων, καὶ κυμβάλων κρυπτὰ ἔχοντας ἐγχειρίδια. οἱ μὲν πολῖται τῶν οἰκιῶν ἐξῆλθον ἐπὶ τὴν θέαν· οἱ δὲ τυμπανίζοντες, καὶ κυμβαλίζοντες, τοὺς μὲν θεατὰς κατεφόνευσαν· τὰς δὲ οἰκίας αὐτῶν ἀνεῳγμένας καταλαβόντες, Μίδαν τύραννον ἀνηγόρευσαν.

ΚΕΦ. ϛ.

in regia, quæ diſtabat ab urbe quinque ſtadia. Commiſſaque pugna, victoriam adeptus eſt. Ab his Caribus pars quædam Memphis Caromemphitæ dicta eſt.

CAP. IV.

AMASIS.

Amaſis in eo bello, quod adverſus Arabes habebat, a tergo Ægyptiorum conſtituit ſtatuas eorum Deorum, qui apud ipſos ſumma religione colebantur, ut hoc modo alacrius pericula ſubirent: arbitrantes ſe Deos habere ſpectatores, quos nequaquam hoſtibus prodere deberent.

CAP. V.

MIDAS.

Midas ſimulans ſe diis magnis rem divinam facturum, per noctem Phryges cum tibiis, tympanis, ac cymbalis eduxit, quibus pugiones occulte geſtandos dederat. Cives e domibus egrediebantur ad ſpectaculum. Illi tympana, cymbalaque pulſantes, ſpectatores trucidaverunt, et in ædes apertas impetu facto, Midam tyrannum conſtituerunt.

CAP. VI.

ΚΕΦ. ϛ.
ΚΥΡΟΣ.

Κῦρος Μήδοις παραταξάμενος τρὶς ἡττήθη. ἐπεὶ δὲ τῶν Περσῶν αἱ γυναῖκες καὶ τὰ τέκνα ἦσαν ἐν Πασαργάδαις, τὴν τετάρτην μάχην ἐνταῦθα συνῆψε· πάλιν ἔφυγον οἱ Πέρσαι· ὡς δὲ εἶδον τὰ τέκνα καὶ τὰς γυναῖκας παθόντες ἐπ' αὐτοῖς, ἀνέστρεψαν, καὶ τοὺς Μήδους ἀτάκτως διώκοντας τρεψάμενοι νίκην τηλικαύτην ἐνίκησαν, ὡς μηκέτι Κῦρον πρὸς αὐτοὺς ἄλλης δεηθῆναι μάχης.

β' Κῦρος ἐν ταῖς πρὸς Κροῖσον ἀνοχαῖς ἀπήγαγε τὴν δύναμιν· ὡς δὲ νὺξ ἐπῆλθε, συντόμως ἀναστρέψας ἐπὶ τὰς Σάρδεις ἤγαγεν· καὶ προσπεσὼν τοῖς τείχεσιν ἀφυλάκτως προσθέμενος κλίμακας, κατέσχε τὰς Σάρδεις.

γ' Κῦρος ἐκράτησε Σάρδεων· Κροῖσος κατέσχε τὴν ἀκρόπολιν, ἀναμένων τὴν ἐκ τῆς Ἑλλάδος βοήθειαν. Κῦρος τοὺς οἰκείους, τῶν μετὰ Κροίσου τὴν ἀκρόπολιν κατασχόντων δήσας ἔδειξε τοῖς πολιορκουμένοις· τῷ κήρυκι προστάξας ἀνειπεῖν, ὡς παραδοῦσι μὲν τὴν ἀκρόπολιν, ἀποδώσοι τὰ οἰκεῖα σώματα· μὴ βουλομένων δὲ παραδοῦναι, κρεμάσειε πάντας. οἱ δὲ, τὴν ἀκρόπολιν ἐπὶ τῇ σωτηρίᾳ τῶν οἰκείων παρέ-

CAP. VI.
CYRUS.

Cyrus Medis ſigna intulit, et ter victus diſceſſit. Cum autem Perſarum uxores et liberi Paſargadis eſſent, quartum prælium in eo loco commiſit. Rurſus in fugam Perſæ vertebantur: cumque liberos et conjuges aſpicerent, eos miſerati regrediebantur, Medosque ſine ordine perſequentes fugant: ſic victoriam tantam adepti ſunt, ut nullo in poſterum contra illos prælio Cyrus indigeret.

2 Cyrus induciis factis cum Crœſo, exercitum per id tempus abduxit. Ingruente vero nocte, compendio reverſus ad Sardes duxit: et adortus mœnia de improviſo ſcalis applicatis Sardes occupavit.

3 Cyrus Sardibus potitus, cum arcem Crœſus teneret, præſtolans auxilium e Græcia, neceſſarios ac familiares eorum qui arcem cum Crœſo obtinebant, vinculis affecit, et iis, qui obſidebantur, oſtendit, præcone juſſo proclamare, ſi traderent arcem, ſe quoque familiares et conſanguineos ipſis redditurum. Si dedere nollent, ſe omnes ſuſpendio necaturum. Illi, ut domeſticos incolumes

παρέδωκαν, οὐκ ἀναμείναντες Κροίσου τὰς κενὰς τῶν Ἑλλήνων ἐλπίδας.

δ΄ Κῦρος μετὰ τὴν ἅλωσιν Κροίσου Λυδῶν πάλιν ἀποστάντων, ἐλαύνων ἐπὶ Βαβυλῶνος, 7 Μαζάρην τὸν Μῆδον κατέπεμπε, προστάξας ὅταν κατάσχῃ τὴν χώραν, ἀφελέσθαι τὰ ὅπλα καὶ τοὺς ἵππους καὶ στολὴν γυναικείαν αὐτοὺς ἀναγκάσαι φορεῖν· καὶ μήτε τοξεύειν, μήτε ἱππεύειν ἔτι μανθάνειν· ὑφαίνειν δὲ καὶ ψάλλειν ἅπαντας· τοῖς ἐπιτηδεύμασι τούτοις, ὡς ἔοικε τὰς ψυχὰς αὐτῶν ἐκθηλῦναι προαιρούμενος· ἀμέλει βαρβάρων ἀπολεμώτατοι γεγόνασιν οἱ Λυδοὶ, πρόσθεν ὄντες πολεμικώτατοι.

ε΄ Κῦρος Βαβυλῶνα πολιορκῶν, ἐπειδὴ συνετέλεσε τὰς διώρυχας τοῦ Εὐφράτου διὰ τῆς πόλεως ῥέοντος, ἀνήγαγε τὸ στρατόπεδον μακροτάτω. Βαβυλώνιοι νομίσαντες αὐτὸν ἀπεγνωκέναι τῆς πολιορκίας, τὸ σφοδρὸν τῶν φυλάκων ἀνῆκαν· ὁ δὲ τὸν ποταμὸν ἀποστρέψας, τὴν δύναμιν ἐπαγαγὼν, συντόμως κατὰ τὴν χώραν τοῦ ἀρχαίου ῥεύματος ὑπεισήγαγε τοὺς στρατιώτας, καὶ τῆς Βαβυλῶνος ἐκράτησεν.

ς΄ Κῦρος

7 Fl. Μαράζην.

mes ſervarent, arcem tradiderunt, nequaquam ſecuti vanas Crœſi ſpes de Græcorum auxilio.

4 Cyrus Lydis, poſt Crœſi captivitatem, iterum deficientibus, ipſe Babylonem verſus profectus, Mazarem Medum cum præcepto miſit, ut cum regionem ſubegiſſet, arma pariter et equos adimeret, veſtitumque muliebrem geſtare eos cogeret, ac neque ad jaculandum, neque ad equitandum amplius exerceri pateretur: ſed omnes texere ac pſallere compelleret: ut his nimirum ſtudiis eorum animi molleſcerent, et effœminarentur. Sic deinceps omnium barbarorum ineptiſſimi ad bellum evaſerunt Lydi, cum antea bellicoſiſſimi extitiſſent.

5 Cyrus Babylonem oppugnans, cum foſſas derivationi Euphratæ per urbem labentis inſervientes effeciſſet, exercitum abduxit longiſſime. Babylonii exiſtimantes eum de expugnatione deſperaſſe, multum de cuſtodum diligentia remiſerunt. Ille vero averſo flumine, copias inſtructas per alveum priſtinum adducens, clam in urbem cum militibus pervenit, et Babylone potitus eſt.

6 Cyrus

ϛʹ Κῦρος Κροίσῳ [8] παρετάσσετο. Λυδοῖς ἦσαν οἱ ἱππεῖς πολλοί, καὶ μέγα ἐπὶ τούτοις ἐφρόνει Κροῖσος. ἀχρεῖον τὸ ἱππικὸν ἀπέφηνε Κῦρος, προτάξας τῶν ἱππικῶν ὁπλιτῶν καμήλους πολλάς· ἵππος δὲ καμήλου φεύγει καὶ τὴν ὄψιν καὶ τὴν ὀδμήν· αὐτίκα δὴ φεύγοντες οἱ ἵπποι, τοὺς Λυδοὺς [9] ὑπεξέφερον· ὥς τε ἦν Κύρῳ νίκη καὶ πρό γε τῆς μάχης.

ζʹ Κῦρος Πέρσας ἀποστῆναι Μήδων ἔπεισεν ὧδε· δείξας χωρίον αὐτοῖς ἀργόν, καὶ ἀκανθῶδες, ἐκέλευσεν ἡμερῶσαι. οἱ δὲ σὺν πολλῷ πόνῳ ἡμέρωσαν. τῆς ὑστεραίας ἐκέλευσε λουσαμένους ἥκειν. ἐπεὶ δὲ ἧκον, προέθηκεν αὐτοῖς εὐωχίαν ἄφθονον. καὶ μετὰ τὴν εὐωχίαν ἤρετο, ποτέρα κρείσσων ἡμέρα. οἱ δὲ ὡμολόγησαν τῆς χθὲς τὴν σήμερον τόσῳ κρείττονα, ὅσῳ κακοδαιμονίας εὐδαιμονίαν· οὐκοῦν, ὁ Κῦρος ἔφη, τὰ τῆς εὐδαιμονίας ἀγαθὰ ἕξετε, εἰ τῆς Μήδων δουλείας ἀποστῆτε. Πέρσαι μὴ μελλήσαντες ἀφίστανται· καὶ βασιλέα Κῦρον στησάμενοι, αὐτούς τε Μήδους κατέλυσαν, καὶ τῆς Ἀσίας ἄλλης ἦρξαν.

ηʹ Κῦρος

8 Scribe, ἀντιπαρετάσσετο. ex libris *Caſaub.*

6 Cyrus adverſus Crœſum aciem inſtruebat. Lydis equitum erat ingens copia: quamobrem magnos ſibi ſpiritus ſumebat Crœſus. Cyrus equitatum Crœſi inutilem reddidit, collocatis adverſus equites armatos multis camelis. Equi autem ea natura eſt, ut et aſpectum et odorem cameli fugiat. Statim igitur equites in fugam converſi, Lydos obruebant: ſic ut ante prælium victoria Cyro obtingeret.

7 Cyrus hoc modo Perſas adduxit, ut defectionem a Medis facerent. Oſtendens eis locum incultum atque ſpinoſum, eum juſſit excolere et fructuoſum reddere. Qui ſummo labore eum excoluerunt. Poſtridie juſſit lotos advenire. Qui cum veniſſent, epulum eis lautiſſimum præbuit: et finito convivio rogavit eos, utram diem meliorem exiſtimarent. Illis affirmantibus, h o d i e r n a m tanto meliorem heſterna fuiſſe, quanto felicitas miſeriis præſtat. Habebitis igitur, inquit Cyrus, felicitatis commoda, ſi ex Medorum ſervitute vos in libertatem vindicaveritis. Perſæ haud interpoſita mora deficiunt, Cyrumque regem creant. quo duce tum ipſos Medos ad nihilum redegerunt, tum etiam reliquæ Aſiæ imperium ſibi comparaverunt.

8 Cyrus

η' Κῦρος Βαβυλῶνα ἐπολιόρκει· Βαβυλώνιοι πολλῶν ἐτῶν σιτία ἔχοντες, κατεγέλων τῆς πολιορκίας· Κῦρος διὰ μέσης τὸν Εὐφράτην ῥέοντα, διώρυχα τεμὼν, εἰς τὸ πλησίον ἕλος ὑπεξήγαγεν. Βαβυλώνιοι πιεῖν ὕδωρ οὐκ ἔχοντες, αὐτίκα σφεας αὐτοὺς τῷ Κύρῳ παρέδωκαν.

θ' Κῦρος ἡττώμενος [9] Μήδοις, κατέφυγεν εἰς Πασαργάδας· πολλῶν Περσῶν αὐτομολούντων, ἔφη πρὸς αὐτοὺς, Αὔριον ἀφίξονται ἡμῖν σύμμαχοι, δέκα μυριάδες ἀνδρῶν πολεμίων Μήδοις· ἀλλὰ εἰς τὴν ὑποδοχὴν τῶν συμμάχων ἕκαστος [10] ὑμῶν κομισάτω φάκελον ξύλου. οἱ μὲν ἐκόμισαν, οἱ δὲ αὐτόμολοι ταῦτα Μήδοις ἀνήγγειλαν. ἐπεὶ δὲ νὺξ ἦν, κελεύει Κῦρος ἕκαστον ὑφάψαι τὸν ἑαυτοῦ φάκελον· Μῆδοι πολλὴν φλόγα λάμπουσαν ἰδόντες, πιστεύσαντες ἥκειν τοὺς συμμάχους, ἔφευγον.

ι' Κῦρος πολιορκῶν Σάρδεις [11] ξύλα πολλὰ ἰσομήκη τοῖς τείχεσιν ἐπιστήσας, αὐτὸς εἴδωλα πώγωνας ἔχοντα καὶ Περσικὴν ἐσθῆτα, καὶ φαρέτραν κατὰ νώτου, καὶ τόξα μετὰ χεῖρας, νύκτωρ προσήγαγεν, ὑπερέχοντα περὶ τῶν τειχῶν

9 Fl. Μήδων. 10 Vulg. ἡμῶν. 11 Fl. ξύλα πολλὰ, μακρὰ, ἰσομήκη τοῖς τ.

8 Cyrus Babylonem oppugnabat. Babylonii cum frumentum in multos annos haberent, oppugnationem deridebant. Cyrus Euphratem qui per mediam urbem fluebat, interceptum, in vicinam paludem deduxit. Babylonii cum aquæ bibendæ copiam non haberent, confeſtim ſe Cyro dediderunt.

9 Cyrus ſuperatus a Medis confugit ad Paſargadas. Multis Perſis ad hoſtes transeuntibus, inquit ad eos: Craſtino die nobis auxilio venient centum millia, ab hoſtibus Medorum: Vos igitur ad ſocios excipiendos ſinguli faſcem lignorum ferte. Quibus ferentibus, transfugæ Medis hæc enuntiaverunt. Cum nox appetiiſſet, Cyrus imperat, ut quilibet ſuum faſcem incendat. Medi flammam lucentem conſpicati, putantes hoſtium copias adventare, ſe in fugam conjecerunt.

10 Cyrus in oppugnatione Sardium plurima ligna mœnibus altitudine æqualia comparavit, impoſitisque in ea ſimulacris, barbas habentibus, et Perſicas veſtes, pharetramque ex humeris, et arcus in manibus geſtantibus, per noctem adduxit, ita ut illa

τειχῶν [12] τῆς ἄκρας· ὁ δὲ κατὰ τὰ ἄκρα μέρη τῆς πόλεως προσέβαλεν ἀρχομένης ἡμέρας. ἡ δὲ στρατεία τοῦ Κροίσου ἀπομαχομένη ταῖς τοῦ Κύρου προσβολαῖς, ἐπειδή τινες αὐτῶν ἐπιστραφέντες, εἶδον ἀπὸ μακροῦ τὰ εἴδωλα ὑπὲρ τὴν ἄκραν, ἐβόησαν· πάντας δὲ εἷλε φόβος, ὡς ἤδη τῆς ἄκρας ὑπὸ Περσῶν κατειλημμένης· τὰς πύλας δὲ ἀνοίξαντες, ἄλλος ἄλλῃ ἔφυγον. Κῦρος δὲ Σάρδεις κατὰ κράτος εἷλεν.

ΚΕΦ. Ζ.

ἉΡΠΑΓΟΣ.

Ἅρπαγος ἐπιστολὴν Κύρῳ κρύφα πέμπων, ἀνέσχισε λαγών, καὶ τὰ γράμματα ἔνδον κατακρύψας, πάλιν αὖθις συνέρραψε, καὶ τῷ κομίζοντι λίνα θηρατικὰ περιέθηκεν, ἵνα λάθῃ τοὺς φύλακας τῶν ὁδῶν.

ΚΕΦ. Η.

ΚΡΟΙ͂ΣΟΣ.

Κροῖσος τῶν Ἑλλήνων συμμάχων βραδυνόντων, τοὺς ἰσχυροτάτους καὶ μεγίστους τῶν Λυδῶν Ἑλληνικοῖς ὅπλοις κατε-

12 Scribe: τὰς ἄκρας· ut etiam meliores Codd. habent. Deinde ὁ δὲ κατὰ τὰ ἕτερα μέρη. Scribe etiam ἡ δὲ στρατιὰ τοῦ Κρ. etſi omnes libri στρατεία. *Caſ.*

illa ſimulacra ſuperarent arcis mœnia Ipſe vero prima luce ſuperiorem urbis partem aggrediebatur. Crœſi exercitus Cyri impetum propulſabat: cumque ex eis nonnulli converſi, e longinquo ſimulacra ſupra arcem cernerent, clamorem ſuſtulerunt: omneſque metus invaſit, quaſi jam arce a Perſis occupata. Itaque portis apertis, alius alio fugam capeſſebat. Cyrus vero Sardes per vim cepit.

CAP. VII.

HARPAGUS.

Harpagus, quo clam Cyro epiſtolam mitteret, leporem diſſecuit, et litteris intus occultatis, rurſus eum conſuit: eumque qui ferebat, venatoriis retibus, ut viarum cuſtodes falleret, induit.

CAP. VIII.

CROESUS.

Crœſus Græcis auxiliis cunctantibus, robuſtiſſimos ac maximos Lydorum Græcis armis ſubornavit. Cyri mili-

κατεσκεύασεν· οἱ δὲ τοῦ Κύρου στρατιῶται, τὸ ἄηθες τῆς Ἑλληνικῆς ὁπλίσεως κατεπλάγησαν· ἀλλὰ μὴν καὶ τῶν δοράτων κρουομένων πρὸς τὰς ἀσπίδας, ὁ ψόφος τοὺς Πέρσας ἐτάραττεν· ἥ γε μὴν αὐγὴ τῶν ἐπιχάλκων ἀσπίδων τὰς ὄψεις τῶν Περσικῶν ἵππων ἀπέστρεφεν· ὥς τε Κῦρος ἡττηθεὶς, [13] τριῶν μηνῶν σπονδὰς πρὸς Κροῖσον ἐποιήσατο.

β′ Κροῖσος ἡττηθεὶς περὶ Καππαδοκίαν ὑπὸ Κύρου, βουλόμενος ἀποδρᾶναι, προσέταξε τοῖς στρατιώταις ξύλα πολλὰ κομίζειν· ταῦτα νήσας ἐπὶ τῆς ὁδοῦ, στενῆς οὔσης, ἐπεὶ νὺξ ἦν, αὐτὸς μὲν τὴν δύναμιν ἐπεξῆγε σπουδῇ πολλῇ, ἱππεῖς δὲ τοὺς ἐλαφροτάτους κατέλιπεν ὑπαυγαζούσης ἕω, τὴν ὕλην καταπρήσοντας· Κροῖσος μὲν δὴ τῇ φυγῇ προέλαβεν· Κῦρος δὲ ὑπὸ τῆς φλογὸς ἐκωλύετο.

ΚΕΦ. Θ.

ΚΑΜΒΥΣΗΣ.

Καμβύσης Πηλούσιον ἐπολιόρκει· Αἰγύπτιοι κρατερῶς ἀνθίσταντο, ἀποκλείοντες τῆς Αἰγύπτου τὰς [14] ἐμβολὰς, καὶ πολλὰ προσάγοντες μηχανήματα ἐφίεσαν καταπέλτας ὀξυβε-

13 Interpres ἡμερῶν. 14 *Fl.* ἐσβολάς.

milites inuſitatam armaturæ Græcæ ſpeciem extimuerunt, atque etiam haſtarum cum ſcutis colliſarum fremitus terrorem Perſis injecit, et æneorum ſcutorum ſplendor, Perſicorum equorum aciem perſtrinxit, atque avertit. Itaque Cyrus ſuperatus, trium dierum inducias cum Crœſo fecit.

2 Crœſus in Cappadocia victus a Cyro ut commode fugam facere poſſet, militibus imperavit, ut magnam lignorum multitudinem comportarent. His viam anguſtam ſtravit: cumque nox ingrueret, per eam copias abduxit ſumma celeritate. Equites vero leviſſimos reliquit: qui cum primum illuxiſſet, ligna incenderent. Hoc pacto Crœſus per fugam evaſit. Cyrum autem a perſequendo flamma prohibebat.

CAP. IX.

CAMBYSES.

Cambyſes Peluſium oppugnabat, Ægyptii fortiter reſiſtentes, aditus Ægypti clauſerunt, multasque machinas immiſerunt, catapultis acuta tela mittentes, ſaxa

atque

ὀξυβελεῖς, πέτρους, καὶ πῦρ. Καμβύσης ὅσα σέβουσιν Αἰγύπτιοι ζῷα, κύνας, πρόβατα, αἰλούρους, ἴβεις, πρὸ τῆς ἑαυτοῦ [15] στρατείας ἔταξεν· Αἰγύπτιοι δὲ βάλλοντες ἐπαύσαντο φόβῳ τοῦ πλῆξαί τι τῶν ἱερῶν ζῴων. οὕτω Καμβύσης Πηλούσιον ἑλὼν εἴσω τῆς Αἰγύπτου παρῆλθεν.

ΚΕΦ. Ι.

ΟΙΒΑΡΗΣ.

Οἱ περὶ Δαρεῖον ἑπτὰ σατράπαι, τοὺς μάγους ἄρχοντας Περσῶν καταλύσαντες, ἐβουλεύοντο τῆς ἀρχῆς πέρι· ἔδοξεν ἵππους ἐποχουμένους ἄστεος ἔξω προελθεῖν. ὅτου δ' ἂν πρῶτος ἵππος χρεμετίσῃ, καὶ δὴ βασιλεὺς ἔστω οὗτος· Οἰβάρης ἱπποκόμος Δαρείου μαθὼν τὰ βεβουλευμένα, ἤγαγεν αὐτοῦ τὸν ἵππον πρὸ μιᾶς ἡμέρας εἰς τὸ προκείμενον χωρίον, καὶ παραστησάμενος θήλειαν ἵππον ἐπαφῆκεν τὸν ἄρρενα. τοῦτο πράξας ἐπανήγαγεν τὸν ἵππον· τῆς ὑστεραίας ὁ Δαρεῖος ἐποχούμενος ἧκε μετὰ τῶν ἄλλων σατραπῶν· ὁ δὲ ἵππος αὐτοῦ γνωρίσας τὸν τόπον τῆς συνουσίας, ἐρωτικόν τι παθὼν, πρῶτος ἐχρεμέτισεν. οἱ σατράπαι καταπη-

15 Στρατιᾶς. *Caſ.*

atque ignem. Cambyſes, quotquot animalia Ægyptii deorum honore colunt, canes, oves, feles, ibides ante ſuum exercitum collocavit. Ægyptii jaculari deſtiterunt, metuentes ne ſacrum aliquod animal læderent. Ad hunc modum Cambyſes Peluſio capto, in Ægyptum pervenit.

CAP. X.

OEBARES.

Septem cum Dario ſatrapæ Magis principibus Perſarum de medio ſublatis, conſilium de imperio agitabant. Viſum eſt equis inſidentes extra urbem egredi: et cujus equus primum hinniret, is rex conſtitueretur. Oebares equiſo Darii cum, quid conſilii initum eſſet, comperiſſet, ante unum diem equum ejus in conſtitutum locum adduxit: adjunctaque equa, maſculum immiſit. Quo facto, equum poſtridie reduxit. Darius equo vectus, cum reliquis ſatrapis venit. Equus autem ejus cognito loco, in quo cum equa rem habuiſſet, amatorio quodam deſiderio primus hinniit. Satrapæ

ταπηδήσαντες, Δαρεῖον προσεκύνησαν, καὶ βασιλέα Περσῶν ἐστήσαντο.

ΚΕΦ. ΙΑ.

ΔΑΡΕΙΟΣ.

Δαρεῖος παρετάσσετο Σκύθαις. λαγὼς [16] διήλαξε παρὰ τὴν Σκυθικὴν φάλαγγα· Σκύθαι μὲν ἐδίωκον τὸν λαγών· Δαρεῖος δὲ ἄξιον ἔφη Σκύθας φεύγειν, οἳ τοσοῦτον ἡμῶν καταφρονοῦσιν, ὥς τε Πέρσας καταλιπόντες, τὸν λαγὼν διώκουσιν· καὶ δὴ τὸ ἀνακλητικὸν σημήνας, περὶ ἀναχωρήσεως ἐβουλεύσατο.

β' Δαρεῖος μέλλων τοῖς μάγοις νύκτωρ ἐπιτίθεσθαι μετὰ τῶν ἑπτὰ Περσῶν, ἵνα ἐν σκότῳ δύναιντο γιγνώσκειν ἀλλήλους, συνεβούλευσε τιαρίδεσμον, ὃ τῆς κεφαλῆς ὄπισθεν ἀποσφίγγει τὴν τιάραν, αὐτοὺς ἐς μέτωπον περιαγαγεῖν, ἵνα σημεῖον ᾖ [17] ἅμα τῆς τιάρας καὶ τῆς μίτρας ἁπτομένους τοῦ μετώπου.

γ' Δαρεῖος πρῶτος φόρους ἔταξε τοῖς ἔθνεσιν· ὅπως δὲ μὴ χαλεπήνειαν, οὐκ αὐτὸς ἔταξεν, ἀλλὰ τοῖς σατράπαις

τάξαι

16 *Caſaub.* in margine Vulg. διῆλθε. 17 Codd. *Caſaub.* ἅμμα et pro ἁπτομένους, ἁπτομένοις. hanc eſſe veram lectionem, quisque facile videt.

trapæ ex equis ſuis deſilientes, Darium adoraverunt, et regem Perſarum conſtituerunt.

CAP. XI.

DARIUS.

Darius adverſus Scythas aciem inſtruxerat. forte accidit, ut lepus juxta Scythicam phalangem decurreret. Scythæ leporem inſequebantur. Darius vero: Operæ pretium, inquit, eſt a Scythis fugere, quibus adeo contemtui ducimur, ut relictis Perſis leporem perſequantur: et receptui ſigno dato, de diſceſſu conſilium cepit.

2 Darius Magos nocturno tempore adorturus, cum ſeptem Perſis, ut in tenebris ſe mutuo poſſent agnoſcere, conſilium dedit, ut vinculum tiaræ, quod a poſteriore capitis parte tiaram connectit, in frontem reducerent, ut pro ſigno eſſet tiaræ nodus, frontem attrectantibus.

3 Darius primus tributa gentibus impoſuit. Verum ne moleſte ferrent, non ipſe exegit, ſed ſatrapas conſtitu-

 ere

τάξαι προσέταξεν· τῶν δὲ ὁρισάντων μεγάλους φόρους, αὐτὸς προσέγραψε, τοὺς ἡμίσεις χαριζόμενος τοῖς ὑπηκόοις. οἱ δὲ ἄσμενοι τοὺς ἡμίσεις τελεῖν ὑπέστησαν, ὡς ἤδη μεγάλην εὐεργεσίαν παρὰ τοῦ βασιλέως λαβόντες.

δ' Δαρεῖος ἐπὶ Σκύθας ἐλάσας, οὔτε Σκύθας ἑλεῖν οἷός τε ἦν, [18] οὔτε σιτίων εὐπορία περὶ δρασμοῦ σκέψις ἦν· ὅπως οὖν λάθοι τοὺς Σκύθας, τὸ στρατόπεδον ὡς εἶχεν εἴα κατὰ χώραν μένειν. ἦσαν ἐν αὐτῷ τραυματίαι πολλοί, ὄνοι, ἡμίονοι, κύνες· ἀλλὰ καὶ πυρὰ πολλὰ διὰ νυκτὸς ἐκέλευσεν ἀνακαῦσαι· ταῦτα δὴ ὁρῶντες οἱ Σκύθαι, ἀκούοντες τοῦ ταράχου τῶν ζώων, καὶ τὰς σκηνὰς ἀκεραίους ὁρῶντες, ᾤοντο παρεῖναι τοὺς Πέρσας· οἱ δὲ ἄρα ἦσαν πρὸ πολλοῦ πεφευγότες. Σκύθαι δὲ ὀψὲ τὴν ἀπόδρασιν μαθόντες, ἐπεχείρουν διώκειν, οὓς καταλαβεῖν αὐτοῖς δυνατὸν ἦν οὐκέτι.

ε' Δαρεῖος Χαλκηδόνα ἐπολιόρκει, Χαλκηδόνιοι τειχῶν ὀχυρότητι, καὶ παρασκευῇ τροφῶν θαῤῥοῦντες, ἥκιστα τῆς πολιορκίας ἐφρόντιζον· Δαρεῖος τὴν μὲν στρατιὰν οὐ προσῆγε τοῖς τείχεσιν· ἀλλ' οὐδὲ τὴν χώραν ἔβλαπτεν· προσποιούμενος

18 Scribe, οὔτε σιτίων ἦν εὐπ. vel εὐπορίαν εἶχεν ἀλλὰ περὶ δρ. *Caſ.*

ere juſſit. Quibus ingentia tributa deſcribentibus ipſe ſubſcripſit, dimidiam partem remittens ſubjectis. Qui libentibus animis dimidium pependerunt, quaſi magno jam beneficio ab rege affecti.

4 Darius adverſus Scythas expeditione ſuſcepta, cum neque ſuperare Scythas poſſet, neque frumenti ſatis haberet, de fuga deliberationem inſtituebat. Quo igitur facilius Scythas falleret, caſtra quemadmodum erant, ſivit in priſtino loco remanere. Erant in eis multi vulnerati, aſini, muli, canes. Deinde multos ignes per noctem juſſit incendere. Quo viſo, Scythæ, audientes ſonitum, quem animalia edebant, et tabernacula integra conſpicientes, Perſas adeſſe putabant. At illi longe ante fugam ceperant. Scythæ ſero tandem fuga cognita, perſequi conabantur, quos aſſequi amplius nequamquam poterant.

5 Darius Chalcedonem oppugnabat. Chalcedonii murorum firmitudine, et ciborum apparatu freti, parum de oppugnatione ſolliciti erant. Darius exercitum quidem mœnibus non admovit, ſed neque regionem populaba-

νος δὲ ἀναμένειν συμμαχίαν μείζονα, τὴν ἡσυχίαν ἦγε· τῶν δὲ Χαλκηδονίων τειχοφυλακτούντων, ἀπὸ τοῦ καλουμένου Ἀφασίου λόφου, πεντεκαίδεκα στάδια τῆς πόλεως ἀπέχοντος, ἤρξαντο μεταλλεύειν ὑπόνομον οἱ Πέρσαι· ἐπεὶ δὲ κατὰ τὴν ἀγορὰν ὀρύσσοντες ἐγένοντο, τεκμαιρόμενοι ῥίζαις τῶν ἐλαιῶν, αἳ περὶ τὴν ἀγορὰν ἐπεφύκεισαν, νύκτα ἀναμείναντες, τὸν ὑπόνομον ἀναστομώσαντες, ἀνέβησαν ἐς τὴν ἀγορὰν. καὶ τὴν πόλιν ἄνευ μάχης κατὰ κράτος εἷλον, Χαλκηδονίων τὰ τείχη φυλαττόντων.

ϛʹ Δαρεῖος ἐπολέμει Σάκκαις τριχῆ διῃρημένοις· μιᾶς ἐκράτησε μοίρας· [19] τῶν δὲ Σακκῶν ἰζόντων τὰς ἐσθῆτας, καὶ τὸν κόσμον, καὶ τὰ ὅπλα περιέθηκε τοῖς Πέρσαις, καὶ προσῆγεν αὐτοὺς τῇ δευτέρᾳ μοίρᾳ τῶν Σακκῶν, νόμῳ φιλίας ἠρέμα βαδίζοντας. οἱ δὲ Σάκκαι τῷ σχήματι τῶν ἐσθήτων καὶ τῶν ὅπλων ἐξαπατώμενοι φιλοφρόνως προσελθόντες ὡς οἰκείους ἠσπάζοντο. Πέρσαι δὲ, ἦν γὰρ αὐτοῖς παράγγελμα, πάντας ἐφόνευσαν. καὶ μεταβάντες ἐπὶ τὴν τρίτην μοῖραν Σακκῶν ἀμαχὶ τούτων ἐκράτησαν· οὐδὲ γὰρ ἀντέστησαν, τῶν δύο μοιρῶν προηττημένων.

ζʹ Δα-

19 *Fl.* Σακκῶν ἰζόντων ἁλόντων τὰς ἐσθῆτας. ἰζόντων ex margine in textum irrepſiſſe videtur. *Maſv.*

labatur: ſimulanſque ſe majores copias auxiliares expectare, quietem agebat. Chalcedoniis mœnia cuſtodientibus, a colle nomine Aphaſio, qui abeſt ab urbe decem ſtadiis, ſubterraneum meatum Perſæ fodere cœperunt. cumque ad forum urbis opus produxiſſent, conjectura ſumta de radicibus olivarum, quæ in foro naſcebantur, noctem exſpectantes, aperto meatu aſcenderunt in forum, et urbem ſine prælio per vim ceperunt, Chalcedoniis in muris excubias agentibus.

6 Darius cum Saccis tripartito diviſis bellum gerebat: cum unam partem debellaſſet, Saccarum devictorum veſtibus et ornatu et armis Perſas amicivit, eosque ad alterum Saccarum exercitum duxit, amicorum ſpecie quiete ambulantes. Saccæ veſtium et armorum habitu decepti, amice accedentes, quaſi ſuos ſalutabant. At Perſæ (habebant enim hoc præceptum) omnes occiderunt: et ad tertiam partem transeuntes Saccarum, eos absque pugna vicerunt. Neque enim reſtiterunt, duabus partibus ante ſuperatis.

7 Da-

ζʹ Δαρεῖος, Αἰγυπτίων οὐ φερόντων Ὀρυάνδρου τοῦ σατράπου τὴν ὠμότητα, καὶ διὰ τοῦτο ἀποστάντων, αὐτὸς διὰ τῆς ἐρήμης Ἀραβίας ὁδεύσας, ἧκεν εἰς Μέμφιν· ἔτυχον δὲ Αἰγύπτιοι τὸν Ἆπιν ἀφανῆ γεγονότα κατ' ἐκείνας τὰς ἡμέρας πενθοῦντες. Δαρεῖος προέγραψε τῷ ἀγαγόντι τὸν Ἆπιν δώσειν ρʹ τάλαντα χρυσίου. οἱ δὲ τὴν εὐσέβειαν αὐτοῦ θαυμάσαντες, οὐκέτι μετὰ τῶν ἀποστάντων ἐτράποντο, ἀλλὰ σφᾶς αὐτοὺς Δαρείῳ παρέδωκαν.

ηʹ 20 Δαρεῖος ἐπὶ Σάκκας ἐστράτευσεν· οἱ βασιλεῖς τῶν Σακκῶν, Σακεσφάρης, Ὁμάργης, Θάμυρις ἐβουλεύοντο ἐν ἐρήμῳ χωρίῳ περὶ τῶν παρόντων. ἱπποφορβὸς ἀνὴρ Συράκης προσῆλθεν αὐτοῖς ἐπαγγελλόμενος διαφθερεῖν τὸ Περσῶν στράτευμα, ἐὰν τοῖς παισὶν αὐτοῦ καὶ τοῖς ἐγγόνοις δώσειν οἴκους καὶ χρήματα ὀμόσωσιν· οἱ μὲν ὤμοσαν· ὁ δὲ σπασάμενος τὴν παραξιφίδα ἀφεῖλεν αὐτοῦ ῥῖνα, καὶ ὦτα, καὶ τὸ ἄλλο σῶμα δεινῶς ἐλωβήσατο. καὶ αὐτομολήσας πρὸς Δαρεῖον, ταῦτα ἔφη παθεῖν ὑπὸ τῶν ἐν Σάκκαις βασιλέων. Δαρεῖος ἐπίστευσε τῷ μεγέθει τῆς συμφορᾶς· ὁ δὲ Συρά-

20 Hic debuit eſſe alius titulus. nam ſtrategema, quod hic refertur, non eſt Darii; ſed Syracæ. Darii autem ſtrategemata etiam index ſeptem tantum promiſerat. *Caſ.*

7 Darius Ægyptiis non ferentibus Oruandri ſatrapæ crudelitatem, ob eamque cauſſam deficientibus, ipſe per deſertum Arabiæ profectus, Memphin pervenit. Per id tempus Ægyptii Apin amiſſum, communi luctu proſequebantur. Darius promulgavit, ſe ei qui Apin adduxiſſet, centum auri talenta daturum. Illi pietatem ejus admirati, non amplius cum defectoribus ſtabant, ſed Dario ſeſe tradebant.

8 Darius adverſus Saccas expeditionem ſuſcepit. Reges Saccarum Sacephares, Homarges, Thamyris, in loco deſerto de præſentibus rebus conſilium capiebant. Equiſo quidam nomine Riſaces eos acceſſit, promittens, ſe Perſarum copias ad nihilum redacturum, ſi jurejurando confirmarent, ſe liberis et poſteris ejus equos ac pecunias daturos. Quibus jurantibus, ille ſtricto cultro nares et aures ſuas abſcidit, ac reliquum corpus vehementer mutilavit, transfugiensque ad Darium, hanc inquit calamitatem ſe a Saccarum regibus accepiſſe. Darius magnitudine calamitatis

Συράκης ἐπικαλέμενος πῦρ ἀθάνατον καὶ ἱερὸν ὕδωρ, τιμωρίαν παρὰ Περσῶν ἔφη λαβεῖν ἐσπέδακα. ὁ δὲ τρόπος· Σάκκαι τῆς ἐπιέσης νυκτὸς ἀπαίρειν μέλλεσιν· εἰ δὲ ἡμεῖς διὰ συντομωτέρας ὁδὲ προλάβωμεν τὴν χώραν, ἐφ᾽ ἣν ἐκεῖνοι ςέλλονται, ὥσπερ ἐν πάγη πάντας αἱρήσομεν· ἐγὼ δὲ ἱπποφορβὸς ὢν, καὶ τὴν ἐπιςήμην τῆς χώρας ἁπάσης ἔχων, ἡγήσομαι· σιτία δὲ καὶ ποτὰ ζ´ ἡμερῶν ἐπαγώμεθα. ὁ μὲν ἡγήσατο τῆς ὁδὲ· προάγων δὲ τῶν ςρατιωτῶν ἡμέρας ζ´, καὶ καταςήσας ἐς μέσην τὴν ἄνυδρον, ἐπιλιπόντος τε ὕδατος, καὶ τῶν σιτίων, τε χιλιάρχε Ῥανοσβάτε, τί σοι ἔδοξεν, εἰπόντος, ἐξαπατῆσαι τηλικῦτον βασιλέα, καὶ τοσῦτον πλῆθος Περσῶν, καὶ ἀγαγεῖν ἐς χώραν ἄνυδρον, ἐν ᾗ μήτε ὄρνεον ὁρῶμεν, μήτε θηρίον, καὶ ὅτε προϊέναι δυνατὸν, ὅτε ἀναχωρεῖν; ὁ δὲ συγκροτήσας τὼ χεῖρε, καὶ μεγάλα ἀναγελάσας· ἐγὼ, ἔφη, νενίκηκα, βελόμενος γὰρ σῶσαι Σάκκας τὲς ἐμὲς πολίτας, δίψει καὶ λιμῷ Πέρσας ἀπολώλεκα. ὁ μὲν χιλίαρχος τε Συράκε παραχρῆμα τὴν κεφαλὴν ἀπέκοψε· Δαρεῖος δ᾽ ἀναβὰς

tatis motus fidem adhibuit. Riſaces vero ignem ſempiternum obteſtans, et ſacram aquam: Supplicium, inquit, per Perſas volui ab ipſis ſumere. Hoc autem pacto id fieri poterit: Saccæ nocte ſequenti caſtra movere conſtituerunt. Quod ſi nos per aliam compendioſiorem viam præoccupaverimus eum locum, quo illis iter eſt, tanquam in reti omnes capiemus. Ego cum paſtor ſim equorum, et omnium locorum notitiam habeam, viam facile monſtrabo. Sed res poſtulabit, ut eſculenta, poculentaque ſeptem dierum nobiſcum vehamus. Qui cum viam præmonſtrans milites ſeptem dies duxiſſet, eosque in aridam Mediam conjeciſſet, deficiente aqua et cibariis, chiliarcha Rhanosbates, quamobrem inquit, decipere regem tantum ac Perſarum tantam multitudinem apud animum ſtatuiſti, et in locum omni aqua carentem, deducere, in quo neque avem videmus, neque beſtiam, et neque progrediendi, neque revertendi poteſtas conceditur? At ille, comploſis manibus, in cachinnum effuſus: Ego, inquit, victoriam adeptus ſum. Nam, ut a Saccis civibus meis periculum depellerem, ſiti ac fame Perſas enecavi. chiliarcha confeſtim Riſaci caput abſcidit. Darius autem

βὰς ἐπὶ λόφον ὑψηλὸν, τὸν κάνδυν, καὶ τὴν τιάραν τῷ σκήπτρῳ περιθεὶς, καὶ τὸ διάδημα τὸ βασιλικὸν περιδήσας, κατέπηξεν ἐπὶ γῆς. 21 καὶ, ἦν γὰρ ἐπὶ πολὺ, ηὔξατο τῷ Ἀπόλλωνι, εἰ χρεὼν σωθῆναι Πέρσας, ὕδωρ ἐξ οὐρανοῦ παρασχεῖν. ὁ θεὸς ἐπήκουσε· καὶ ὄμβρος κατεῤῥάγη πολύς. τοῦτον ὑποδεξάμενοι δέρμασι καὶ ἀγγείοις οἱ Πέρσαι, διεσώθησαν ἐπὶ Βάκτρον ποταμὸν, τῷ θεῷ χάριν ὑπὲρ τῆς σωτηρίας εἰδότες· ὅσον δὲ ἐπὶ τῇ ἀπάτῃ τοῦ ἱπποφορβοῦ πάντες διεφθάρησαν. τοῦτον ἱπποφορβὸν ὕστερον καὶ Ζώπυρος μιμησάμενος, ἀκρωτηριάσας τὸ πρόσωπον, Βαβυλωνίους ἐξαπατήσας ἐχειρώσατο.

ΚΕΦ. ΙΒ.

ΖΩΠΥΡΟΣ.

Δαρεῖος πολιορκῶν Βαβυλῶνα, χρόνῳ μακρῷ τὴν πόλιν ἑλεῖν οὐχ οἷός τε ἦν. Ζώπυρος Δαρείου σατράπης ἀκρωτηριάσας τὸ πρόσωπον, ἧκεν αὐτόμολος, ὡς ταῦτα δὴ ὑπὸ Δαρείου παθών· Βαβυλώνιοι πιστεύουσι τῇ ὄψει τῆς συμφο-

21 *Fl.* καὶ ἦν γὰρ ἐπὶ τολη . . . ηὔξατο Unde lego absque ulla immutatione, καὶ, ἦν γὰρ ἐπιτολὴ, ηὔξατο. ἐπιτολὴ autem pro ἐντολὴ hic adhibetur *Maſv.*

autem aſcendens in excelſum quendam collem, ſceptrum pallio ac tiara involutum, colligatum ad hæc diademate regio, in terram defixit: ſic enim præceperat Deus: precatusque eſt Apollinem, ſi quo modo incolumes Perſæ ſervari poſſent, aquam cœlitus præberet. Audivit preces Deus, imberque copioſus depluit. Hunc excipientes pellibus ac vaſis Perſæ, ad Bactrum fluvium evaſerunt, Deo pro ſalute gratiam habentes. Quemadmodum autem equiſonis dolo pene univerſus exercitus interiit, ſic in poſterum Zopyrus imitatus equiſonem, mutilata facie deceptos Babylonios ſubegit.

CAP. XII.

ZOPYRUS.

Darius Babylonem oppugnans, longo tempore civitatem capere non potuit. Zopyrus Darii ſatrapa, mutilata facie, transfugæ ſpecie ad hoſtes venit, quaſi his damnis a Dario affectus. Babylonii aſpectu calamitatis moti,

συμφορᾶς, καὶ τῷ Ζωπύρῳ τὴν πόλιν ἐπιτρέπουσιν· ὁ δὲ νύκτωρ ἀνοίγει τὰς πύλας. καὶ Δαρεῖος κρατήσας Βαβυλῶνος, ἐκεῖνο δὴ τὸ λαμπρὸν ἐφθέγξατο· ἀλλ' οὐδὲ κ' Βαβυλῶνας ἔχειν ἐβουλόμην ἂν, ἐφ' ᾧτε ὁρᾷν τοιαῦτα παθόντα Ζώπυρον.

ΚΕΦ. ΙΓ.

ΑΡΤΑΞΕΡΞΗΣ.

Βασιλεὺς Ἀρταξέρξης Ὀρόντῃ προσέταξε, Τηρίβαζον Κύπρου σατράπην ἄγε μοι δεδεμένον. Ὀρόντης· ἐδεδοίκει γὰρ Τηρίβαζον· λόχῳ τὸν ἄνδρα εἷλε. ὁ δὲ λόχος ἦν, οἶκος ἐν ᾧ βόθρος βαθύς· ἄνω τοῦ βόθρου κλίνην ἔθηκεν οὐκ ἐντεταμένην, ἀλλὰ στρώμασι ποικίλοις κεκοσμημένην. καλεῖ Τηρίβαζον, ὡς διαλεξόμενος ἀπόρρητα. Τηρίβαζος εἰσέρχεται, καὶ καθιζάνει, καὶ διὰ τῆς κλίνης εἰς τὸν βόθρον καταφέρεται, καὶ συλληφθεὶς ἀναπέμπεται βασιλεῖ δεδεμένος.

ΚΕΦ. ΙΔ.

ΟΡΟΝΤΗΣ.

Ὀρόντης ἀποστὰς ἐπολέμει τοῖς βασιλέως στρατηγοῖς, καὶ καταφυγὼν ἐπὶ λόφον τοῦ Τμώλου, χαράκωμα περιεβάλετο·

moti, fidem adhibent, Zopyroque adminiſtrationem civitatis permittunt. Qui per noctem portas aperuit, et Darius Babylone potitus eſt. Sed hanc vocem plane regalem emiſit, ſe viginti Babylonibus æquo animo carere poſſe, ne damnum hoc Zopyri videret.

CAP. XIII.

ARTAXERXES.

Rex Artaxerxes Oronti mandavit, ut Teribazum, Cypri ſatrapam, vinctum ſibi mitteret. Orontes (metuebat enim Teribazum) per inſidias hominem cepit, hoc fere pacto. Domus erat, quæ ſpecum profundam habebat. Super ſpecu lectum collocavit, non extenſum, ſed variis tapetibus ornatum, vocat Teribazum, quaſi ſecretum colloquium cum eo habiturus. Teribazus ingreſſus conſedit, et per lectum in foſſam defertur, atque comprehenſus ad regem vinctus mittitur.

CAP. XIV.

ORONTES.

Orontes facta defectione cum regis ducibus bellum gerebat, confugiensque in collem Tmoli, eum vallo circum-

βάλετο· τῶν πολεμίων ἀντιστρατοπεδευσάντων, παρήγγειλε τοῖς στρατιώταις ὀχυροῦν μάλιστα δὴ τὸ χαράκωμα, καὶ τὰς ἐφοδίας, καὶ τὰς φυλακὰς συγκροτοῦντας ὁρᾶσθαι τοῖς πολεμίοις. αὐτὸς δὲ νύκτωρ ἐπιλέκτους ἱππέας λαβὼν ἐξώρμησε, καὶ διὰ τῆς ἐπὶ Σάρδεις ὁδοῦ τὴν ἀγορὰν τὴν κομιζομένην τοῖς πολεμίοις ἥρπασε, καὶ λείαν πολλὴν τῶν Σαρδιανῶν ἀπήλασεν, καὶ πέμψας ἄγγελον τοῖς ἐν τῷ χάρακι ταῦτα ἐμήνυσε, καὶ συνέταξε τῆς ὑστεραίας ἐπιθέσθαι τοῖς πολεμίοις. οἱ μὲν δὴ θαῤῥοῦντες ἐπεξῆλθον. Ὀρόντης δὲ κατὰ νώτου τῶν πολεμίων γενόμενος, τοὺς μὲν ἀποκτείνας, τοὺς δὲ ζωγρήσας, ἀσφαλῶς ἀπηλλάττετο.

β′ Ὀρόντης ἐν Κύμῃ παρετάξατο Αὐτοφραδάτῃ μυρίους ὁπλίτας ἔχοντι, αὐτὸς ἔχων μυρίους ὁπλίτας Ἕλληνας. πρῶτον μὲν δὴ προσέταξε τοῖς Ἕλλησιν [22] ἐπιστραφῆναι· καὶ ἰδεῖν τὸ πεδίον, ἡλίκον ἐμφανίζων, ὡς οὐκ ἄν τις τὴν τάξιν λύσας τοὺς ἱππέας διαφύγοι· ἐπεὶ δὲ συμβάλλοντες ἔστησαν πεφραγμένοι, τῶν ἱππέων τὴν φάλαγγα διασπροῦσαι μὴ δυνηθέντων, καὶ διὰ τοῦτο ἀποστραφέντων· Ὀρόντης ἐκέλευσε

22 Diſtinguendum cum *Caſaubono*: ἐπιστραφῆναι καὶ ἰδεῖν τὸ πεδίον ἡλίκον, ἐμφανίζων ὡς οὐκ ἄν.

cumdedit. Hoſtibus e regione caſtrametantibus, præcepit militibus, ut ſummo ſtudio caſtra munirent: efficerentque, ut ab hoſtibus et cuſtodias obeuntes, et eos congregantes cernerentur. Ipſe per noctem delectis equitibus aſſumtis, eruptionem fecit, ac per eam viam quæ Sardes ducebat, commeatum devectum ad hoſtes per vim rapuit, magnamque prædam a Sardianis abegit: miſſoque nuntio eos, qui intra munitionem relicti erant, de his certiores fecit: et iis, ut poſtridie hoſtem aggrederentur, imperavit. Qui ſumma cum fiducia impetum fecerunt. Orontes autem a tergo hoſtium accedens, aliis interfectis, aliis captis, ſine periculo diſceſſit.

2 Orontes Cumæ cum decem millibus Græcorum armatorum, adverſus Autophradatem itidem decem millia armatorum habentem aciem inſtruxit. Primum Græcis præcepit, ut reſpicerent, et campi magnitudinem intuerentur: demonſtrans, neminem, ordinibus diſſipatis, equorum impetum poſſe effugere. Qui cum in acie condenſato agmine ſtarent, equitibus phalangem perfringere non valentibus, ob eamque cauſſam averſis, Orontes

ἐκέλευσε τοὺς Ἕλληνας, ἐὰν πάλιν ἐπάγειν ἐγχειρῶσιν οἱ ἱππεῖς, τρία βήματα μόνον εἰς τοὔμπροσθεν ἐμβῆναι· οἱ μὲν δὴ 23 ἀπέβησαν· οἱ δὲ ἱππεῖς νομίσαντες ἐπάγειν αὐτοὺς, ἐκκλίναντες ἔφευγον.

γʹ Ὀρόντης πολλοὺς τῶν συμμάχων ἀποβαλὼν, οὓς Αὐτοφραδάτης ἐνέδρᾳ διέφθειρε, καθῆκε λογοποιοὺς, διαγγέλλοντας ὡς ἐγγὺς εἶησαν οἱ μισθοφόροι, ὥστε καὶ τῷ Αὐτοφραδάτῃ τοῦτο ἐπηγγέλλετο· τῶν δὴ βαρβάρων τοὺς ἰσχυροτάτους νυκτὸς ὥπλισεν ὅπλοις Ἑλληνικοῖς, καὶ ἀρχομένης ἕω παρέταξεν αὐτοὺς μετὰ τῶν ἄλλων Ἑλλήνων, ἐπιστήσας ἑρμηνέας διγλώσσους, ἵνα τὰ παραγγέλματα τοῖς Ἕλλησιν οὗτοι φράζοιεν τοῖς βαρβάροις. Αὐτοφραδάτης ἰδὼν τὰ Ἑλληνικὰ ὅπλα, οἰηθεὶς ἥκειν τοὺς μισθοφόρους περὶ ὧν ἐπέπυστο, συμβαλεῖν οὐ θαῤῥήσας, ἀναλαβὼν τὸ στρατόπεδον ἔφευγε.

ΚΕΦ. ΙΕ.

ΞΕΡΞΗΣ.

Ξέρξης ἐπὶ τὴν Ἑλλάδα στρατεύων, πολλὰ ἔθνη συνήγαγεν, λογοποιοὺς διασκεδάσας, ὡς οἱ κορυφαῖοι τῶν Ἑλλήνων

23 ἐπέβησαν aut προὔβησαν. conject. *Caſaub.*

tes Græcos juſſit, ſi rurſus impreſſionem facere conarentur equites, tribus paſſibus progrederentur. Quibus progredientibus, equites arbitrati ipſos irruptionem facere, declinantes fugam capeſſiverunt.

3 Orontes magno ſociorum numero amiſſo, quos Autophradates inſidiis peremerat, ſubornavit aliquos qui rumorem ſpargerent, ac nuntiarent, mercenarios in propinquo eſſe: ſic ut etiam is ſermo ad Autophradatem perferretur. Nocte vero valentiſſimos barbarorum armavit Græcis armis, eosque prima luce cum reliquis Græcis in acie collocavit, adhibitis interpretibus, qui utramque linguam callerent, ut hi ea quæ præcepta Græcis eſſent, barbaris enuntiarent. Autophradates arma Græca conſpicatus, exiſtimans mercenarios venire, de quibus audierat, congredi non auſus, aſſumtis copiis ſe fugæ mandavit.

CAP. XV.

XERXES.

Xerxes expeditione contra Græciam ſuſcepta, multas gentes conduxit, dimiſſis paſſim qui evulgarent, principes

λήνων ὡμολογήκασι προδοσίαν τῆς Ἑλλάδος· δόξαντες ἂν ὐκ ἐς μάχην, ἀλλὰ ἐς ὠφέλειαν φανερὰν καλεῖσθαι, προθυμότερον ἠθροίζοντο. πολλοὶ δὲ τῶν βαρβάρων, καὶ αὐτεπάγγελτοι συνεμάχησαν.

β΄ Ξέρξης κατασκόπων Ἑλλήνων ἁλόντων ἐν τῷ στρατοπέδῳ, κολάζει μὲν τὺς ἄνδρας ὐδαμῶς· κελεύει δὲ περιαχθέντας ἰδεῖν τὴν δύναμιν ἅπασαν. ἐπεὶ δὲ εἶδον. Ἄπιτε τοίνυν, ἔφη, καὶ τοῖς Ἕλλησιν ἀπαγγείλατε ὅσα ἐμῦ δεικνῦντος ἑωράκατε.

γ΄ Ξέρξης ἐναυλόχει περὶ Ἄβυδον· σιτηγαὶ νῆες Ἑλληνικαὶ παραπλέυσαι ἁλίσκονται ὑπὸ τῶν βαρβάρων. τοῖς μὲν δὴ ἔδοξε καταδῦσαι τὰς ὁλκάδας αὐτοῖς ἀνδράσι. Ξέρξης δὲ τὐναντίον, εἴρετο, ποῖ πλεῖτε; φησάντων, ἐς τὴν Ἑλλάδα· καὶ ἡμεῖς, ἔφη, ἐκεῖσε. ὥστε ὁ σῖτος τοῖς Ἕλλησιν ἀγόμενος ἡμέτερός ἐστιν. ἄπιτε δή. ταῦτα οἱ σωθέντες ἀπαγγείλαντες τοῖς Ἕλλησιν, ὐ μικρὰν ἔκπληξιν αὐτοῖς παρέσχον.

δ΄ Ξέρξης ἐν Θερμοπύλαις, πολλῶν βαρβάρων πεσόντων, ἀποκρυπτόμενος τὸ πλῆθος τῶν νεκρῶν, προσέταξε τοῖς

cipes Græcorum, de proditione Græciæ conſenſiſſe. Arbitrantes igitur ſe non ad pugnam, ſed ad manifeſtam utilitatem evocari, promtius congregabantur. Multi etiam barbari ſua ſponte ſe ſocios adjunxerunt.

2 Xerxes exploratoribus Græcis in exercitu deprehenſis, nequaquam homines ſupplicio affecit, verum circumductos univerſas copias luſtrare juſſit. Cum inſpexiſſent, Abite igitur, inquit, et Græcis renuntiate, quæ me monſtrante conſpexiſtis.

3 Xerxes circa Abydum cum navibus in inſidiis latebat: Frumentariæ naves Græcorum prænavigantes capiuntur a barbaris, quibus viſum eſt ſubmergere naves onerarias una cum ipſis hominibus. Xerxes contra quærebat, quo curſum tenerent. Quibus reſpondentibus, in Græciam: Etiam nos inquit, eo navigabimus. Itaque frumentum quod Græcis advehitur, noſtrum eſt: Abite igitur. Qui evaſerant, Græcis hanc rem nuntiantes, non exiguum eis ſtuporem injecerunt.

4 Xerxes in Thermopylis, cum magnus barbarorum numerus in acie cecidiſſet, occultans mortuorum multitudi-

τοῖς οἰκείοις αὐτῶν διὰ νυκτὸς τοὺς αὐτοῖς προσήκοντας γῇ κατακρύψαι.

ε' Ξέρξης ἐν Θερμοπύλαις διὰ τὴν στενότητα τῶν ὀρῶν πολλοὺς Περσῶν ἀποβαλὼν, Τραχινίου ἀνδρὸς Ἐφιάλτου δείξαντος ἀτραπὸν περὶ τοῖς ὄρεσι στενὴν, ἔπεμψεν ἄνδρας δισμυρίους. οἱ περιελθόντες, κατὰ νώτου γενόμενοι τῶν Ἑλλήνων, ἀπέκτειναν ἅπαντας, ὧν ἡγεῖτο Λεωνίδας.

ΚΕΦ. Ις.
ΑΡΤΑΞΕΡΞΗΣ.

Ἀρταξέρξης ἐπὶ τὴν Τισαφέρνους σύλληψιν κατέπεμψε Τιθραύστην δύο ἐπιστολὰς κομίζοντα· τὴν μὲν πρὸς αὐτὸν περὶ τοῦ πολέμου τοῦ πρὸς τοὺς Ἕλληνας, ἐπιτρέπων αὐτῷ τὰ πάντα. τὴν δὲ πρὸς Ἀριαῖον ὅπως αὐτὸν συλλάβοι μετὰ Τιθραύστου. Ἀριαῖος ἀναγνοὺς τὴν ἐπιστολὴν ἐν 24 Κολασσαῖς τῆς Φρυγίας, καλεῖ Τισαφέρνην ὡς ὁμοῦ βουλεύσασθαι δέοι, τά τε ἄλλα, καὶ περὶ τῶν Ἑλλήνων. ὁ δὲ μηδὲν ὑπιδόμενος, τὸ μὲν στρατόπεδον κατέλιπεν ἐν Σάρδεσιν, αὐτὸς δὲ μετὰ τ΄. λογάδων Ἀρκάδων καὶ Μιλησίων ἀφικόμενος,

24 *Fl.* Κολοσσαῖς.

tudinem, præcepit eorum familiaribus, ut per noctem eos terra obruerent.

5 Xerxes in Thermopylis, propter anguſtias montium multis Perſis amiſſis, Trachinio quodam homine Ephialte in montibus anguſtam viam aliquam monſtrante, miſit viginti millia hominum. Qui circumeuntes, ad tergum Græcorum evaſerunt: omnesque occiderunt, quos Leonidas ducebat.

CAP. XVI.
ARTAXERXES.

Artaxerxes ad comprehendendum Tiſſaphernem miſit Tithrauſtam, duas epiſtolas ferentem: unam ad ipſum, de bello contra Græcos, ſummam omnium rerum ei permittens: alteram ad Ariæum, ut eum cum Tithrauſta comprehenderet. Ariæus lectis litteris, in urbe Phrygiæ Colaſſis, Tiſſaphernem vocavit ad communicanda conſilia, cum de rebus aliis, tum in primis de Græcis. Ille nihil ſuſpicatus mali, copias Sardibus reliquit. Ipſe vero cum trecentis delectis Arcadibus et Mileſiis pro-

μενος, ἐν Ἀριαίῳ κατέλυεν. ἤδη δὲ περὶ λουτρὸν ἔχων τὸν ἀκινάκην ἀπέθετο. Ἀριαῖος μετὰ τῶν θεραπευτήρων συναρπάσας αὐτὸν, καθείρξας 25 εἰς ἁρμάμαξαν κατερραμμένην ἄγειν Τιθραύστῃ παρέδωκεν. ὁ δὲ μέχρι μὲν Κελαινῶν ἐγκατερραμμένον ἤγαγεν. ἐνταῦθα δὲ ἀποτεμὼν αὐτοῦ τὴν κεφαλὴν ἀνεκόμισε βασιλεῖ. βασιλεὺς δὲ ἔπεμψε τῇ μητρὶ Παρυσάτιδι. ἣ δὲ ἄρα μάλιστα ἐσπουδάκει τίσασθαι Τισαφέρνην ἐπὶ τῇ Κύρου τελευτῇ. ἔμελλον δὲ ἄρα καὶ ὅσαι τῶν Ἑλλήνων τῶν Κυρείων μητέρες, ἢ γυναῖκες, λαμπρὸν ὀλολύζειν, Τισαφέρνου δίκας δόντος τῆς ἐς τοὺς Ἕλληνας ἀπάτης.

β΄ Ἀρταξέρξης τὸν πόλεμον ἠγωνοθέτει τοῖς Ἕλλησιν, ἀεὶ προστιθέμενος τοῖς ἡττωμένοις. ἀεὶ γὰρ ἐπανισῶν τὸ ἐλαττούμενον, τὴν ἰσχὺν τοῦ νικῶντος κατέλυεν.

ΚΕΦ. ΙΖ.

ΩΧΟΣ.

Ὦχος Ἀρταξέρξου τοῦ πατρὸς αὐτῷ τελευτήσαντος, εἰδὼς ὅτι περιὼν μὲν ὁ πατὴρ φοβερὸς ἦν τοῖς ὑπηκόοις. μετὰ δὲ τὴν τούτου τελευτὴν, αὐτὸς ἐυκαταφρόνητος ἔσοιτο, τοῖς

25 *Vulg.* ἐις ἁρμάμαξαν, κατερραμμένον ἄγ.

profectus, apud Ariæum divertit: jamque balneis operam dans, acinacem depoſuerat. Ariæus cum famulis eum comprehendit, concluſumque in carpentum obductum, Tithrauſtæ agendum dedit. Qui Celænas uſque inſutum duxit. Ibi abſciſſum ejus caput regi tulit. Rex matri Paryſatidi miſit, quæ maxime pœnas ob Cyri mortem ab Tiſſapherne repetere cupiebat: Græcorumque omnium, qui Cyrum erant ſecuti, matres aut uxores ſupplicium Tiſſaphernis probarunt, eo quod Græcos fraude circumvenerat.

2 Artaxerxes bellum inter Græcos ſerens, victorum partes ſemper fovebat. Semper enim eam partem, quæ deficeret, æqualem hoſtibus reddens, victoris robur ac vires atterebat.

CAP. XVII.

OCHUS.

Ochus, Artaxerxe patre ſuo vita defuncto, cum ſciret patrem ſuperſtitem adhuc formidabilem ſubjectis exſtitiſſe, ſe vero poſt ejus obitum pro nihilo habitum iri, cum

τοῖς εὐνούχοις, καὶ κατακοιμισταῖς, καὶ τῷ χιλιάρχῳ συνθέμενος, ἔκρυψε τὸν θάνατον ἐπὶ μῆνας δέκα. ἐν δὲ τούτοις τὴν βασιλικὴν σφραγῖδα διαπέμπων, ἐξ ὀνόματος τοῦ πατρὸς προσέταξεν Ὦχον ἀναγορεῦσαι βασιλέα· ἐπεὶ δὲ πάντες ἀνηγόρευσαν καὶ ὑπήκουσαν, τότε ὡμολόγησε τὸν θάνατον τοῦ πατρὸς, καὶ τὸ βασίλειον πένθος ἐπήγγειλε κατὰ τοὺς Περσῶν νόμους.

ΚΕΦ. ΙΗ.

ΤΙΣΑΦΕΡΝΗΣ.

Τισαφέρνης πρὸς Κλέαρχον ἐσπείσατο παρακαθισάμενος τὰς παλλακίδας· τὰς δὲ αὐτὰς ἔφη σπονδὰς ἐθέλειν ποιεῖσθαι καὶ πρὸς τοὺς λοιποὺς ἡγεμόνας· ἧκον οἱ λοιποὶ, Πρόξενος Βοιώτιος, Μένων Θετταλὸς, Ἄγις Ἀρκὰς, Σωκράτης Αἰχαιός· εἵποντο τούτοις λοχαγοὶ κ΄, στρατιῶται διακόσιοι. Τισαφέρνης τοὺς μὲν στρατηγοὺς δήσας ἔπεμψεν ὡς βασιλέα, τοὺς δὲ ἄλλους αὐτὸς ἀπέκτεινε πάντας.

β΄ Τισαφέρνης ἐμβαλεῖν ἐς Μίλητον, καὶ τοὺς φυγάδας καταγαγεῖν ἐβούλευετο. ἀπαράσκευος μὲν δὴ ὢν, περιβόητον ἐποίει τὸ ἔργον ὡς τοῦτο δράσων αὐτίκα· ὥστε καὶ Μιλή-

cum eunuchis, cubiculariis, et chiliarcha pactum iniit, ac mortem ad decem menſes celavit. Interea temporis regium ſigillum circummittens, nomine parentis edixit, ut Ochum regem promulgarent: cumque omnes eum regem ſalutarent, et obedientiam præſtarent, tum denique confeſſus eſt patris mortem, regiumque luctum conſuetudine Perſarum imperavit.

CAP. XVIII.

TISSAPHERNES.

Tiſſaphernes adhibitis concubinis, cum Clearcho fœdus percuſſit. Eadem autem fœdera cum cæteris etiam ducibus ſe facturum affirmavit. Venerunt reliqui, Proxenus Bœotius, Menon Theſſalus, Agis Arcas, Socrates Achivus. Sequebantur hos viginti manipulorum præfecti, militesque ducenti. Tiſſaphernes duces in vincula conjectos miſit ad regem: reliquos omnes ipſe interfecit.

2 Tiſſaphernes in Miletum irruptionem facere, et exules reducere cogitabat. Verum imparatus cum eſſet, rem in omnes homines divulgavit, quaſi mox jam id factu-

Μιλήσιοι τὰ ἐκ τῶν ἀγρῶν εἰς ἄςυ ἀνεκομίσαντο. παρασκευασάμενος δὲ, τὸ ςρατόπεδον διαλύειν προσεποιήσατο, καὶ οὐ μακρὰν ἀπεπέμψατο. Μιλήσιοι τὰς γνώμας μεταβαλλόμενοι, διαλυθὲν τὸ ςράτευμα ὁρῶντες, ἐς τοὺς ἀγροὺς ἀνεχώρησαν. ὁ δὲ ὑπὸ συνθήματι τὸ ςράτευμα συλλέξας, διὰ τάχους πάντας Μιλησίους ἔξω τῆς πόλεως διεσπαρμένους ἐχειρώσατο.

ΚΕΦ. ΙΘ.

ΦΑΡΝΑΒΑΖΟΣ.

Φαρνάβαζος κατὰ Λυσάνδρου Λακεδαιμονίοις ἔγραψεν· οἱ δὲ ἀπὸ τῆς Ἀσίας αὐτὸν ἀνεκαλέσαντο, σκυτάλην πέμψαντες. Λύσανδρος ἱκετεύει Φαρνάβαζον ἄλλην ἐπιςολὴν ὑπὲρ αὐτοῦ γράψαι φιλάνθρωπον· Φαρνάβαζος ὑποσχόμενος, φανερῶς μὲν ἔγραψεν οἵαν ὁ Λύσανδρος ἠξίωσε· κρύφα δὲ εἶχεν ἑτέραν γεγραμμένην. ἐν δὲ τῷ τὴν σφραγῖδα ἐπιβαλεῖν, ὑπαλλάξας τὰ βιβλία, μηδὲν διαφέροντα τῇ ὄψει δίδωσιν αὐτῷ τὴν κρύφα γεγραμμένην. Λύσανδρος ἐπανελθὼν εἰς Λακεδαίμονα τοῖς Ἐφόροις κατὰ τὸ ἔθος ἀπέδωκε τὰ γράμματα· οἱ δὲ ἀναγνόντες ἔδειξαν αὐτῷ

τῷ

facturus: ita ut Mileſii omnia ex agris in urbem deportarent. Paratus autem, ſe exercitum dimiſſurum ſimulavit, eumque non longe dimiſit. Mileſii animis mutatis, cum exercitum dimiſſum viderent, in agros redierunt. Ille certo ſigno collectis copiis, celeriter omnes Mileſios extra civitatem diſperſos ſuperavit.

CAP. XIX.

PHARNABAZUS.

Pharnabazus adverſus Lyſandrum ſcripſit Lacedæmoniis, qui eum hanc ob cauſſam miſſa ſcytala ab Aſia revocarunt. Lyſander ſuppliciter orat Pharnabazum, ut alias litteras pro ſe mittat leniores. Pharnabazus pollicitus, aperte quidem ejusmodi ſcripſit, quales Lyſander petebat. alias vero ſcriptas clam habebat. Itaque dum ſigillum imprimit, commutatis libellis, qui ſpecie nihil differebant, eam ei tradit quam occulte ſcripſerat. Lyſander reverſus Lacedæmonem, Ephoris, quemadmodum moris erat, litteras reddit. Qui cum legiſſent,

epi-

τῷ τὴν ἐπιςολὴν, προειπόντες μηδὲν ἀπολογίας δεῖσθαι αὐτὸν καθ' αὐτῦ γράμματα κομίσαντα.

ΚΕΦ. Κ.

ΓΛΩΣ.

Γλῶς ἦν ἐν Κύπρῳ· τῶν δὲ ἀμφ' αὐτὸν Ἑλλήνων τοῖς ἐν Ἰωνίᾳ κατ' αὐτῦ γραφόντων, βυλόμενος εὑρεῖν τὺς αἰτίυς, τριήρη καθεῖλκυσε, καὶ τοῖς ἐρέταις ἔδωκεν ἐφόδιον, καὶ πλεῖν ἐκέλευσεν ἐπὶ Ἰωνίας. τῦ κυβερνήτυ τὴν ἀναγωγὴν ἐπίτηδες ἀναβαλλομένυ, πολλοὶ πολλὰς ἐπιςολὰς τοῖς ἐρέταις ἔδωκαν. οἱ μὲν δὴ ἀνήχθησαν, καὶ βραχὺ τῆς πόλεως ἀποτέρω προσωρμίσαντο. ὁ δὲ παρελθὼν πεζῇ πρὸς τὴν τριήρη προσέταξε τοῖς ἐρέταις πάσας προσκομίσαι τὰς ἐπιςολάς, ἐν αἷς τὺς κατ' αὐτῦ γράφοντας εὑρὼν, ὐδένα τύτων ὐχὶ παραχρῆμα βασανίσας ἀπέκτεινεν.

ΚΕΦ. ΚΑ.

ΔΑΤΑΜΗΣ.

Δατάμης ὑπὸ τῶν ςρατιωτῶν ἀπαιτύμενος μισθὸν μηνῶν πλειόνων, ἐς ἐκκλησίαν συναγαγὼν αὐτὺς, ἔφη πολλὰ

epiſtolam ei monſtraverunt, præfati nihil ei opus eſſe defenſione, cum adverſus ſe ipſum litteras attulerit.

CAP. XX.

GLOS.

Glos in Cypro bellum gerebat, cumque Græci, quos apud ſe habebat, iis qui in Jonia verſabantur, litteras contra ipſum mitterent, ut nocentes deprehenderet, triremem deduxit, remigibusque viaticum præbuit, atque in Ioniam eos navigare juſſit. Cum gubernator navigationem data opera protraheret, multi multas epiſtolas remigibus dederunt. Qui ſolventes, non procul ſupra urbem appulerunt. Ille pedes in eum locum profectus, ubi triremis ſtabat, præcepit remigibus, ut omnes ſibi epiſtolas adferrent: in quibus cum inveniſſet eos qui contra ſe ſcripſerant, non ſubito, ſed in quæſtionibus examinatos interfecit.

CAP. XXI.

DATAMES.

Datames cum a militibus ſtipendia plurium menſium flagitarentur, convocavit eos in concionem, et ſe multas habe-

λα χρήματα ἔχειν ἐν χωρίῳ τριῶν ἡμερῶν ὁδὸν ἀπέχοντι· καὶ δὴ τὴν ταχίστην εἰς τοῦτο ἐπειγώμεθα. ἐπίστευσαν οἱ στρατιῶται, καὶ ἠκολούθησαν. ἀπέχοντας δὲ ἡμέρας ὁδὸν, ἐκέλευσε κατὰ 26 χώρας μένειν ἀναπαυομένους. ἀναλαβὼν δὲ τοὺς περὶ αὐτὸν, καὶ καμήλους καὶ ἡμιόνους, ἐλθὼν ἐς ἱερὸν ἐγχωρίῳ πλούτῳ κεκοσμημένον, ἔλαβεν ἀργύρου τάλαντα τριάκοντα. ταῦτα ἐπὶ τῶν καμήλων καὶ τῶν ἡμιόνων ἤγαγεν εἰς τὸ στρατόπεδον, ὀλίγα μὲν ἀγγεῖα πληρώσας, πολλὰ δὲ κατασκευάσας ὁμοίως τοῖς πεπληρωμένοις. ἐπεὶ δέ τινα τῶν πεπληρωμένων ἔδειξε τοῖς στρατιώταις, οἱ μὲν εὐέλπιδες ἐγίνοντο ὡς χρήματα ἔχοντες. ὁ δὲ ἔφη δεῖν ἐς Ἀμισὸν ἀφικομένους κόψαι νόμισμα· ἦν δὲ ἄρα Ἀμισὸς ἡμερῶν πολλῶν ὁδὸν ἀπέχουσα, καὶ χώρα δυσχείμερος. τὸν δὲ χειμῶνα ὅλον οἱ στρατιῶται ἡσύχασαν οὐκ ἀπαιτοῦντες.

β' Δατάμης ἐπιβουλεύων Σινωπεῦσι ναυτικὸν ἔχουσιν, αὐτὸς ναυπηγῶν καὶ τεκτόνων ἀπορούμενος, φιλίαν συνθέμενος πρὸς αὐτοὺς, ἐπηγγείλατο Σηστὸν αὐτοῖς ἐκπολιορκήσας παραδώσειν, ἣν μάλιστα πολεμιωτάτην ἡγοῦντο· ἐπίστευ-

26 χώραν. *Caſ.*

habere pecunias affirmavit in loco trium dierum itinere diſtanti: quare ſumma contentione ad eum feſtinemus, inquit. Crediderunt milites atque ſecuti ſunt. Cumque unius diei itinere abeſſent, juſſit eos in iſto loco manere, et quietem capere. Aſſumtis autem ſecum ſuis comitibus et camelis, et mulis, cum perveniſſet ad templum vernaculis opibus ornatum, accepit talenta argenti triginta. Hæc camelis et mulis impoſita devexit ad exercitum, paucisque impletis vaſis, alia multa ad ſimilitudinem impletorum comparavit: cumque aliquot impleta militibus oſtenderet, in bonam ſpem adducebantur, et affatim ſuppetere pecunias exiſtimabant. At ille, Amiſum profectos numisma cudere dicebat oportere. Amiſus autem aberat multorum dierum itinere, regionemque difficilem ad hibernandum habebat. Totam igitur hyemem milites ſalaria flagitare ceſſarunt.

2 Datames inſidias ſtruens Sinopenſibus claſſem habentibus, cum ipſi navium fabricatores et fabri deeſſent, amicitiam cum eis fecit, promittens ſe Seſtum expugnatam eis traditurum, quam omnium infeſtiſſimam exiſtimabant.

σευσαν οἱ Σινωπεῖς, καὶ παρεκάλεσαν, ὧν ἂν ἐς τὸν πόλεμον δέοιτο, παρ᾽ αὐτῶν λαμβάνειν· ὁ δὲ ἄλλου μὲν οὐδενὸς ἔφη δεῖσθαι, ὡς λαμπρὰν χορηγίαν ἔχων, καὶ χρημάτων, καὶ σωμάτων· τοὺς δὲ τὰ μηχανήματα κριοὺς καὶ χελώνας κατασκευάζοντας οὐκ ἔχειν, ἃ δὴ μάλιστα ὠφέλιμα τοῖς πολιορκοῦσιν· οἱ Σινωπεῖς πάντας τοὺς ἐν τῇ πόλει τεχνίτας, καὶ ἀρχιτέκτονας ἔπεμψαν αὐτῷ. ὁ δὲ ταῖς τέχναις αὐτῶν χρησάμενος, ναῦς πολλὰς καὶ μηχανήματα κατασκευάσας, ἀντὶ Σηστοῦ τὴν Σινώπην ἐπολιόρκησεν.

γʹ Δατάμης, Εὐφράτην διαβὰς, ἐπολέμει μεγάλῳ βασιλεῖ· ὁ δὲ μετὰ πολλῆς δυνάμεως ἐπῄει, οὐ πάνυ τῶν ἐπιτηδείων εὐπόρως ἔχων, σχολαίτερον ὁδεύων· Δατάμης ἄνω τοῦ ποταμοῦ πολλὴν ὁδὸν παρελάσας, τὰς ἁμάξας σύνδυο ζεύξας ἐπέθηκεν ἄλλας δύο κατ᾽ αὐτῶν, καὶ συνήλωσε πρὸς ἀλλήλας, καὶ περὶ τοὺς κανθοὺς κάτω σανίδας προσήλωσεν, ὅπως οἱ τροχοὶ ἐς τὴν ἰλὺν τοῦ ποταμοῦ μὴ καταδύοιντο. ἄνδρας δὲ ἐῤῥωμενεστάτους τὰ γενναιότατα τῶν ὑποζυγίων ἐπισύραντας ἀπὸ κάλω διανήξασθαι προσέθηκεν. ἔπειτα ἐνῆγε τὰς προσηλωμένας ἁμάξας εἰς τὸν ποταμὸν, τῶν μὲν ὄπισθεν ὠθούντων, τῶν δὲ διανηξαμένων ἔμπροσθεν ἑλκόν-

mabant. Crediderunt Sinopenſes, et hortabantur, ut quibuscunque rebus opus ad bellum haberet, ab ipſis acciperet. Ille ſe nulla re alia dixit indigere, cum haberet ſummam facultatem pecuniarum, atque hominum: verum qui machinas, arietes, et teſtudines fabricarent, ſe nullos habere, quæ res maximum uſum præſtaret oppugnantibus. Sinopenſes omnes ex urbe fabros et architectos ei miſerunt. Qui eorum artibus uſus, cum magnam copiam navium et tormentorum ædificaſſet, oppugnationem a Seſto ad Sinopam convertit.

3 Datames Euphratem transgreſſus, Magno regi bellum faceſſebat. Ille cum innumerabilibus copiis obviam ei progrediebatur, non admodum commeatu et rebus neceſſariis abundans tardius iter faciens. Datames ſupra fluvium magnam viam contendit, et curribus binis conjunctis, binos alios impoſuit, eosque clavis inter ſe compegit, et juxta canthos ab inferiori parte tabulas affixit, ne rotæ in limum fluminis deprimerentur. Viros autem valentiſſimos, qui optima jumenta fune attraherent, tranare juſſit. Poſtea currus compactos in fluvium im-

ἑλκόντων κάλοις μεγάλοις ἐξηρτημένοις· καὶ ἐπιβαλὼν ἄνω κλήματα, καὶ ξύλα διέβη τὸν ποταμὸν μετὰ τῆς αὐτοῦ δυνάμεως, καὶ ἐς τὴν αὐτοῦ ἀφίκετο ἡμέρας δέκα πρότερον, ἢ τὸν βασιλέα ἐπὶ τὸν ποταμὸν ἀφικέσθαι.

δ' Δατάμης μαθὼν ὡς ἐπιβουλεύοιτο ὑπὸ στρατιωτῶν ἰδίων, [27] ἐν πεδίῳ μέλλων συμβάλλειν πολεμίοις, ἄλλον διεσκεύασε τῇ αὐτοῦ πανοπλίᾳ· ἐν ἄλλῃ δὲ αὐτὸς ἐκινδύνευεν. οἱ δὲ ἐπιθέμενοι ἐγνώσθησαν, ὑπὸ τοῦ σχήματος ἐξαπατηθέντες.

ε' Δατάμης πολιορκῶν Σινώπην, γράμματα παρὰ βασιλέως δεξάμενος, οὐκ ἐῶντος πολιορκεῖν, ἀναγνοὺς, προσεκύνησε τὴν ἐπιστολὴν, καὶ ἔθυσεν εὐαγγέλια, ὡς μεγάλα δὴ ἀγαθὰ παρὰ βασιλέως λαβών· καὶ νυκτὸς ἐπιβὰς τῆς νεὼς, ἀπέπλευσεν.

ς' Δατάμης Αὐτοφραδάτην διώκοντα φεύγων ἧκεν ἐγγὺς ποταμοῦ, τὸν δὲ πόρον ἐκκλίνας προσεποιήσατο στρατοπεδεύειν. τὰς μὲν μεγίστας καὶ ὑψηλοτάτας σκηνὰς, κατὰ πρόσωπον. [28] σκηνώσας, τὰ δὲ σκευοφόρα λύειν ὄπισθεν

27 Quidam Codd. inter quos etiam *Fl.* ἐν Ἀσπενδίῳ.. ἐν Ἀσπενδίῳ πεδίῳ. conj. *Caſ.* 28 Quidam Codd. *Caſaub.* σκηνῆσαι κελεύσας. *Fl.* σκηνῆσαι.

immiſit. Hoc pacto cum poſteriores impellerent, ii vero qui trajecerant, ab anteriore parte traherent magnis funibus ſuſpenſos, injectis ſuperius ſarmentis, atque lignis, fluvium cum ſuis copiis transmiſit, et decem dierum itinere prius quam rex ad flumen perveniret, domum rediit.

4 Datames cum intellexiſſet ſibi inſidias a ſuis militibus parari, in campo pugnam cum hoſtibus conſerturus, alium quendam accinxit armatura ſua: atque ipſe aliam indutus, periculum ſubiit. Sic inſidiatores ſpecie falſi, cogniti ſunt.

5 Datames Sinopam oppugnans, cum litteras accepiſſet a rege, ut oppugnatione deſiſteret, lectam epiſtolam adoravit, et ſacrificia gratulatoria fecit, quaſi magnum ab rege commodum accepiſſet, et nocte conſcenſa navi diſceſſit.

6 Datames Autophradatem perſequentem fugiens, cum prope flumen veniſſet, tranſitum metuens, caſtra ſe poſiturum ſimulavit. Maximis autem et altiſſimis tabernaculis ab anteriore parte

ὄπισθεν ἐκ ἐάσας· ἀλλ' ἐδὲ τοῖς ςρατιώταις ἀποθέσθαι τὰ ὅπλα ἐπιτρέψας. οἱ πολέμιοι τὰς ϛκηνὰς ὁρῶντες, καὶ αὐτοὶ κατεσκήνωσαν· καὶ τὰ σκευοφόρα διέλυσαν· καὶ τὲς ἵππες ἀφῆκαν ἐπὶ νομὴν, καὶ παρασκευῇ τῦ δείπνυ προσεῖχον. Δατάμης ἑτοίμην καὶ διεσκευασμένην ἔχων τὴν δύναμιν, διὰ τῦ ποταμῦ διήγαγεν. οἱ πολέμιοι διεσκεδασμένην τὴν δύναμιν αὐτῶν ἕως ἀνεκάλεν, καὶ συνέλεγον, καὶ συνέταττον, καὶ τὲς ἵππες ἐνεσκεύαζον, καὶ τὰ ὅπλα ἀνελάμβανον, οἱ περὶ Δατάμην φθάσαντες ᾤχοντο.

ζ Δατάμης πολεμίοις παρετασσέτο. ἐν τῷ κινδύνῳ τῆς μάχης ἵππαρχος ἀπὸ κέρως εὐωνύμε τὲς ἱππέας ἀναλαβὼν, ηὐτομόλει πρὸς τὲς ἐναντίες. ὁ δὲ τοῖς πεζοῖς καταπεπληγόσι τὴν προδοσίαν παραθέων, ὅλην τὴν φάλαγγα τηρεῖν παρεκελευέτο· ὡς καὶ τῶν ἱππέων ἐν καιρῷ συνεπιθησομένων, ὃν αὐτὸς εἴη δεδωκώς. ἐπίςευσαν οἱ πεζοὶ, καὶ προλαβεῖν τῶν ἱππέων τὴν νίκην ἔσπευσαν, καὶ αὐτοὶ πάντες εὐρώςως ἐμβαλόντες τοῖς πολεμίοις, ἐνίκησαν· καὶ μετὰ τὴν νίκην ἔμαθον τὴν προδοσίαν τῶν ἱππέων.

ΚΕΦ. ΚΒ.

parte ædificatis, jumenta poſterius ſolvere non permiſit, neque militibus arma deponendi poteſtatem conceſſit. Hoſtes tabernacula conſpicati, etiam ipſi contra ſcenas erigere jumentaque diſſolvere, et equos pabulatum mittere, ac cœnam omni ſtudio parare. Datames cum inſtructo et accincto rebus omnibus exercitu, fluvium trajecit. Hoſtes donec ſuos milites diſperſos revocarent, congregarent, in ordines componerent, equos denique inſtruerent, et arma caperent, Datames transmiſſo flumine, cum ſuis diſceſſit.

7 Datames cum hoſtibus congrediebatur. In pugnæ diſcrimine tribunus equitum aſſumtis a ſiniſtro cornu equitibus ad hoſtes transitionem fecit. Ille per obſtupefactos ac perterritos proditione pedites diſcurrens, hortabatur, ut totam aciem conſervarent: tanquam equitibus etiam ſimul opportuno tempore impreſſionem facturis, quod ipſe præſcripſiſſet. Crediderunt pedites, et equitibus victoriam præripere conabantur: ipſique conferto agmine in hoſtes irruentes, victores diſceſſerunt, poſtque victoriam tandem equitum proditionem cognoverunt.

ΚΕΦ. ΚΒ.
ΚΟΣΙΓΓΑΣ.

Θρᾴκια ἔθνη [29] Κεῤῥήνιοι καὶ .... βοαι· παρὰ τούτοις νόμος, τοὺς ἱερεῖς τῆς Ἥρας ἡγεμόνας ἔχειν. ἦν αὐτοῖς ἱερεὺς, καὶ ἡγεμὼν Κοσίγγας. οἱ Θρᾷκες οὐκ ἐπειθάρχουν. ὁ Κοσίγγας κλίμακας πολλὰς καὶ μεγάλας ξυλίνας ἤγειρε, συνθεὶς ἄλλας ἐπ᾽ ἄλλαις. καὶ λόγος ἦν ἐς τὸν οὐρανὸν ἀναβῆναι [30] κατάρων .... πρὸς τὴν Ἥραν τῶν Θρᾳκῶν ὡς ἀπειθούντων. οἱ δὲ, οἷα δὴ Θρᾷκες, ἀνόητοι καὶ ἄλογοι δείσαντες τὴν ἐς οὐρανὸν, τοῦ ἡγεμόνος ἀνάβασιν, ἱκέτευσαν καὶ ὤμοσαν ἦ μὴν ὑπακούσεσθαι πᾶσιν αὐτοῦ τοῖς προστάγμασι.

ΚΕΦ. ΚΓ.
ΜΑΥΣΩΛΟΣ.

Μαύσωλος βασιλεὺς Καρίας χρήματα παρὰ τῶν φίλων ἐβούλετο λαβεῖν, [31] καὶ φανερῶσαι τὸν ὄκνον ὑπεκρίνατο

29 *Fl.* Κεῤῥήνιοι καὶ Συκαιβόαι. 30 Legendum κατηγορήσοντα vel κατεροῦντα. *Caſaub.* 31 Ita reſtituit hunc locum *Caſ.* καὶ τοῦτο φανερῶσαι αὐτοῖς ὀκνῶν, ὑπεκρίνατο. Βασιλεὺς ἀφαιρεῖταί με. i. e. *atque hoc conſilium ſuum, quum ipſis aperire non auderet, ſimulatione uſus. Rex, ait, regno me ſpoliat.*

CAP. XXII.
COSINGAS.

Thracia gentes habet Ceronias et Scæboas. Hi conſuetudinem habent, ut Junonis ſacerdotibus in bello ducibus utantur. Erat eis ſacerdos et dux Coſingas. Thraces ei dicto audientes eſſe recuſarunt. Coſingas ſcalas plurimas, ingentesque ligneas erigebat, aliasque aliis impoſuit. Fama erat, eum in cœlum ad Junonem aſcendere velle: ac Thraces accuſare, quod obedientiam præſtare nollent. Illi, ut Thraces ſtupidi et inertes, metuentes ducis in cœlum aſcenſum, ſuppliciter obſecrabant, et jure jurando ſe obſtringebant, imperata ejus omnia ſe promte facturos.

CAP. XXIII.
MAUSOLUS.

Mauſolus Cariæ rex pecunias ab amicis colligere volebat, et prodere metum ſimulabat, regem imperio ſpo-

νατο .... βασιλεὺς ἀφαιρεῖται μὲν τὴν ἀρχήν· 32 καὶ καλέσας, τοὺς ἵππους, ἀντίον αὐτῶν προκομίζει τὰ κειμήλια, χρυσὸν, ἄργυρον, ἐσθῆτα, καὶ ὅσα δὴ τοιαῦτα, ὡς ταῦτα πάντα βασιλεῖ πέμψων, ἐφ᾽ ᾧ τε μὴ ἀφαιρεθῆναι τὴν πατρῴαν ἀρχήν. οἱ φίλοι πιστεύουσι Μαυσώλῳ ταῦτα λέγοντι, καὶ αὐτῆς ἡμέρας πλῆθος ἀμήχανον αὐτῷ χρημάτων ἔπεμψαν.

β′ Μαύσωλος βουλόμενος λαβεῖν Λάτμον πόλιν ὀχυρὰν, προσεποιεῖτο φιλικῶς ἔχειν πρὸς τοὺς Λατμίους. ἀπέδωκε μὲν αὐτοῖς τὰ ὅμηρα, ὅσα πολεμῶν Ἰδριεὺς ἔλαβε· φυλακὰς δὲ περὶ τὸ σῶμα Λατμίους εἶχεν, ὡς μόνους πιστούς. 33 ὑπηρετεῖτο δι᾽ αὐτῶν προθύμως ὅσα ἐβούλετο· καὶ δὴ χειρωσάμενος αὐτοὺς ἐς ἀκρότατον εὐνοίας, ᾔτησε παρ᾽ αὐτῶν ἄνδρας τριακοσίους φύλακας ἐς Πύγελα παριὼν, ὡς δεδιὼς Προφυτὸν Ἐφέσιον. οἱ δὲ παραχρῆμα ἐπιλέξαντες τοὺς τριακοσίους ἔπεμψαν· Μαύσωλος λαβὼν τούτους, καὶ τὴν ἄλλην δύναμιν ἔχων, παρὰ τὴν Λάτμον ἐπορεύετο βαδίζων ἐς τὰ Πύγελα· οἱ δὲ ἐκ τῆς πόλεως πάντες ἐξελθόντες,

32 *Idem* ſuſpicatur legendum, καὶ καλέσας τοὺς εὐπόρους.
33 *Interp.* ὑπηρετεῖτο δ᾽ αὐτοῖς πρ. ὅσα ἐβούλοντο. *Fl.* ὑπηρέτει δι᾽ αὐτοῖς. male pro δέ.

ſpoliatum iri: iisque convocatis, equos in eorum conſpectu producit, theſauros, aurum, argentum, veſtem, aliaque ejus generis regi ſe miſſurum dictitans, ne patrio principatu ſpoliaretur. His Mauſoli verbis amici fidem adhibent, eodemque die infinitam pecuniarum multitudinem ei miſerunt.

2 Mauſolus, ut Latmum urbem munitam caperet, amicitiam præ ſe ferebat erga Latmios. Obſides eis reddidit quotquot bello ceperat Hidrieus. Stipatores autem corporis habuit Latmios, quaſi ſolos fideles. Inſerviebat eis prompto animo, quacunque in re vellent: cumque eos ſumma benevolentia obſtrinxiſſet, petiit ab iis viros trecentos ſtipandi corporis cauſſa, ad Pygela iter habens, quaſi metuens Prophytum Epheſium. Illi confeſtim delectos miſerunt. Mauſolus his acceptis, alias etiam copias habens, Latmum tranſibat, proficiſcens ad Pygela. Cives omnes egrediebantur,

θέοντες, ἐπὶ τὴν θέαν τῆς παριούσης 34 δυνάμεως ἐνέδρα-μον. Μαυσώλου δὲ .... πολυάνθρωπος προπαρεσκευασμένη νύκτωρ, προκατελάβετο τὴν πόλιν κενὴν, ἀνεῳγμένων τῶν πυλῶν· καὶ ὁ Μαύσωλος ἐπιστρέψας εἰσῆλθε μετὰ τῆς δυνάμεως ἁπάσης, καὶ Λάτμου κύριος κατέστη.

ΚΕΦ. ΚΔ.

ΒΟΡΓΗΣ.

Βόργης Ἠϊόνος τῆς ἐπὶ Στρυμῶνος ἦρχε, δόντος αὐτῷ τὴν ἀρχὴν μεγάλου βασιλέως. Ἕλληνες ἐπολιόρκουν τὴν Ἠϊόνα· ὁ δὲ Βόργης ἐπὶ μακρὸν ἀντέσχε τῇ πολιορκίᾳ. ὡς δὲ ἀπηγόρευεν, οὐχ ὑπομένων τὸ πιστευθὲν ἐκ βασιλέως χωρίον πολεμίοις προέσθαι, τῇ πόλει πῦρ ἐνῆκεν· ὥς τε αὐτός τε, καὶ γυνὴ, καὶ τέκνα, καὶ πόλις ὁμοῦ συγκατεφλέγησαν.

ΚΕΦ. ΚΕ.

ΔΡΟΜΙΧΑΙΤΗΣ.

Δρομιχαίτης Θρᾳκῶν βασιλεὺς, Λυσίμαχος Μακεδόνων· ἐστράτευσεν ὁ Μακεδὼν ἐπὶ τὴν Θρᾴκην· ὁ Θρᾷξ τὸν Μακε-

34 *Fl.* δυνάμεως. ἐνέδρα δὲ Μαυσωλὸς πολ. Hinc legendum, δυνάμεως. ἐνέδρα δὲ Μαυσώλου πολ. *Maſv.*

ad ſpectandas transeuntes copias. Interim magna militum multitudo per noctem in inſidiis collocata, præoccupavit urbem vacuam hominibus, portisque apertis. Mauſolus converſus, introivit cum univerſo exercitu, et Latmi dominus evaſit.

CAP. XXIV.

BORGES.

Borges Eione in urbe ad Strymonem ſita imperium tenebat, accepto principatu ab rege magno. Græci Eionem oppugnabant. Borges ad multum tempus oppugnationem ſuſtinuit. Cum autem deſperaſſet, ſe creditum a rege oppidum tueri poſſe, neque hoſtibus tradere vellet, ignem urbi ſubjecit, ut ipſe cum uxore ac liberis, totaque urbe ſimul combureretur.

CAP. XXV.

DROMICHÆTES.

Dromichætes rex erat Thracum, Lyſimachus Macedonum. Macedo Thraciæ bellum inferebat. Thrax Macedo-

Μακεδόνα ἐξηπάτησε· στρατηγὸς αὐτοῦ [35] Αἴθης, αὐτόμολος δὴ πρὸς Λυσίμαχον ἥκειν ἐσκήψατο, καὶ πιστὸς εἶναι δόξας, ἐς δυσχωρείας ἐμβάλλει τοὺς Μακεδόνας. ἔνθα λιμῷ καὶ δίψει κακοπαθοῦντας, Δρομιχαίτης προσπεσὼν, αὐτόν τε Λυσίμαχον, καὶ τοὺς μετ᾽ αὐτοῦ πάντας ἀνεῖλεν. ἦσαν οἱ πεσόντες Λυσιμάχιοι ἀνδρῶν μυριάδες δέκα.

ΚΕΦ. Κϛ.
ΑΡΙΟΒΑΡΖΑΝΗΣ.

Ἀριοβαρζάνης Ἀδραμύτειον κατέχων, ἐπολιορκεῖτο ὑπὸ Αὐτοφραδάτου, καὶ κατὰ γῆν καὶ κατὰ θάλασσαν βουλόμενος δὲ τὰ ἐπιτήδεια, καὶ στρατιώτας εἰσαγαγεῖν, ὑπὸ τῶν πολιορκούντων εἰργόμενος, ἐντέλλεται τῷ φρουροῦντι [36] Πτελεοῦντι τὴν προκειμένην νῆσον ὑποκρίνασθαι προδιδόναι τῷ Αὐτοφραδάτῃ, ὁ μὲν πιστεύει τῷ φρουράρχῳ, καὶ πέμπει τὸ ναυτικὸν [37] ὡς ἂν παραλάβῃ τὸ χωρίον. ὁ δὲ Ἀριοβαρζάνης, ἕως αἱ νῆες πρὸς τὴν νῆσον ἔπλεον, ἔφθασεν εἰσκομίσας πλῆθος ἐπιτηδείων καὶ συμμάχων.

ΚΕΦ. ΚΖ.

35 Scribendum Σεύθης, ſed hiſtoria male refertur. *Maſv.*
36 Πτελεῦντι. conj. *Caſaub.* Nam Πτελεὺς loci potius quam viri nomen. 37 *Fl.* ἕως ἂν.

cedonem dolo circumvenit. Dux ejus Æthis transfugæ ſpecie ad Lyſimachum transibat. Qui cum fidelis eſſe crederetur, Macedones in locorum difficultates conjecit. Ibi conflictantes fame, ſitique, Dromichætes adortus, cum ipſum Lyſimachum, tum omnes qui eum ſequebantur, interfecit. Erat Lyſimachiorum, qui ceciderant, numerus, ad centum millia.

CAP. XXVI.
ARIOBARZANES.

Ariobarzanes Andramytium tenens, ab Autophradate terra marique oppugnabatur. Cum autem res neceſſarias ac milites in urbem cuperet inducere, et ab oppugnantibus impediretur, mandatum dat Pteleunti, qui objectam inſulam tum præſidio tenebat, ut ſimularet ſe eam Autophradati proditurum. Qui cum præſidii præfecto crederet, et claſſem ad capiendam inſulam mitteret: Ariobarzanes interea dum naves ad inſulam contendunt, eas prævertens, magnam commeatuum ac militum copiam in urbem importavit.

CAP. XXVII.

ΚΕΦ. ΚΖ.

ΑΥΤΟΦΡΑΔΑΤΗΣ.

Αὐτοφραδάτης ἐμβαλεῖν Πισίδαις βουλόμενος, τὴν εἰσβολὴν στενοπόρον καὶ φυλαττομένην ὁρῶν, προσήγαγε μὲν τὸ στρατόπεδον· πάλιν δὲ ἀπήγαγεν ὀπίσω, μέχρι σταδίων ϛ'· νὺξ ἐπῆλθεν· οἱ μὲν φυλάττοντες τῶν Πισιδῶν ἀπηλλάγησαν, οἰόμενοι τοὺς πολεμίους ἀπεληλυθέναι. ὁ δὲ τῶν ψιλῶν καὶ τῶν ὁπλιτῶν τοὺς ἐλαφροτάτους λαβὼν, πολλῇ σπουδῇ δραμὼν, διῆλθε τὰ στενὰ, καὶ τὴν Πισιδῶν χώραν ἐπόρθησεν.

β' Αὐτοφραδάτης Ἐφεσίων ἀντιστρατοπεδευόντων, ὁρῶν τοὺς πλείονας ἀδολεσχοῦντας, καὶ περιπατοῦντας, προὐκαλέσατο τοὺς ἄρχοντας αὐτῶν προελθεῖν καὶ διαλέξασθαι περὶ τῶν κοινῇ συμφερόντων. οἱ μὲν προῆλθον, καὶ διελέγοντο· οἱ δὲ ἡγεμόνες τῶν ἱππέων καὶ τῶν ὁπλιτῶν πρὸ πολλοῦ παράγγελμα εἶχον, τῶν ἀρχόντων διαλεγομένων ἐμβαλεῖν εἰς τοὺς Ἐφεσίους ἀτάκτως καὶ ἀμελῶς ἔχοντας· καὶ δὴ πολλοὶ τῶν Ἐφεσίων μὲν ἀνῃρέθησαν, οἱ δὲ ζωγρηθέντες ἑάλωσαν.

γ' Αὐτο-

CAP. XXVII.

AUTOPHRADATES.

Autophradates volens in Piſidas impreſſionem facere, aditum anguſtum et præſidiis munitum cernens, adduxit exercitum. Rurſusque eum retro ad ſex ſtadia reduxit. Impetente nocte Piſidæ, qui cuſtodiam adminiſtrabant, diſceſſerunt, exiſtimantes hoſtium exercitum abiiſſe. Ille levis armaturæ militibus et armatis expeditiſſimis aſſumtis, citato curſu anguſtias penetravit, et Piſidarum regionem vaſtavit.

2 Autophradates Epheſiis e regione caſtra figentibus, videns multitudinem nugantem obambulare, principes eorum ad colloquium de communibus rebus habendum, evocavit. Qui progreſſi colloquebantur, Duces equitum et armatorum multo ante præceptum acceperant, ut colloquentibus principibus impetum facerent in Epheſios, ſine ordine diſperſos, et curis vacuos. Itaque magnus Epheſiorum numerus partim occiſi, partim vivi capti ſunt.

3 Auto-

γ' Αὐτοφραδάτης μισθοφόρες ἐξαγαγεῖν βελόμενος ἐπὶ μάχην, λογοποιὲς καθῆκεν ὡς ἕνεκα ἀριθμȣ̃ ποιοῖτο τὴν ἔξοδον· ἵνα τῶν μὴ παραγινομένων μηδὲ καθοπλισαμένων τὸν μισθὸν ἀποςερήσειεν. οἱ ςρατιῶται σπεδῇ πάντες ἐξωπλίσαντο, καὶ προῆλθον· ἦν δὲ ἄρα ἐκ ἐπίδειξις ἀριθμȣ̃ τὸ δρώμενον· ἀλλὰ παρασκευὴ πολέμε τῷ πλήθει τὲς ἐναντίες ἐκπλήττεσα.

ΚΕΦ. ΚΗ.
ΑΡΣΑΒΗΣ.

38 Ἀρσάβης ἐπολιόρκει Βαρκαίες· τῶν δὲ πρὸς αὐτὸν πρεσβευσαμένων περὶ διαλύσεως, ὡμολόγησε, καὶ δεξιὰν αὐτοῖς ἔπεμψε νόμῳ Περσικῷ, καὶ τὴν πολιορκίαν διαλύσας, παρεκάλει Βαρκαίες βασιλεῖ κοινωνῆσαι τῆς ἐπὶ τὴν Ἑλλάδα ςρατείας, καὶ πέμπειν αὐτῷ τὴν τῶν ἁρμάτων βοήθειαν. οἱ δὲ τὲς ἄρχοντας ἔπεμψαν βελευσομένες μετ' αὐτȣ̃ περὶ τῆς συμμαχίας. Ἀρσάβης λαμπρὰν ὑποδοχὴν παρασκευασάμενος εἱςία τὲς ἄρχοντας, καὶ παρέθηκεν ἀγορὰν πᾶσι Βαρκαίοις ἐπιτηδείων ἀφθόνων. τῶν δὲ ἐπὶ τὴν ἀγορὰν προελθόν-

38 Scribendum videtur Ἀρσάμης, quomodo in ſuis reperit Interpres. *Maſv.*

3 Autophradates mercenarios ad pugnam volens educere, ſubmiſit qui rumorem ſererent, eum habendi numeri cauſſa expeditionem facere, ut eorum, qui præſentes aut armati non eſſent, ſtipendium retineret. Milites ſumma alacritate omnes aptatis armis progrediebantur. Tum ipſa res declaravit, non eſſe recenſum, quem intenderet, ſed apparatum belli multitudine hoſtes terrentem.

CAP. XXVIII.
ARSAMES.

Arſames Barcæos oppugnabat. Quibus legatos ad eum mittentibus de pace, conceſſit, dextramque eis miſit Perſica conſuetudine, et oppugnationem ſolvens, hortabatur Barcæos, ut cum rege ſe conjungerent, in expeditione adverſus Græciam ſuſcipienda: eique curruum auxilia mitterent. Qui principes ſuos miſerunt, qui cum eo de ſocietate conſilium caperent. Arſames opiparo convivio parato, principes invitavit, omnibusque Barcæis forum abundans rebus omnibus aperuit. Quibus ad emendum

ελθόντων, σημεῖον ἦρε τοῖς Πέρσαις· οἱ δὲ μετὰ ἐγχειριδίων καταλαβόμενοι τὰς πύλας, καὶ εἰσπεσόντες διήρπασαν τὴν πόλιν, τοὺς ἐγχειροῦντας κωλύειν φονεύοντες.

β΄ Ἀρσάβης ἀποστὰς βασιλέως, Φρυγίας τῆς μεγάλης κρατῶν, συμβαλεῖν μάχην ἔμελλε τοῖς ἐκ βασιλέως ἐς αὐτὸν ἥκουσιν. ἵππαρχος ἱππέων συνέθετο τοῖς πολεμίοις, ἐπειδὰν προσάγοι αὐτομολήσειν πρὸς αὐτούς· τὴν προδοσίαν ἔμαθεν Ἀρσάβης· καὶ νύκτωρ ἐπὶ τὴν σκηνὴν ἀφικόμενος, ἐβασάνισε τὸν ἵππαρχον. ἐπειδὴ ὡμολόγησε, τὰ ὅπλα τῶν ἱππέων, καὶ τὰς ἐσθῆτας περιέθηκεν ἄλλοις, μάλιστα δὴ πιστοῖς, καὶ τῇ τοῦ ἱππάρχου σκευῇ ἄλλον ὥπλισεν ἵππαρχον, καὶ προσέταξεν αὐτοῖς, ὅταν ἴδωσι τὸ σημεῖον ἀρθὲν ἀπὸ τῶν ἐναντίων, αὐτομολεῖν· παριππεύσαντας δὲ καὶ παραλλάξαντας αὐτῶν τὴν φάλαγγα, ἐπιστρέψαντας, κατὰ νώτου τὴν ἐμβολὴν ποιήσασθαι. τούτων οὕτως συγκειμένων [39] κατὰ νώτου μὲν ἐνέβαλλον· ἐξ ἐναντίου δὲ τὴν δύναμιν Ἀρσάβης προσήγαγεν. οἱ πολέμιοι δὲ λύσαντες τὴν τάξιν ἔφευγον· καὶ οἱ πλείονες αὐτῶν ἐν τῇ φυγῇ διεφθείροντο.

ΚΕΦ. ΚΘ.

39 *Fl.* κατὰ νώτου μὲν ἐνέβαλλον οἶτοι. Forſitan ἔξοι. *Maſp.*

mendum progreſſis, ſignum dedit Perſis. Qui pugionibus armati, portas occuparunt, et irruentes urbem diripuerunt, interfectis omnibus, qui reſiſtere conarentur.

2 Arſames defectione ab Rege facta, potitus majore Phrygia, cum iis, qui contra eum ab rege miſſi fuerant, prælium conſerere inſtituit. Præfectus equitum cum hoſtibus paciſcebatur, ſe, cum in aciem ventum eſſet, ad eos tranſiturum. Arſames proditione cognita, per noctem ad præfecti equitum tabernaculum adiens, eum in quæſtionibus examinavit. Qui cum facinus confiteretur, equitum arma, veſtesque aliis induendas dedit, quibus ſummam fidem habebat: et equitum præfecti armatura quendam alium hipparchum inſtruxit, eisque præcepit, ut cum ſignum ab hoſtibus ſublatum cernerent, ad eos tranſirent, et obequitantes, prætereuntesque eorum agmen, a tergo converſi, impetum in eos facerent. His ita conſtitutis, a tergo impreſſionem faciebant. Arſames autem a facie exercitum adduxit. Hoſtes ordinibus diſſolutis terga verterunt, et complures ex eis inter fugiendum perierunt.

CAP. XXIX.

ΚΕΦ. ΚΘ.

ΜΙΘΡΙΔΑΤΗΣ.

Μιθριδάτῃ ὁ βασιλεὺς προσέταξεν, ἀποστάντα Δατάμην κτεῖναι, 40 ἢ ἄγειν. Μιθριδάτης ὑποκρίνεται καὶ αὐτὸς ἀποστῆναι βασιλέως. οὐ μὲν ὅγε Δατάμης ἐπίστευσεν, εἰ μὴ πρόσθεν πολλὰ λυμανεῖται τῇ βασιλέως ἀρχῇ. καὶ δὴ πολλὰ ἐλυμήνατο. Φρούρια βασιλέως κατέσκαψε, κώμας κατέπρησε, φόρους ἥρπασε, λείαν ἤλασεν· ἔδειξεν ἄρα πολέμιος εἶναι βασιλεῖ. ἄμφω δὴ τότε συνηλθέτην γυμνὼ διαλεξομένω περὶ ὧν χρή. Μιθριδάτης ἐν τῷ χωρίῳ τούτῳ προκατεσκευάσατο νύκτωρ ἐγχειρίδια πολλά, κεκρυμμένον ἄλλο ἀλλαχοῦ· καὶ τούτοις ἐπέκειτο σημεῖον· διαλεγόμενος δὴ προσῆγεν αὐτὸν ἠρέμα βαδίζων. ἐπεὶ δὲ ἅλις ἦν τοῦ λόγου, Δατάμης ἀσπασάμενος ἀπῄει· Μιθριδάτης ἓν τῶν ἐγχειριδίων ἀνελόμενος διὰ τάχους, καὶ ὑπὸ τῇ ἀριστερᾷ χειρὶ κρύψας, ἀνεκαλέσατο Δατάμην, ὡς ἐπιλαθόμενος δὴ τινῶν ἃ ἐχρῆν εἰπεῖν· προελθόντα δὲ ἐκεῖνο τὸ ὄρος ἐκέλευ-

40 Quidam Codd. ἢ ἄγεσθαι. *Caſ.*

CAP. XXIX.

MITHRIDATES.

Mithridati rex præcepit, ut Datamem, qui defectionem fecerat, occideret, aut vivum adduceret. Mithridates etiam ipſe ſimulabat, ſe defecturum a rege. Datames ejus verbis credere noluit, niſi prius magnum damnum regis ditioni intuliſſet. Qui magnam intulit vaſtitatem, caſtella regis ſolo æquavit, vicos incendit: tributa per vim rapuit, prædam abegit. Cum multis rebus oſtendiſſet, ſe regi infeſtum eſſe, ambo ſimul inermes convenerunt ad colloquendum, quid fieri oporteret. Mithridates in eo loco multos pugiones noctu comparaverat, aliumque alibi abdiderat, et his ſignum impoſuerat. Colloquendo igitur eum longius abduxit, pedetentim ambulans. Cum ſatis eſſet diſſertum, Datames dicta ſalute abitum parabat. Mithridates unum ex pugionibus celeriter arripiens, eoque ſub manu ſiniſtra occultato, revocavit Datamem, quaſi oblitus aliquid, quod dicere neceſſe eſſet. Advenientem autem juſſit montem illum munire: ſic

ἐκέλευσεν ὀχυρῶσαι μάλιστα. οὕτως ἀφορῶντα Δατάμην ἐς τὸ ὄρος τῷ ἐγχειριδίῳ Μιθριδάτης πλήξας ἀπέκτεινεν.

β′ Μιθριδάτης ἐν Παφλαγονίᾳ καταφυγὼν ἐς πόλιν, 41 ὅπως ἂν προλάβοι ὡς πλείστην ὁδὸν τοὺς διώκοντας πολεμίους, ὅσα ἦν ἐν ταῖς οἰκίαις ἔπιπλα καὶ σκεύη προὔθηκεν ἔξω· καὶ νύκτωρ αὐτὸς ἀπέδρα. οἱ διώκοντες ἐμβαλόντες τῇ πόλει, καὶ τὰ σκεύη προκείμενα ἰδόντες, πρὸς ἁρπαγὴν ὥρμησαν· τῶν δὲ ἡγεμόνων διώκειν κελευόντων οὐχ ὑπήκουσαν· ὠφέλειαν φανερὰν οὐ καλὸν ἡγούμενοι προέσθαι. Μιθριδάτης δὲ πολλοῦ τῆς ὁδοῦ προλαβὼν ἀπιὼν ᾤχετο.

ΚΕΦ. Λ.

ΜΕΜΨΙΣ.

Μέμψις Ἀριββαίου στρατεύσαντος, ὅπως τειχήρης μὴ γένοιτο πάντα ἔξω τείχους προήγαγεν, καὶ πρὸ τῆς πόλεως ἔταξε γυναῖκας, τέκνα, χρήματα· τὰς δὲ πύλας τοῦ τείχους ἀπῳκοδόμησεν. Ἀριββαῖος τὴν παρασκευὴν τῆς ἀπο-νοίας

41 *Caſaub.* mavult ὅπως ἂν πρ. ὡς πλ. ὁδὸν, φθάσας τοὺς διώκ. π.

ſic Datamem ſtudioſe montem intuentem Mithridates pugione percuſſum interfecit.

2 Mithridates in Paphlagonia confugiens in quandam civitatem, ut longo itinere perſequentes hoſtes anteverteret, quotquot in ædibus reperiebat utenſilia, vaſaque in publico foris collocavit, et ſub noctem ipſe fugam capeſſit. Perſequentes cum in urbem irruiſſent, vaſa in medio propoſita conſpicati, ad rapinam convertebantur. Ducibus autem perſequi jubentibus morem gerere noluerunt, non commodum eſſe rati, manifeſtam utilitatem ex manibus dimittere. Mithridates interea temporis magna via confecta evaſit.

CAP. XXX.

MEMPSIS.

Mempſis Aribæo bellum inferente, ne intra mœnia concluderetur, omnia protulit extra murum, et pro civitate collocavit uxores, liberos, pecunias: portas autem civitatis deſtruxit. Aribæus apparatum eorum deſpera-

γοίας αὐτῶν φοβηθεὶς, καὶ ὅτι μέχρι θανάτου μαχοῦνται, τὴν στρατιὰν ἀπήγαγεν.

ΚΕΦ. ΛΑ.
ΚΕΡΣΟΒΛΕΠΤΗΣ.

Κερσοβλέπτης ἀποστάντων αὐτοῦ συγγενῶν πολλὰ χρήμαματα ὑπεκτεθειμένων, διαλυσάμενος πρὸς αὐτοὺς, κατέστησε πόλεων ἄρχοντας, διαστήσας ἀπ' ἀλλήλων. ἐπεὶ δὲ χρόνου διαγενομένου τὰ ὑποκείμενα χρήματα μετεπέμψατο, συλλαβὼν αὐτοὺς τῶν πόλεων ἐξήλασε, καὶ τῶν χρημάτων αὐτὸς ἐκράτησεν.

ΚΕΦ. ΛΒ.
ΣΕΥΘΗΣ.

Σεύθης ἵππαρχος Κερσοβλέπτου ἐν σπάνει χρημάτων προσέταξε τῶν γεωργῶν ἑκάστῳ πέντε μεδίμνων χωρίον αὐτῷ κατασπεῖραι· οἱ μὲν κατέσπειραν, πολὺ πλῆθος γεωργῶν· σίτου δὲ παμπόλλου γενομένου, καταγαγὼν αὐτὸν ἐπὶ θάλατταν ἐπίπρασκεν, ὑφέμενός τι τῆς τιμῆς, ὥς τε ταχέως τῷ Κερσοβλέπτῃ πολλὰ χρήματα συνελέξατο.

ΚΕΦ. ΛΓ.

ſperationi ſimilem veritus, metuensque ne ad mortem uſque prælium facerent, exercitum abduxit.

CAP. XXXI.
CERSOBLEPTES.

Cerſobleptes, cum ejus cognati deſciſcentes, magnam pecuniarum vim clam extuliſſent, facta pace, civitatum eis præfecturas attribuit, eosque ab ſe invicem disjunxit. Cum aliquantum temporis interceſſiſſet, pecuniasque exigeret, comprehenſos eos ex urbibus ejecit, et pecunias ipſe poſſedit.

CAP. XXXII.
SEUTHES.

Seuthes præfectus equitum Cerſobleptæ, in ſumma pecuniarum inopia conſtitutus, mandavit, ut quilibet agricola quinque modiorum agrum ſibi ſereret. Qui quidem ſeverunt, magna autem erat colonorum multitudo. Cum igitur ingens frumenti copia proveniſſet, devectum illud in mare vendidit, remittens aliquantum de pretio. Ea ratione multas ſubito pecunias Cerſobleptæ confecit.

ΚΕΦ. ΛΓ.

ΑΡΤΑΒΑΖΟΣ.

Ἀρταβάζῳ πολιορκοῦντί τινα πόλιν, Τιμόξενος Σικυώνιος προὐδίδου τὴν πόλιν. ἀμφότεροι συνέθεντο, τῷ βέλει προσάψαντας βραχὺ βιβλίδιον, τοξεύειν εἴς τινα τόπον συγκείμενον, κἀκεῖθεν τὰς ἐπιστολὰς ἀναλαμβάνειν.

β' Ἀρτάβαζος ὑποπτεύσας Παμμένη κοινολογεῖσθαι τοῖς πολεμίοις, 42 ἐκάλεσεν αὐτὸν ὡς δῶρα δώσων, καὶ σῖτον τοῖς στρατιώταις μετρήσων. ἐλθόντα συλλαβὼν, τὸ στρατόπεδον τοῖς ἀδελφοῖς Ὀξύθρᾳ καὶ Διβίκτῳ παρέδωκεν.

γ' Ἀρτάβαζος Φαρνάκου φεύγων ἐκ Πλαταιέων, προῆλθεν ἐς Θετταλίαν. τῶν δὲ Θετταλῶν ἐρομένων περὶ τῆς μάχης, δείσας ὁμολογῆσαι τὴν ἧτταν· αὐτὸς μὲν ἔφη σπεύδειν ἐς Θρᾴκην πράξων βασιλέως ἀπόῤῥητα· Μαρδόνιος δὲ νενικηκὼς ἕπεται, καὶ τὰ ἔργα τῆς νίκης αὐτὸς ἀπαγγέλλει. Ἀρτάβαζος μὲν ἀπάτῃ νίκης Θετταλίαν διεξῆλθε· Θετταλοὶ δὲ αὐτίκα τὴν Περσῶν ἧτταν ἐμάνθανον.

ΚΕΦ. ΛΔ.

42 Ἐκέλευσεν. R

CAP. XXXIII.

ARTABAZUS.

Artabazo oppugnanti civitatem quandam, Timoxenus Sicyonius urbem prodidit. Convenit inter utroſque, exiguum libellum in telo ſuſpenſum, in locum conſtitutum ejaculari, atque inde epiſtolas recipere.

2 Artabazus cum ſuſpicaretur Pammenem cum hoſtibus conſilia inire, vocavit eum quaſi munera largiturus, et militibus frumentum menſurus. venientem in caſtra comprehendit, eumque fratribus Oxythræ atque Dibicto tradidit.

3 Artabazus, Pharnacis filius, fugiens a Platæis, in Theſſaliam venit. Theſſalis interrogantibus de pugna, non audens confiteri calamitatem, reſpondebat, ſe in Thraciam properare, et arcanum regis mandatum perficere velle: Mardonius autem victor ſequitur, et ipſe victoriæ nuntium apportat. Artabazus victoriam prætendens, Theſſaliam tranſiit. Theſſali vero ſtatim Perſarum cladem perceperunt.

CAP. XXXIV.

ΚΕΦ. ΛΔ.
ΑΡΥΑΝΔΗΣ.

Ἀρυάνδης τὴν Βαρκαίων πόλιν πολιορκῶν, νυκτὸς ὀρύξας τάφρον, ξύλα ἀσθενῆ διατείνας, καὶ γῆν ὀλίγην ἐπιβαλὼν, μεθ' ἡμέραν προκαλεῖται Βαρκαίους ἐπὶ σπονδὰς, καὶ στὰς μετὰ τῶν τὰ ὅρκια τεμνόντων ἐπὶ τῆς κρυπτῆς τάφρου, ὤμοσεν ἐφ' ὅσον οὕτως ἡ γῆ 43 μένει, φυλάξειν τὰ συγκείμενα· οἱ Βαρκαῖοι μετὰ τοὺς ὅρκους ἀνέῳξαν τὰς πύλας. οἱ περὶ τὸν Ἀρυάνδην, καταῤῥήξαντες τὴν τάφρον, κατελάβοντο τὴν πόλιν· ὡς μηκέτι τῆς γῆς μενούσης ἐφ' ἧς ὤμοσαν.

ΚΕΦ. ΛΕ.
ΒΡΕΝΝΟΣ.

Βρέννος Γαλατῶν βασιλεὺς πεῖσαι βουλόμενος αὐτοὺς ἐπὶ τὴν Ἑλλάδα στρατεῦσαι, συναγαγὼν ἐκκλησίαν ἀνδρῶν καὶ γυναικῶν, προήγαγεν αἰχμαλώτους Ἕλληνας, ἐλαχίστους τὰ σώματα καὶ ἀσθενεστάτους, τὰς κεφαλὰς ἀπεξυρημένους, τριβώνια ῥυπῶντα περιβεβλημένους· καὶ παρέστησεν αὐτοῖς τῶν

43 Μενεῖ. *Caſaub.* in margine.

CAP. XXXIV.
ARYANDES.

Aryandes Barcæorum urbem oppugnans, nocte foſſam duxit, lignis imbecillibus transverſim poſitis, exiguaque terra injecta. Interdiu Barcæos ad fœdus ineundum vocat, ſtansque cum iis, qui fœdus percuterent, ſuper latentem foſſam juravit: Quamdiu terra permaneret, ſe conventa ſervaturum. Barcæi poſt jusjurandum peractum, portas aperuerunt. Aryandæ milites effracta foſſa civitatem occupaverunt, cum non amplius terra maneret, in qua juraverant.

CAP. XXXV.
BRENNUS.

Brennus rex Gallorum, volens eis perſuadere, ut expeditionem in Græciam ſuſciperent, convocatis in concionem viris et mulieribus, produxit captivos Græcos, viliſſimis corporibus et infirmiſſimis præditos, capitibus raſis, et ſordidis palliis amictos: juxtaque eos ma-

τῶν Γαλατῶν τοὺς μεγίστους καὶ τοὺς εὐειδεστάτους, Γαλατικὴν ὅπλισιν ἔχοντας. τοῦτο ποιήσας, ἡμεῖς, εἶπεν, οἱ τηλικοῦτοι, καὶ τοιοῦτοι, πρὸς τοὺς οὕτως ἀσθενεῖς καὶ μικροὺς πολεμήσομεν. οὕτως ἐπείσθησαν Γαλάται, καταφρονήσαντες Ἑλλήνων ἐλθεῖν ἐπὶ τὴν Ἑλλάδα.

β′ Βρέννος Γαλάτας ἀγαγὼν ἐπὶ τὴν Ἑλλάδα θεώμενος τοὺς ἐν Δελφοῖς χρυσοῦς ἀνδριάντας, προσκαλεσάμενος Δελφοὺς αἰχμαλώτους διὰ τοῦ ἑρμηνέως ἤρετο, εἰ στερεὸν εἴη τὸ χρυσίον τῶν ἀναθημάτων· εἰπόντων δὲ, τὰ μὲν ἔνδον ἐστὶ χαλκὸς, τὰ δὲ ἔξωθεν χρυσὸς ἐπιλήλαται λεπτός· ἠπειλήσατο θάνατον ἅπασιν, εἰ τοῦτο [44] πρὸς ἀλλήλους [45] ὁμολογήσουσιν. ἀλλὰ καὶ τοὐναντίον λέγειν παρήγγειλεν, ὡς ἔστιν ἅπαντα χρυσὸς [46] αὐτῷ δὴ σφυρήλατος. καὶ δὴ τῶν ἡγεμόνων ἔνδον τινὰς καλέσας, τοὺς αἰχμαλώτους ὁμοίως ἤρετο. τῶν δὲ τὸ προσαχθὲν εἰπόντων, ὡς πάντα εἴη χρυσὸς, ἐκέλευσεν αὐτοὺς ἀναγγέλλειν τοῖς πλήθεσιν, ἵνα μάχοιντο εὐθυμότερον, ὡς ἐπιληψόμενοι χρυσοῦ μοίρας μεγίστας.

ΚΕΦ. Λϛ.

44 Πρὸς ἄλλους, *Interpres*, quod melius eſt. *Maſv.* 45 MS. ὁμολογήσειαν. 46 αὐτάς. conj. *Caſaub.*

maximos Gallorum collocavit et ſpecioſiſſimos, Gallicam armaturam indutos. Hoc facto, nos, inquit, tanti ac tales contra homines ita imbecilles et parvos bellum geremus. Hoc modo Galli, contemtis Græcis, adducti ſunt, ut proficiſci cum exercitu in Græciam non dubitarent.

2 Brennus Gallos ducens in Græciam, cum Delphis aureas ſtatuas conſpexiſſet, arceſſivit Delphos captivos, eosque per interpretem interrogavit, an ſolidum eſſet aurum donariorum. Quibus affirmantibus intus æs eſſe, foris autem aurum leviter aſperſum: mortem omnibus minabatur, ſi hoc aliis enuntiarent. imo contrarium dicere juſſit, nihil eſſe præter aurum fabricatum. Tum duces intro vocavit, et eundem modum captivos interrogavit. Quibus, ut imperatum erat, reſpondentibus aurum eſſe purum, juſſit eos multitudini renuntiare, ut ſperantes ſe maximas auri portiones accepturos, alacrius pugnam facerent.

CAP. XXXVI.

ΚΕΦ. Λϛ.

ΜΥΓΔΟΝΙΟΣ.

Μυγδόνιος πολεμίων προσκαθημένων, λιμῷ πιεζόμενος, σωροὺς ὑπερμεγέθεις γῆς καὶ λίθων ἐν τῇ ἀγορᾷ νήσας, καὶ περιαλείψας πηλῷ, τοῖς μὲν πυροὺς, τοῖς δὲ κριθὰς [47] ἔβαλε, καὶ θρέψας ἡμιόνους μεγίστους, καὶ πιοτάτους ἐκτὸς τείχους ἀφῆκεν. τούτους μὲν οἱ πολέμιοι συνέλαβον· ὁ δὲ κήρυκα πέμψας ἠξίωσε [48] πέμψειν τοὺς περὶ λύτρων συμβησομένους· κήρυκες ἧκον, πρὸς οὓς ἐπὶ τῆς ἀγορᾶς Μυγδόνιος συνέβαινεν. οἱ δὲ σωροὺς μεγάλους πυρῶν καὶ κριθῶν ἰδόντες, καὶ ὑπηρέτας, καὶ ἄλλους ἀλλαχόθεν ἀξιοῦντας μετρεῖσθαι. ταῦτα ἐπανελθόντες τοῖς πολεμίοις ἤγγειλαν· οἱ δὲ καὶ τὸ εὐτραφὲς τῶν ἡμιόνων ἑωρακότες, καὶ τὴν παρασκευὴν τῶν τροφῶν, τοῖς κήρυξι πιστεύσαντες, ὡς οὐκ ἂν δυνάμενοι χρόνῳ μακρῷ τὴν πόλιν ἑλεῖν, ἀνέζευξαν.

ΚΕΦ. ΛΖ.

47 Ἐπέβαλε. MS. *Caſaub.* 48 Πέμψαι. MS.

CAP. XXXVI.

MYGDONIUS.

Mygdonius hoſtibus obſidentibus fame laborans, acervos maximos terræ, lapidumque in foro exſtruxit, eosque compingens luto, in alios triticum, in alios hordeum injecit, et mulos ingenti magnitudine, pinguiſſimosque alens, extra mœnia dimiſit. Eos hoſtes comprehenderunt. Ille præcone miſſo rogavit, ut mitterent qui de redemtionis pretio tranſigerent. Venerunt legati, quos Mygdonius in foro convenit. Illi maximos acervos tritici, hordeique videntes, et alios alibi demenſum ſibi expetentes, reverſi hæc hoſtibus nuntiarunt. Qui pinguedinem mulorum conſpicati, fidemque de ciborum apparatu legatis habentes, longo tempore ſe civitatem capere non poſſe exiſtimarunt, et ob eam cauſſam diſceſſerunt,

ΚΕΦ. ΛΖ

ΠΑΡΙΣΑΔΗΣ.

Παρισάδης Πόντου βασιλεὺς, ἐν ἄλλῃ μὲν ἐσθῆτι τοὺς στρατιώτας ἐξήταζεν· ἐν ἄλλῃ δὲ πρὸς τοὺς πολεμίους ἐκινδύνευεν· ἄλλῃ δὲ, εἰ φυγῆς καιρὸς ἦν, ἔφευγεν. ἐκτάττων μὲν γὰρ ἐβούλετο εἶναι πᾶσιν ἐπιφανής· κινδυνεύων δὲ μηδενὶ τῶν πολεμίων καταφανής. φεύγων δὲ μήτε τοῖς οἰκείοις, μήτε τοῖς ἐναντίοις γνώριμος.

ΚΕΦ. ΛΗ.

ΣΕΥΘΗΣ.

Σεύθης Ἀθηναίων τὰ ἐπὶ θάλατταν διὰ τῆς Χερρονήσου πορθούντων, μισθωσάμενος Γέτας ψιλοὺς δισχιλίους δι' ἀποῤῥήτων συνέταξεν ὡς πολεμίους ἐμβαλόντας πυρπολεῖν τὴν χώραν, καὶ βάλλειν τοὺς ἐπὶ τῶν τειχῶν. Ἀθηναῖοι ταῦτα ὁρῶντες, καὶ πολεμίους τῶν Θρᾳκῶν ἡγησάμενοι τοὺς Γέτας ἀπὸ τῶν δρωμένων, ἐκβάντες θαῤῥοῦντες τῶν νεῶν, προσῆγον τοῖς τείχεσιν· ὁ μὲν Σεύθης προεξῆλθε τῶν τειχῶν ἐναντίος τοῖς Ἀθηναίοις· καὶ οἱ Γέται δὲ ὡς μετ' αὐτῶν

CAP. XXXVII.

PARISADES.

Pariſades rex Ponti, aliam veſtem habere ſolebat, cum milites luſtraret: aliam, cum periculum adverſus hoſtes ſubiret: in alia, ſi quando fugam tempus poſtularet, fugiebat. Nam ordines inſtruens, ab omnibus cognoſci: periclitans, nemini hoſtium notus eſſe: fugiens autem, neque ſuos neque hoſtes ſcire, quis eſſet, voluit.

CAP. XXXVIII.

SEUTHES.

Seuthes Athenienſibus maritimas regiones per Cherroneſum populantibus, duo millia Getarum levis armaturæ conduxit, eosque more hoſtium irruptionem facere, ignique regionem vaſtare juſſit, et in eos, qui in muris conſiſterent, tela conjicere. Hæc Athenienſes conſpicati, et hoſtes eſſe Thracum ex his quæ patrabantur conjicientes, audacter e navibus egreſſi, ad mœnia contendebant. Seuthes extra muros obviam Athenienſibus prodiit, et Getæ quaſi

τῶν παρατάττεσθαι μέλλοντες· ἐπεὶ δὲ κατόπιν ἐγένοντο, λαβόντες ὀπίσω τοὺς πολεμίους, ἔνθεν μὲν οἱ Θρᾶκες, ἔνθεν δὲ οἱ Γέται, πάντας αὐτοὺς διέφθειραν.

ΚΕΦ. ΛΘ.

ΧΕΙΛΗΣ.

[49] Χείλης τρισχιλίους Περσῶν νεωτερίζοντας κτεῖναι βουλόμενος, ἐσκήψατο Σέλευκον αὐτῷ δι᾽ ἐπιστολῆς χαλεπῶς ἀπειλεῖν· αὐτὸς δὲ τῇ τούτων συμμαχίᾳ χρησάμενος ἐθέλειν αὐτὸν προλαβεῖν, ὅπως δ᾽ ἂν βουλὴν ἀγάγοιεν. συνέταξεν [50] αὐτοῖς ἀπαντᾷν ἐς κώμην, Ῥάνδαν καλουμένην. οἱ μὲν πιστεύσαντες ἧκον. ὁ δὲ· ἦν γὰρ ἕλος βαθὺ καὶ κοῖλον ὑπὸ τὴν κώμην· ἐνταῦθα Μακεδόνων καὶ Θρᾳκῶν ἱππεῖς τριακοσίους, ὁπλιτῶν τρεῖς χιλιάδας ἀποκρύψας, συνέταξεν, ὅταν ἴδωσι πέλτην χαλκὴν ἀρθεῖσαν, ἐκδραμόντας ἀναιρῆσαι πάντας τοὺς ἠθροισμένους· ἀνεδείχθη μὲν ἡ πέλτη· οἱ δὲ ἐκδραμόντες τοὺς τρισχιλίους Πέρσας κατεφόνευσαν.

ΚΕΦ. Μ.

[49] Σείλης MS. et Interpres. [50] MS. αὐτούς.

quaſi cum illis ſe conjuncturi, poſtquam ad tergum evaſerunt, intercluſis retro hoſtibus, hinc Thraces, illinc Getæ magnum eorum numerum occiderunt.

CAP. XXXIX.

SEILES.

Seiles, ut tria millia Perſarum, qui novis rebus ſtudebant, morti traderet, finxit Seleucum per litteras ſibi graviter minari. Se vero ipſorum auxilio, ad prævertendam ejus iram uti ſtatuiſſe. Ad conſilium vero agitandum conſtituit, ut omnes in vicum quendam, nomine Rhandam convenirent. Illi credentes ejus ſermonibus, venerunt. At ipſe (erat enim palus ſub vico profunda) in eo loco Macedonum et Thracum equitibus trecentis, armatisque ter mille collocatis, præcepit, ut cum peltam ferream tolli vidiſſent, excurſione facta omnes ibi collectos perimerent. Qui oſtenſa pelta excurrentes, tria millia Perſarum ad unum omnes conciderunt.

ΚΕΦ. Μ.

ΒΟΡΖΟΣ.

[51] Βόρζος τρισχιλίους ἄνδρας, τῶν ἐν τῇ Περσίδι κατοίκων, ἐπιβουλεύοντας αἰσθόμενος ἀπεπέμψατο, δοὺς ἡγεμόνας τῶν ὁδῶν, οἳ προήγαγον αὐτοὺς εἴς τινα τόπον τῆς Περσίδος ὃς καλεῖται Κωματὸς, ἔνθα κῶμαι πυκναὶ, καὶ λεὼς πολὺς, καὶ σταθμοὶ πολλοί· ἐπεὶ δὲ ἄλλος ἐν ἄλλῳ σταθμῷ κατήγετο, φυλακῆς ἰσχυρᾶς κυκλωσαμένης τὰς κώμας, ἕκαστος τῶν σταθμούχων τὸν ἴδιον ἐπίσταθμον εὖ μάλα καταμεθύσας ἀπέκτεινε· τὰ δὲ σώματα τῶν τρισχιλίων ταφέντα, διὰ νυκτὸς ἀφανῆ ἐγένοντο.

ΚΕΦ. ΜΑ.

ΣΟΥΡΗΝΑΣ.

Σουρήνας Παρθυαίων ἡγούμενος [52] Κράσσον μετὰ πολλῆς ἥττης ἀναχωροῦντα, καὶ διὰ τῶν [53] ὀρεινοτέρων ὁδεύειν πειρώ-

51 MS. Ὀβόρζος, quomodo *Interpres* etiam legit in Indice, ubi MS. Ὀβόραζος. 52 *Caſaub.* putat ὁρῶν deeſſe vel ſcribendum Κράσσου ἀναχωροῦντος et πειρωμένου. 53 MS. ὀρθιωτέρων.

CAP. XL.

ABORZUS.

Aborzus cum a tribus millibus hominum in Perſide incolentium, ſibi inſidias parari ſenſiſſet, eos ablegavit, additis viarum ducibus, qui deduxerunt eos in locum quendam Perſidis nomine Comaſtum. Ibi vicorum inſignis multitudo, hominumque magna frequentia, multaque diverſoria. Cum autem alius apud alium hoſpitem diverteret, fortiſſimo præſidio vicos cingente, quilibet hoſpes ſuum diverſorem inebriatum occidit. corpora vero trium millium terræ mandata per noctem, deque medio ſublata ſunt.

CAP. XLI.

SURENAS.

Surenas Parthorum dux, cum Craſſus turpiter prælio fugatus diſcederet, et per montana iter facere conaretur,

πειρώμενον, τὴν ἐξ ἀπονοίας μάχην φοβούμενος, ἔπεμψε πρεσβευτὴν ὡς αὐτὸν, λέγοντα, συντίθεταί σοι φιλίαν βασιλεὺς μέγας, δείξας Ῥωμαίοις ἀνδρείαν, νῦν δεῖξαι βούλεται φιλανθρωπίαν. Κράσσος δόλον ὑφορώμενος, οὐκ ἐπείθετο. οἱ στρατιῶται ἀθυμοῦντες, καὶ ἀπειρηκότες, ἐβιάσαντο αὐτὸν τὰ ὅπλα κρούσαντες, πιστεῦσαι τῷ βαρβάρῳ. Κράσσος ἄκων πεζὸς ἐβάδιζεν. Σουρήνας φιλοφρονούμενος δὴ ἵππον χρυσοχάλινον αὐτῷ παρέστησεν, ἐφ' οὗ καθίσαι προσέταξεν· ὁ μὲν δὴ ἀναβαίνει τὸν ἵππον. ὁ δὲ βάρβαρος ἱπποκόμος κεντρίσας ἐπετάχυνε τοῦ ἵππου τὸν δρόμον, ὅπως τὸν Κράσσον ἐς τὸ πλῆθος ἐξενέγκοι τῶν Παρθυαίων. Ὀκταούιος τῶν περὶ Κράσσον ἡγεμόνων συνεὶς τῆς ἀπάτης, λαμβάνεται τῶν χαλινῶν, καὶ μετ' ἐκεῖνον εἷς τῶν χιλιάρχων Πετρώνιος· ὥστε τὸν μὲν ἱπποκόμον Ὀκταούιος 54 κτείνει σπασάμενος τὸ ξίφος· τὸν δὲ Ὀκταούιον ἄλλος τις τῶν Παρθυαίων· τὸν δὲ Κράσσον 55 Ἐξάθρης Παρθυαῖος, καὶ τὴν κεφαλὴν αὐτοῦ, καὶ τὴν δεξιὰν ἀποκόψας, ἐκόμισε πρὸς

54 MS. κτινύει. 55 MS. et Codd. *Caſaub.* ἐξαρθεὶς.

tur, metuens ne pugnam ex deſperatione redintegrarent, legatum ad eum miſit, qui in hunc modum referret: Componit tecum amicitiam rex magnus, et cum fortitudinem ſuam Romanis oſtenderit, nunc humanitatem etiam oſtendere conſtituit. Craſſus dolum ſuſpicans, morem gerere nolebat. Milites, quorum animi erant fracti et defeſſi, coegerunt eum comploſis armis barbaro credere. Craſſus invitus pedibus iter faciebat. Surenas ſumma uſus humanitate, equum aureo freno præditum ei tradidit, in quo eum ſedere juſſit. Ille quidem equum conſcendit. Barbarus autem equorum curator, admotis calcaribus, equi curſum accelerabat, ut Craſſum in mediam Parthorum multitudinem conjiceret. Octavius, unus ex Craſſi legatis, intellecta fallacia, frenum apprehendit, et poſt eum unus tribunorum Petronius. Sic Octavius extracto gladio equi curatorem interficit, Octavium alius quidam Parthorum. Craſſum vero Exæthres Parthus occidit, ejusque caput et dextram abſciſſam ad re-

 gem

πρὸς μέγαν βασιλέα Παρθυαίων, 56 Ἡρώδην. ἔτυχε δὲ βασιλεὺς κατ' ἐκεῖνο τῆς ὥρας ἑστιώμενος, καὶ παρὰ τὸν πότον ἀκροώμενος Ἰάσονος Τραλλιανοῦ τραγῳδοῦ ὑποκρινομένου Βάκχας Εὐριπίδου. ὁ μὲν δὴ τραγῳδὸς ᾖδεν ἐκεῖνα τὰ μέλη,

Φέρομεν ἐξ ὀρέων ἕλικα
Νεότομον ἐπὶ μέλαθρα,
Μακάριον θήραμα.

οἱ δὲ τὴν Κράσσου κεφαλὴν κομίζοντες τῷ βασιλεῖ προσήνεγκαν. ἐπὶ τούτῳ μεγάλη βοὴ, καὶ πολὺς κρότος ἐγένετο. ὥς τε ὁ μὲν Ἐξάθρης ἀναπηδήσας ἔφη· ἐμοὶ ταῦτα μᾶλλον τὰ μέλη προσήκει ᾄδειν, ἢ τῷ τραγῳδῷ. βασιλεὺς ἡσθεὶς, τοῦτον μὲν ἐτίμησεν οἷς πάτριον ἦν· τῷ Ἰάσονι δὲ τῷ τραγῳδῷ τάλαντον ἔδωκεν.

ΚΕΦ. ΜΒ.

56 MS. Ὑρώδην. Plutarcho in Craſſo dicitur Ὑρώδης, in Antonio Ἡρώδης, Appiano Ὀρώδης, Latinis, *Orodes. Maſv.*

gem magnum Parthorum Herodem deportavit. Erat eo tempore rex in convivio, et inter potandum, Jaſonem Trallianum tragœdum Bacchas Euripidis agentem auſcultabat. Tragœdus canebat illos verſus,

Ex montibus afferimus domum
Vitulum laniatum modo,
Prædam felicem.

Qui vero Craſſi caput habebant, ad regem illud attulerunt. Ob eam rem ingens vociferatio, ingensque plauſus oriebatur. Itaque Exæthres exiliens inquit, Mihi potius hos verſus canere convenit, quam tragœdo. Rex ea re gaviſus, hunc quidem iis donis honoravit, quibus mos erat, ejusmodi homines afficere: tragœdo vero talentum donavit.

CAP. XLII.

ΚΕΦ. ΜΒ.

ΚΕΛΤΟΙ.

Κελτοὶ ϛρατεύουσιν ἐπὶ Αὐταριάτας, καὶ ἦν πόλεμος μακρός· οἱ μὲν Κελτοὶ τὰς τροφὰς καὶ τὸν οἶνον, πόας δηλητηρίοις καταφαρμακεύουσι, καὶ καταλιπόντες ἐν ταῖς σκηναῖς, αὐτοὶ νύκτωρ ἔφευγον. οἱ δὲ Αὐταριᾶται πιϛεύσαντες, ὡς φοβηθέντες ἀποδιδράσκοιεν, κατελάβοντο τὰς σκηνὰς, καὶ τῷ οἴνῳ, καὶ ταῖς τροφαῖς ἀνέδην ἐχρήσαντο. καὶ παραυτίκα ὑπὸ διαῤῥοίας ἀκρατεῖς ληφθέντες. Κελτοὶ δὲ ἐπελθόντες κειμένους φονεύουσιν.

ΚΕΦ. ΜΓ.

ΘΡΑΚΕΣ.

Θρᾶκες παραταξάμενοι Βοιωτοῖς παρὰ τὴν Κωπαΐδα λίμνην, ἡττηθέντες, ἐς τὸν Ἑλικῶνα καταφυγόντες, ἐσπείσαντο τοῖς Βοιωτοῖς ἡμέρας τινὰς, ἐν αἷς βουλευσάμενοι ἀπαλλάξονται. οἱ Βοιωτοὶ τῇ νίκῃ θαῤῥοῦντες, καὶ ταῖς σπονδαῖς πιϛεύοντες, τῇ Ἀθηνᾷ τῇ Ἰτωνίᾳ θύοντες, ἑορτάζον

CAP. XLII.

GALLI.

Galli expeditionem adverſus Autariatas ſuſceperunt. Cum diu bellum duceretur, Galli cibaria et vinum herbis venenoſis inficiunt, et ipſi noctu relictis caſtris fugam capeſſunt. Autariatæ credentes eos metu profugiſſe, caſtra invadunt, et vino cibariiſque largiter fruuntur, ſtatimque immoderato ventris profluvio prolabuntur. Galli ſupervenerunt ac proſtratos occiderunt.

CAP. XLIII.

THRACES.

Thraces prælio cum Bœotis facto, ad Copaidem paludem victi, in Heliconem confugerunt, et inducias cum Bœotis ad dies aliquot fecerunt. in quibus Bœoti inito conſilio diſcedunt, freti victoria, et induciis confidentes, atque Minervæ Itoniæ pro victoria ſacrificantes, convivia

ταζον ἐπινίκια. οἱ Θρᾶκες θύουσι καὶ πανηγυρίζουσιν ἀόπλοις νύκτωρ ἐπιθέμενοι, πολλοὺς μὲν ἀνεῖλον, πολλοὺς δὲ ζῶντας εἷλον. αἰτιωμένων δὲ τῶν Βοιωτῶν, ὅτι παρεσπόνδησαν, ἀπεκρίναντο οἱ Θρᾶκες, οὐδαμῶς παραβῆναι τὰς σπονδάς· ἡμέρας γὰρ συνθέσθαι ῥητὰς τῶν ἀνοχῶν· περὶ δὲ τῶν νυκτῶν μηδεμίαν συνθήκην πρὸς αὐτοὺς πεποιῆσθαι.

ΚΕΦ. ΜΔ.

ΣΚΥΘΑΙ.

Σκύθαι Τριβαλοῖς παρατάσσεσθαι μέλλοντες παρήγγειλαν τοῖς γεωργοῖς, καὶ τοῖς ἱπποφορβοῖς, ἐπειδὰν αἴσθωνται συμβαλόντας αὐτοὺς τοῖς πολεμίοις, ἐπιφανῆναι πόῤῥωθεν τὰς ἀγέλας τῶν ἵππων ἀπελαύνοντας· οἱ μὲν ἐπεφάνησαν· οἱ δὲ Τριβαλοὶ πολὺ πλῆθος ἀνθρώπων καὶ ἵππων πόῤῥωθεν ἰδόντες, κονιορτὸν ἐγειρόμενον, βοὴν αἰρομένην, νομίσαντες τοὺς ἄνω Σκύθας ἥκειν αὐτοῖς συμμάχους, ἔφυγον φοβηθέντες.

β' Σκύ-

vivia celebrant. Thraces per noctem in ſacrificantes et convivantes impetu cum armis facto, multos interfecerunt, multosque vivos ceperunt. Bœotis eos violati fœderis incuſantibus, reſponderunt Thraces ſe nullo modo fœdera eſſe transgreſſos. Dierum enim inducias certis conditionibus factas eſſe. De noctibus ſibi nullum fœdus cum eis interceſſiſſe.

CAP. XLIV.

SCYTHÆ.

Scythæ cum Tribalis pugnam inituri, præceperunt agricolis et equorum paſtoribus, ut cum ſenſiſſent ipſos cum hoſtibus manum conſerere, procul ſeſe oſtendentes, equorum greges agerent. Quibus apparentibus, Tribali magnam multitudinem hominum et equorum a longinquo conſpicati, cum pulvis excitaretur, et clamor tolleretur, arbitrati Scythas ſuperiores auxilio eis venire, metu perterriti, ſe in fugam conjecerunt.

a Scythæ

β' Σκύθαι τὴν Ἀσίαν κατέτρεχον· αἱ Σκυθιάδες γημάμεναι τοῖς οἰκέταις ἐπαιδοποιήσαντο. ἐπανελθόντας οἱ δοῦλοι τοὺς δεσπότας οὐκ ἐδέξαντο. πόλεμος ἦν· οἱ μὲν οἰκέται φαλαγγηδὸν 57 ἀπήντησαν ὡπλισμένοι. Σκύθης δὲ ἀνὴρ δείσας αὐτῶν τὴν ἐξ ἀπονοίας μάχην, συνεβούλευσεν ὅπλα μὲν καὶ τόξα καταβαλεῖν· μάστιγας δὲ ἀνατειναμένους ἐπὶ τοὺς οἰκέτας βαδίζειν· οἱ μὲν ἀνατεινάμενοι τὰς μάστιγας ἐφώρμησαν· οἱ δὲ τὸ συνειδὸς τῆς δουλείας οὐ φέροντες, αὐτίκα φεύγοντες ᾤχοντο.

ΚΕΦ. ΜΕ.

ΠΕΡΣΑΙ.

Πέρσαι περὶ Μυκάλην Σαμίους καὶ Μιλησίους ὑπόπτους ἔχοντες, ἐκέλευσαν αὐτοὺς τὰ τῆς Μυκάλης ἄκρα φυλάττειν, λόγῳ μὲν ὡς ἐμπείρους τῆς χώρας· ἔργῳ δὲ, ἵνα μὴ παρόντες διαφθείροιεν καὶ τοὺς ἄλλους Ἴωνας.

β' Πέρσαι

57 MS. ἐπῄεσαν.

2 Scythæ Aſiam incurſionibus vaſtabant. Interea temporis Scytharum uxores, matrimonio cum ſervis contracto, ex illis liberos procreaverant. Servi reverſos dominos recipere noluerunt, bellumque conflatum eſt. Servi inſtructa acie dominis obviam progrediebantur armati. Scytha quidam metuens, ne ex deſperatione prælium committerent, ſuis conſilium dedit, ut arma et arcus deponerent, flagellisque protenſis obviam ſervis irent. Qui cum extenſis flagellis impetum facerent, illi conſcientia ſervitutis ſtimulati, repente ſe fugæ mandarunt.

CAP. XLV.

PERSÆ.

Perſæ, cum circa Mycalen Samios et Mileſios ſuſpectos haberent, juſſerunt eos, montes et juga Mycales occupare: verbo quidem, quod regionis peritiam haberent: re autem, ne ſua præſentia reliquos etiam Græcos corrumperent.

2 Perſæ

β′ Πέρσαι Μήδοις παρετάσσοντο· Περσῶν Κῦρος ἡγεῖτο· Κύρου σατράπης Οἰβάρης ἦρξε φυγῆς. καὶ ὅσων ἡγεῖτο Περσῶν, πάντες τῷ Οἰβάρῃ συνέφευγον· ἔνθα δὴ αἱ Περσίδες ἀπαντώμεναι τοῖς φεύγουσιν, ἀνασυράμεναι τοὺς χιτωνίσκους, Ποῖ, ἔφασαν, φεύγετε; ὅθεν ἐξέδυτε, πάλιν ἐκεῖ καταδύναι σπεύδετε; ὁ λόγος τῶν γυναικῶν ἤσχυνε τοὺς Πέρσας. καὶ ἀναστρέψαντες ἐπὶ τὴν μάχην, τοὺς Μήδους ἐς φυγὴν ἐτρέψαντο.

ΚΕΦ. Μϛ.

ΤΑΥΡΟΙ.

Ταῦροι Σκυθικὸν γένος, ἀεὶ παρατάττεσθαι μέλλοντες, τὰς ὄπισθεν ὁδοὺς ἀνασκάπτουσιν, καὶ ποιήσαντες ἀβάτους, οὕτως ἀγωνίζονται· ἵνα, μὴ δυνάμενοι φυγεῖν, ἢ κρατοῖεν, ἢ ἀποθνήσκοιεν.

ΚΕΦ. ΜΖ.

ΠΑΛΛΗΝΕΙΣ.

58 Παλληνεῖς ἀναπλέοντες ἐκ Τροίας, κατέσχον ἐς τὴν Φλέγραν. αἰχμάλωτοι Τρωάδες, τῶν Ἑλλήνων ἐπὶ γῆν ἀποβάντων,

58 MS. Παλληνεῖς. Pellenenſes hos vocat Thucydides libro IV. obſervante *Caſaub.*

2 Perſæ cum Medis prælium committebant, duce Cyro. Satrapa Cyri Oebares fugam incepit, et omnes, quibus præerat, Perſæ ipſum in fuga ſequebantur. Tum Perſarum uxores fugientibus obviam proceſſerunt, ſublatis tunicis: et, quo, inquiunt, contenditis? Unde egreſſi eſtis, eo introire rurſus vultis? Hæc mulierum verba pudorem attulerunt Perſis. Itaque reverſi ad pugnam, Medos in fugam converterunt.

CAP. XLVI.

TAURI.

Tauri, gens Scythica, prælium commiſſuri, ſemper vias omnes a tergo ſubruunt, inviasque reddunt: et ſic pugnam ineunt, ut, cum fugere non poſſint. aut vincant aut moriantur.

CAP. XLVII.

PALLENENSES.

Pallenenſes Troja navigantes, ad Phlegram appulerunt. Captivæ Troades, cum Græci in terram deſcendiſſent,

βάντων, ἐ φέρεσαι τὴν ἄλην, τὰς νεῦς κατέπρησαν· ἔπειθε τὰς αἰχμαλώτες [59] Ἀιθία Πριάμε ἀδελφή· οἱ δὲ Ἕλληνες ἀπορίᾳ σκαφῶν, κατελάβοντο τὴν νῦν καλεμένην [60] Σκιώνην· καὶ πόλιν οἰκίσαντες, τὴν χώραν ἀντὶ Φλέγρας Παλλήνην προσηγόρευσαν.

ΚΕΦ. ΜΗ.

ΑΝΝΙΒΑΣ.

Ἀννίβας ἐν Ἰβηρίᾳ [61] πόλιν μεγάλην Σαλματίδα ἐπολιόρκει. καὶ δὴ συνθήκας ἐποιήσατο, λαβὼν ἀργυρίε τάλαντα τʹ, καὶ ὁμήρες τʹ ἀνείη τὴν πολιορκίαν· τῶν δὲ Σαλματαίων, ἐκ ἀποδωσάντων τὰ συγκείμενα, Ἀννίβας ἐπιστρέψας ἐπαφῆκε τὲς στρατιώτας ὡς ἁρπασομένες τὴν πόλιν. ἱκετεύεσιν οἱ βάρβαροι συγχωρῆσαι αὐτοῖς, ἐνὶ ἱματίῳ μετὰ τῶν γυναικῶν ἐξελθεῖν, ὅπλα δὲ καὶ χρήματα, καὶ ἀνδράποδα καταλιπεῖν· αἱ γυναῖκες ἐν τοῖς κόλποις κρύπτεσαι τὰ ξίφη, τοῖς ἀνδράσι συνεξῆλθον. οἱ μὲν δὴ

59 Ἄιθυλλα conject. *Jani Rutgerſii* Varior. Lib. VI. cap. 2. 60 *Vulgata* Σκιωνήν. Stephanus hujus urbis Thraciæ meminit. *Maſv.* 61 *Salmanticam* intelligit *Caſ.*

diſſent, tædio peregrinationis affectæ naves incenderunt. Captivas prima in eam ſententiam adduxit Euthria, Priami ſoror. Græci navigiorum inopia coacti, terram Scioniam occuparunt, et exſtructa civitate regionem pro Phlegra Pallenen appellarunt.

CAP. XLVIII.

ANNIBAL.

Annibal in Iberia magnam civitatem Salmatidem oppugnabat. Pactum cum eis fecit, ut trecentis argenti talentis, et trecentis obſidibus acceptis, oppugnationem dimitteret. Cum Salmatenſes non traderent, de quibus inter eos convenerat, Annibal reverſus immiſit milites, quaſi direpturos urbem. Rogabant barbari, ut ſibi liceret, amictis una veſte cum uxoribus exire: arma, pecunias et mancipia ſe relicturos. Uxores in ſinibus gladios occultantes, cum viris exierunt.

δὴ τοῦ Ἀννίβα στρατιῶται τὴν πόλιν διήρπαζον, αἱ δὲ γυναῖκες ἐκβοήσασαι τοῖς ἀνδράσι, τὰ ξίφη προσέδωκαν· ἔνιαι δὲ καὶ αὐταὶ σπασάμεναι, μετὰ τῶν ἀνδρῶν ἐπέθεντο τοῖς διαρπάσασι τὴν πόλιν· ὥς τε τοὺς μὲν κατέλαβον, τοὺς δὲ ἐτρέψαντο, καὶ ἀθρόοι διεξεπέσαντο. Ἀννίβας τὴν ἀνδρείαν τῶν γυναικῶν θαυμάσας, ἀπέδωκε δὴ αὐτὰς τοῖς ἀνδράσιν αὐτῶν, τήν τε πατρίδα, καὶ τὰ χρήματα.

ΚΕΦ. ΜΘ.

ΤΥΡΡΗΝΙΔΕΣ.

Τυῤῥηνῶν οἱ Λῆμνον καὶ Ἴμβρον κατασχόντες ἐξελασθέντες ὑπ' Ἀθηναίων, ἐς Ταίναρον κατασχόντες, Σπαρτιάταις περὶ τὸν Εἱλωτικὸν πόλεμον [62] συνεμάχοντο· πολιτείας δὲ καὶ ἐπιγαμίας τυχόντες, οὐ μὴν ἀρχῆς, οὐ δὲ βουλῆς μετασχόντες, ὑπόνοιαν ἔσχον ὡς νεωτερίζοντες, καὶ συλληφθέντες ὑπὸ Λακεδαιμονίων ἐφυλάσσοντο. αἱ δὲ τῶν φρουρουμένων γυναῖκες ἐπὶ τὴν εἱρκτὴν ἀφικόμεναι, τοὺς φύλακας ἱκετεύουσι παρεῖναι αὐτὰς, ὅσον ἰδεῖν καὶ [63] προσεῖναι

62 MS. συνεμαχέσαντο. 63 MS. προσῆναι. προσειπεῖν. conject. Caſaub.

ierunt. Annibalis milites urbem diripuerunt. Mulieres egreſſæ, maritis enſes tradiderunt. Quædam etiam ipſæ ſtrictis gladiis cum viris ſimul in eos, qui civitatem vaſtabant, impetum fecerunt. Itaque alios ceperunt, alios in fugam conjecerunt, et confertim ex urbe excurrebant. Annibal mulierum fortitudinem admiratus, non ſolum illas ſuis maritis reddidit, verum etiam patriam et pecunias eis reſtituit.

CAP. XLIX.

TYRRHENIDES.

Tyrrheni, qui Lemnum et Imbrum inhabitabant, expulſi ab Athenienſibus, in Tænarum appellentes Spartiatis ad bellum Heloticum auxilium tulerunt. Itaque civitate donati, conjugiorumque participes facti, cum non ad imperia, neque in Senatum admitterentur in ſuſpicionem novarum rerum venerunt, et comprehenſi a Lacedæmoniis cuſtodiebantur. Eorum vero, qui in cuſtodia erant uxores, ad carcerem cum perveniſſent, ſupplices rogabant cuſtodes, ut tranſeundi poteſtatem ſibi conce-

εἶναι τοὺς ἄνδρας· ἐπεὶ δὲ εἰσῆλθον μετημφιέννυντο τὰς ἐσθῆτας· καὶ τὰς μὲν τῶν γυναικῶν οἱ ἄνδρες ἐνδύονται περικαλυψάμενοι· 64 προϊούσης δὲ ἑσπέρας ἐξίασι. τὰς δὲ τῶν ἀνδρῶν αἱ γυναῖκες λαβοῦσαι ὑπομένουσιν ἔνδον, ἐπὶ τῷ παντοίων παθεῖν διασωσάμεναι τοὺς ἄνδρας. οὐ τοίνυν οὐδὲ οἱ ἄνδρες τῶν γυναικῶν ἠμέλησαν· ἀλλὰ καὶ αὐτοὶ τὰ Ταΰγετα κατελάβοντο, καὶ τὸ Εἱλωτικὸν ἀπέστησαν. ὥστε δείσαντες οἱ Λάκωνες ἐπεκηρυκεύσαντο· καὶ διαλλαγέντες ἀπέδωκαν αὐτοῖς τὰς γυναῖκας, ἔδωκαν δὲ καὶ χρήματα, καὶ ναῦς καὶ ὡς ἀποίκους Λακεδαιμονίων ἐξέπεμψαν.

ΚΕΦ. Ν.
ΚΕΛΤΟΙ.

Κελτοῖς στάσις ἦν ἐμφύλιος· ἤδη δὲ καὶ ἐς πόλεμον ὡπλισμένων, αἱ γυναῖκες αὐτῶν στᾶσαι τῆς παρατάξεως τὰ ἐγκλήματα διήτησαν, καὶ διέκριναν, ὥστε τοὺς ἄνδρας φίλους γενομένους διαλλαγὰς ποιήσασθαι, καὶ κατὰ οἴκους, καὶ κατὰ πόλεις. αὖθις εἴποτε Κελτοὶ βουλεύοιντο πολέμου πέρι

64 MS. absque particula adverſativa δὲ.

concederent, ut viderent et audirent maritos. Quæ cum introiſſent, ſtatim veſtes permutarunt, maritique uxorum veſtibus induti et occultati ingruente veſpera exierunt. Mulieres maritorum ſumtis indumentis, intus remanſerunt, quodcunque periculum ſubire paratæ, ad maritorum ſalutem vindicandam. Neque vero mariti uxorum obliti ſunt, aut eas reliquerunt. Sed et ipſi Taygeta occuparunt, et Helotas ad defectionem pertraxerunt, ita, ut Lacedæmonii metuentes de pace legatos mitterent, compoſitaque controverſia uxores eis redderent. Pecuniis item, navibusque ſuppeditatis, quaſi colonos Lacedæmoniorum ablegarunt.

CAP. L.
GALLI.

Galli inteſtina ſeditione laborabant. Qui cum jam ad bellum arma ſumſiſſent, uxores eorum ſe inter medias acies opponentes, crimina deprecabantur: et transegerunt, ut viri in gratiam redeuntes, litem et vicatim et oppidatim deponerent. In poſterum, ſi quando Galli

περὶ καὶ εἰρήνης, ἢ τῶν ἄλλων ὅσα κοινὰ πρὸς ἀλλήλους, ἢ τοὺς συμμάχους, ἕκαστα γνώμῃ τῶν γυναικῶν ἐβραβεύετο. ἐν γοῦν ταῖς πρὸς Ἀννίβαν συνθήκαις γέγραπται, Κελτῶν μὲν ἐγκαλούντων Καρχηδονίοις, τοὺς Καρχηδονίων ὑπάρχους καὶ στρατηγοὺς εἶναι δικαστάς· ἢν δὲ Καρχηδόνιοι Κελτοῖς ἐγκαλῶσι, τὰς Κελτῶν γυναῖκας δικάζειν.

Τέλος τοῦ ζ′ βιβλίου τῶν Πολυαίνου Στρατηγημάτων.

conſilium ineunt, de bello, de pace, aut etiam aliis, quæ communiter ad ipſos aut ad ſocios pertinent, ſingula de mulierum ſententia adminiſtrantur. In fœderibus igitur cum Annibale factis continetur, Si de Carthaginienſibus Galli conquerantur, equitum præfectos et duces Carthaginienſium litem diremturos: ſin de Gallis Carthaginienſes, judicaturas Gallorum mulieres.

Τάδε ἔνεστιν ἐν τῷ ή τῶν

ΠΟΛΥΑΙΝΟΥ

ΣΤΡΑΤΗΓΗΜΑΤΩΝ.

HAEC INSUNT IN OCTAVO LIBRO

POLYAENI

STRATEGEMATUM.

Ἀμȣ́λιος, Στρατήγημα	α	Amulius, Strateg.	1
Νυμήτωρ	α	Numitor.	1
Ῥώμυλος	β	Romulus	2
Νȣμᾶς	α	Numa	1
Τύλλος	α	Tullus	1
Ταρκύνιος	α	Tarquinius	1
Κάμιλλος	β	Camillus	2
Μȣ́κιος	α	Mutius	1
Σύλλας	β	Sylla	2
Μάριος	γ	Marius	3
Μάρκελλος	α	Marcellus	1
Ἀττύλιος	α	Attilius	1
Γάϊος	α	Gajus	1
Φάβιος	δ	Fabius	4
Σκηπίων	η	Scipio	8
Κάτων	α	Porcius	1
Φαῦνος	α	Faunus	1
Τίτος	α	Titus	1
Γάϊος	α	Cajus	1
Πεινάριος	α	Pinarius	1
Σερτώριος	α	Sertorius	1
Καῖσαρ	λγ	Cæſar	33
Σεβαστὸς	ζ	Auguſtus	7

Ῥωμαῖοι	γ	Romani	3
Σεμίραμις	α	Semiramis	1
Ῥοδογύνη	α	Rhodogune	1
Τόμυρις	α	Tomyris	1
Νίτητις	α	Nitetis	1
Φιλῶτις	α	Philotis	1
Κλοιλία	α	Clœlia	1
Πορκία	α	Porcia	1
Τελεσίλλα	α	Teleſilla	1
Χιλωνὶς	α	Chilonis	1
Πιερία	α	Pieria	1
Πολυκρίτη	α	Polycreta	1
Φωκαεῖς	α	Phocenſes	1
Ἀρεταφίλα	α	Aretaphila	1
Κάμμα	α	Camma	1
Τιμόκλεια	α	Timoclea	1
Ἐρυξὼ	α	Eryxo	1
Πυθόπολις	α	Pythopolis	1
Χρυσάμη	α	Chryſame	1
Πολύκλεια	α	Polyclea	1
Λέαινα	α	Leæna	1
Θεμιστὼ	α	Themiſto	1
Φερετίμα	α	Pheretima	1
Ἀξιόθεα	α	Axiothea	1
Ἀρχίδαμις	α	Archidamis	1
Λαοδίκη	α	Laodice	1
Θεανὼ	α	Theano	1
Δηιδάμεια	α	Deidamia	1
Ἀρτεμισία	α	Artemiſia	5
Τάνια	α	Tania	1
Τιργατάω	α	Tirgatao	1
Ἀμάγη	α	Amage	1
Ἀρσινόη	α	Arſinoë	1
Κρατησίπολις	α	Crateſipolis	1
Ἱέρεια	α	Hiereia	1
Κυννάνη	α	Cynnane	1
Πύστα	α	Pyſta	1

Ἐπι-

Ἐπίχαρις	a	Epicharis	1
Μιλησίαι	a	Mileſiæ	1
Μηλίαι	a	Meliæ	1
Φωκίδες	a	Phocides	1
Χίαι	a	Chiæ	1
Θάσιαι	a	Thaſiæ	1
Ἀργολίδες	a	Argolides	1
Ἀκαρνᾶνες	a	Acarnanes	1
Κυρηναῖοι	a	Cyrenenſes	1
Λάκαιναι	a	Lacænæ	1

Τέλος τοῦ πίνακος.

ΠΟΛΥΑΙΝΟΥ

ΣΤΡΑΤΗΓΗΜΑΤΩΝ.

βιβλίον ὄγδοον.

ΠΡΟΟΙΜΙΟΝ.

Καὶ τόδε ὑμῖν ὄγδοον βιβλίον, ἱερώτατοι βασιλεῖς, Ἀντωνῖνε καὶ Οὐῆρε, προσφέρω τῶν Στρατηγημάτων. 1 ὥστε συντετελεσμένης τῆς συντάξεως, ἣν ὑπεσχόμην, εὔχομαι ὑμῖν μετὰ τῆς στρατηγικῆς ἀρετῆς τέλος ἀγαθὸν, ἐν τοῖς πολέμοις γενέσθαι· ἐμαυτῷ δὲ ψῆφον παρ' ὑμῶν δικαίαν. ὅτι προαιρέσει βίου καὶ λόγου δικανικοῦ χρώμενος, οὐκ ἀμελῶς συγγράφω ὅσα γένοιτ' ἂν ὠφέλιμα ὑμῖν τε αὐτοῖς, καὶ τῇ Ῥωμαίων ἀρχῇ, καὶ τοῖς Ἕλλησιν· ἤν τε πολεμῶμεν, ἤν τ' εἰρήνην ἄγωμεν. ἐν μὲν γὰρ πολέμῳ ταῦτα ἐστὶ νίκης γυμνάσματα· ἐν δὲ εἰρήνῃ γνώμης παιδεύματα,

1 *Vulg.* ὡς.

POLYAENI

STRATEGEMATUM

LIBER OCTAVUS.

PROOEMIUM.

Etiam hunc octavum librum Strategematum vobis dedico, ſanctiſſimi imperatores, Antonine et Vere. Atque perfecto volumine quod promiſeram, precor et opto, ut vobis a militari virtute bonus et fauſtus exitus bellorum contingat: mihique juſtum a vobis ſuffragium, quod inſtitutum vitæ et orationis forenſis ſecutus, non indiligenter conſcripſi quæ uſui eſſe poſſint vobis ipſis et Romanorum imperio et Græcis, ſive bella geramus, ſive pacem colamus. Nam in bello hæc ſunt adipiſcendæ victoriæ

δεύματα, τὴν δόξαν ἀθάνατον παρὰ τῆς ὑμετέρας βασιλείας ² λαβόντα.

Τέλος τοῦ προοιμίου.

ΚΕΦ. Α.

ΑΜΟΥΛΙΟΣ.

Ἀμούλιος καὶ Νομήτωρ ἀδελφοί· νεώτερος Ἀμούλιος δυνάμει βιασάμενος, βασιλεὺς Ἄλβης ἐγένετο, τὸν μὲν δὴ Νομήτορα τὸν ἀδελφὸν ἐφρούρει, θυγατέρα δὲ αὐτοῦ Σιλουίαν, ἵνα μὴ παῖδες ἐξ αὐτῆς γένοιντο τιμωροὶ τῆς Ἀμουλίου παρανομίας, ἀπέφηνεν ἱερείαν τῆς Ἑστίας· ἐπειδὴ νόμος ταῖς Ἑστιάσιν, ἀεὶ παρθενεύεσθαι.

ΚΕΦ. Β.

ΝΟΜΗΤΩΡ.

³ Ῥῶμος καὶ Ῥωμύλος Ἄρεως καὶ Σιλουίας παῖδες ἐπέθεντο Ἀμουλίῳ. θόρυβος ἀπὸ τῆς ἄκρας ἐς τὴν πόλιν ἐφέρετο. Νομήτωρ εἰδὼς τὰ δρώμενα πρὸς τοὺς πολίτας ἔφη, Πολεμίων ἔφοδος γέγονεν. Ἀμούλιος δὲ προδοὺς τὴν

πόλιν

2 γρ. λαβόντας. *Caſaub.* 3 MS. Ῥέμος.

ctoriæ exercitia: in pace conſilii capiendi præcepta, quæ gloriam immortalem a veſtro regno conſequentur.

CAP. I.

AMULIUS.

Amulius et Numitor fratres exſtitere. Junior Amulius cum exercitu et copiis Albæ regnum invaſit. Fratrem ſuum Numitorem in cuſtodia ſervabat: ejusque filiam Sylviam, ne ex ea liberi progignerentur, vindices Amulii ſceleris et injuriæ, ſacerdotem Veſtæ effecit. Legem enim habebant Veſtales, ut perpetuam virginitatem conſervarent.

CAP. II.

NUMITOR.

Remus et Romulus, Martis et Sylviæ filii, Amulium per inſidias aggrediebantur. Tumultus ab arce in urbem perferebatur. Numitor conſcius quid fieret, ad cives dixit, hoſtilem aggreſſionem eſſe, Amulium urbe prodita

fugiſſe.

πόλιν πέφευγεν. ἀλλὰ ὁπλισάμενοι εἰς τὴν ἀγορὰν ἀθροιζώμεθα· οἱ μὲν ὡπλίζοντο, καὶ ἠθροίζοντο. Ῥῶμος δὲ καὶ Ῥωμύλος ἀνελόντες Ἀμύλιον ἐξεπήδησαν τῆς ἄκρας, καὶ τοῖς πολίταις ἠθροισμένοις ἀνήγγειλαν. οἱ τινες ὄντες, οἷα παθόντες, τῷ πάππῳ δικαίως ἐτιμώρησαν. ὁ δὲ δῆμος ἐπαινέσας τὸ ἔργον, Νεμήτορι τὴν βασιλείαν ἀπέδωκεν.

ΚΕΦ. Γ.

ΡΩΜΥΛΟΣ.

Ῥωμύλος, Ῥωμαίων γυναῖκας οὐκ ἐχόντων, ἐκήρυξεν ἀνὰ τὰς γείτονας πόλεις ὡς ἑορτὴν ἄξοι δημοτελῆ Ποσειδῶνος 4 Ἱππείου, καὶ ἀγῶνας ἵππων ἐπὶ ἄθλοις μεγίστοις· πολλοὶ δὴ συνῆλθον ἐκ τῶν πόλεων ἐπὶ τὴν θέαν, πᾶν γένος ἀνδρῶν, γυναικῶν, παρθένων. Ῥωμύλος παράγγελμα ἔδωκεν, ἀπέχεσθαι μὲν ἀνδρῶν καὶ γυναικῶν· ἁρπάζειν δὲ μόνας παρθένους, καὶ ταύτας οὐκ ἐς ὕβριν, ἀλλ' ἐς γάμον. οὗτος ὁ γάμος Ῥωμαίοις ἀρχὴ παιδοποιΐας ἐγένετο.

β Ῥωμύλος τῆς Φιδηναίων πόλεως ἀποσχὼν δέκα που στάδια, κατεστρατοπέδευσε, νύκτωρ δὲ τοῦ χάρακος ἐξαγαγὼν

4 MS. ἱππίου. Utrumque invenitur.

fugiſſe. Sed, inquit, armati in forum conveniamus. Civibus ſe armantibus, et congregantibus, Remus et Romulus, Amulio ſublato, ex arce exſilierunt, et congregatis civibus renuntiarunt, quinam et quo damno affecti, avi injurias perſecuti ſint. Populus factum collaudans, Numitori regnum tradidit.

CAP. III.

ROMULUS.

Romulus, cum Romani uxoribus omnino carerent, promulgavit per finitimas civitates, ſe publicos ludos inſtituturum Neptuno equeſtri, et equeſtria certamina, maximis propoſitis præmiis. Magna hominum multitudo ex vicinis urbibus ad ſpectaculum convenit, omnis generis, virorum, mulierum, virginum. Romulus ſuis præceptum dederat, ut a viris et mulieribus abſtinerent, ſolas autem virgines raperent, non ad ſtuprum, ſed ad ineunda connubia. Hæc connubia Romanis principium exſtiterunt procreandorum liberorum. 1

2 Romulus ab urbe Fidenatum circiter decem ſtadiis, caſtra fixit. Per noctem e caſtris copias eduxit, dimidiaque

γὼν τὴν δύναμιν, τὰς ἡμίσεις τῶν λόχων εἰς μέτωπον καταστήσας, τὰς δὲ λοιπὰς ὀρθίους ἐκτάξας, καὶ τοῖς ἡγεμόσιν ἐν ἀποῤῥήτῳ παραγγείλας ἃ χρὴ πράττειν, αὐτὸς ὀλίγους ἔχων εὐζώνους, πελέκεις φέροντας, τοῖς τείχεσι προσῆλθε. κελεύσας τὴν ἄλλην δύναμιν ἐφεδρεύειν ἐγγύθεν. ἤδη δὲ ὑπαυγαζούσης ἕω, προσέταξε τὰς πύλας ἐκκόπτειν. τῶν δὲ Φιδηναίων τῇ παραλόγῳ τόλμῃ ταραχθέντων, καὶ τὰς πύλας ἀνοιξάντων, καὶ τοῖς πολεμίοις ἐμπεσόντων ἀσυντάκτως, Ῥωμαῖοι μὲν ὑπεχώρουν· Φιδηναῖοι δὲ τοὺς κατὰ μέτωπον ὁρῶντες, τοὺς δὲ ὄπισθεν οὐ βλέποντες, τῶν ὁρωμένων καταφρονοῦντες, ἐνέκειντο σφοδρῶς, τούτων οἰόμενοι κρατήσειν· ἐπεὶ δὲ περαιτέρω προῆλθον, οἱ μὲν ἡγεμόνες τοὺς ὀρθίους λόχους τοῖς κατὰ μέτωπον ὑπέταξαν, καὶ συγκαθίσαι παρήγγειλαν, ὅπως ὑπὸ τῶν πολεμίων μὴ βλέποιντο. τούτων δὲ γενομένων, οἱ μὲν κατὰ μέτωπον φυγόντες, περιῆλθον τοὺς ὀρθίους λόχους· καὶ ἀντιπρόσωποι τοῖς διώκουσιν ἐγένοντο· οἱ δὲ συγκαθήμενοι διαναστάντες μετὰ βοῆς ἐμβάλλουσι τοῖς πολεμίοις ἀκμῆτες κεκμηκόσι. μετὰ τούτων δὲ συμβάλλουσι καὶ οἱ πεφυγέναι δοκοῦντες, καὶ Φιδηναίους ἐς φυγὴν τρεπομένους ἀνελόντες, τῆς πόλεως αὐτῶν ἐκράτησαν.

ΚΕΦ. Δ.

diaque parte manipulorum ad frontem explicata, reliquos rectis ordinibus collocavit, et ducibus ſeorſim præcepit, quid fieri vellet. Ipſe paucos expeditos bipennibus armatos ducens, ad mœnia acceſſit, reliquis copiis in propinquo inſidias agere juſſis. Aurora jam ſublucente, portas bipennibus effringere juſſit. Fidenatibus improviſa audacia perturbatis, portasque aperientibus, et in hoſtes irruentibus nullo ordine, Romani paulatim retroceſſerunt. Fidenates, eos qui in fronte conſiſtebant, videntes, poſteriores non conſpicati, contemtis iis qui videbantur, vehementer urgebant, eos ſe facile vincere poſſe exiſtimantes. Cum longius proceſſiſſent, duces rectos manipulos poſt eos, qui in fronte ſtabant, collocarunt, eosque una ſedere juſſerunt, ne ab hoſtibus conſpicerentur. His factis, qui in fronte erant, terga vertentes, circuibant manipulos in profundum explicatos, et perſequentibus ex adverſo obviam veniebant. Qui autem latebant conſurgentes, cum vociferatione et tumultu hoſtes invadunt, recentes defatigatos, cumque his manum conſerunt: et qui fugere videbantur, Fidenates in fugam converſos occidunt, eorumque urbe potiuntur.

ΚΕΦ. Δ.

ΝΟΥΜΑΣ.

Νουμᾶς Ῥωμαίους ἐκ πολέμου καὶ φόνου βουλόμενος μεταβαλεῖν ἐς εἰρήνην καὶ νόμους, ἀναχωρῶν τῆς πόλεως εἰς τέμενος ἱερὸν νυμφῶν, ἐν τούτῳ μόνος διαιτώμενος ἐπὶ συχνὰς ἡμέρας ἐπανήει, παρὰ τῶν νυμφῶν θεοπρόπια κομίζων, ἃ συνεβούλευεν ἡγεῖσθαι νόμους. τούτοις ἐπείθοντο Ῥωμαῖοι. ὅσαι μέχρι νῦν ἑορταὶ, θυσίαι, τελεταὶ, ἱερουργίαι, ταῦτα πάντα Νουμᾶς, οἷα δὴ νόμους νυμφῶν κατεστήσατο. 5 δοκεῖν δὲ ἐμοὶ, ζηλωτὴς ἐγένετο Μίνω καὶ Λυκούργου· καὶ γὰρ οὗτοι τοὺς νόμους, ὁ μὲν παρὰ Διὸς, ὁ δὲ παρὰ Ἀπόλλωνος μαθόντες, ἢ μαθεῖν φάσκοντες, ἔπειθον αὐτοῖς χρῆσθαι, ὁ μὲν Κρῆτας, ὁ δὲ Λάκωνας.

ΚΕΦ. Ε.

ΤΥΛΛΟΣ.

Τύλλος ἦρχε Ῥωμαίων παρατασσομένων Φιδηναίοις. Ῥωμαίους προδόντες Ἀλβανοὶ τὸ λαιὸν κέρας λιπόντες, ἐς τὰ ὄρη παρεχώρουν· ἱππεὺς διὰ τάχους Τύλλῳ προσδραμὼν

5 *Vulg.* δοκεῖ δὲ ἐμοί.

CAP. IV.

NUMA.

Numa, ut Romanos a bellis et cæde ad pacem atque leges deduceret, ab urbe ſeceſſit in ſacroſanctum Nympharum templum. In eo cum ſolus per multos dies vitam egiſſet, reverſus, oracula ab Nymphis apportavit de iis, quæ ſuaſit, ut pro legibus haberentur: iis Romani ſe obedientes præbuerunt. Quæcunque igitur in hunc uſque diem feſta, ſacrificia, cæremoniæ, ſolennitates ſunt, hæc omnia Numa quaſi leges Nympharum conſtituit. Mihi equidem Minoëm et Lycurgum æmulatus eſſe videtur. Nam ex iis leges alter ab Jove, alter ab Apolline diſcentes, aut ſaltem ſe didiciſſe profitentes, alter Cretenſibus, alter Laconibus, ut his uterentur, perſuaſit.

CAP. V.

TULLUS.

Tullus Romanorum imperium tenebat. Fidenatibus repugnam cum Romanis committentibus, Albani proditione facta, lævum cornu reliquerunt, et in montes diſceſſe-

μων ἤγγειλε τὴν προδοσίαν· ὁ δὲ ἀνεβόησε μέγιστον· Ἀλλὰ σὺ μὲν τὴν σαυτοῦ τάξιν φύλαττε· Ἀλβανοὶ δὲ ἀπιάσι κυκλωσόμενοι τοὺς πολεμίους, ἐμοῦ προστάξαντος. τοῦτ᾽ ἀκούσαντες Ῥωμαῖοι λαμπρὸν ἠλάλαξαν. οὐ μὴν οὐδὲ Φιδηναίους ἔλαθεν ἡ τῶν ἀλαλαξάντων χαρά. σπουδῇ δὲ καὶ τάχει φεύγειν ὥρμησαν, ὑπ᾽ Ἀλβανῶν κυκλωθῆναι φοβηθέντες.

ΚΕΦ. ϛ.

ΤΑΡΚΥΝΙΟΣ.

6 Ταρκύνιος Γαβίους πολιορκῶν χρόνῳ μακρῷ, μὴ δυνάμενος ἑλεῖν, τὸν νεώτατον τῶν παίδων Σέξτον πληγαῖς αἰκισάμενος αὐτόμολον ἔπεμψεν· οἱ δὲ τὸ σῶμα πικρῶς ᾐκισμένον ἰδόντες, ἐδέξαντο, πολλὰ καὶ μεγάλα ἐπαγγειλάμενον κατὰ τοῦ πατρός· ὧν τὰ πλεῖστα δράσας πιστὸς ἦν. ἐληΐζετο Ῥωμαίους, ἐς φυγὴν ἐτρέπετο, αἰχμαλώτους ἐλάμβανε, μάχας ἐνίκα πολλάς· ὥς τε καὶ οἱ Γάβιοι θαυμάσαντες, αὐτοκράτορα στρατηγὸν αὐτὸν ἀπεφήναντο· ὁ δὲ ἄγγελον κρύφα πέμψας τὸν πατέρα ἤρετο, τί δρᾷν κελεύοι. Ταρκύνιος δὲ· καὶ γὰρ ἔτυχεν ὁμιλῶν ἐν κήπῳ τοὺς

6 MS. Ταρκυίνιος.

ſceſſerunt. Eques celeriter ad Tullum contendens, proditionem nuntiavit. Ille vero magna voce exclamavit: Tu vero tuum locum tene. Albani enim abierunt meo juſſu, ut hoſtes circumventos includant. Quo audito, Romani fortiſſime vociferabantur. Verum non latebat Fidenates vociferantium lætitia. Itaque ſummo ſtudio et feſtinatione fugam petebant, veriti, ne ab Albanis circumvenirentur.

CAP. VI.

TARQUINIUS.

6 Tarquinius, cum Gabios longo tempore oppugnatos, capere non poſſet, minimum natu filium Sextum, plagis affectum, transfugæ ſpecie miſit. Qui corpus acerbis verberibus caſtigatum videntes, eum receperunt. Ille contra patrem multa, magnaque pollicitus, cum pleraque factis exſequeretur, fidelis habebatur. Prædas ex Romanorum agris agebat, in fugam eos convertebat, captivos cepit, multas pugnas vincebat. Quam ob cauſſam Gabii admirati virtutem, eum ſummum belli ducem creaverunt. Ille autem clam nuntio ad patrem miſſo, eum interrogavit, quid fieri vellet? Tarquinius (nam in horto verſa-

τὰς ὑψηλοτάτους μήκωνας ἀποκλάσας, ἔφη, πρὸς τὸν ἄγγελον, Φράζε μου τῷ παιδὶ τοῦτο πράττειν. ὁ μὲν ἤγγειλεν. ὁ δὲ Σέξτος τοὺς προέχοντας τῶν Γαβίων διαφθείρας, οὕτω μηχανησάμενος ἐρημίαν καὶ ἀσθένειαν Γαβίοις, τὴν πόλιν αὐτῶν παρέδωκε Ῥωμαίοις.

ΚΕΦ. Ζ.

ΚΑΜΙΛΛΟΣ.

Κάμιλλος Φαλερίοις ἐπολέμει· τῶν Φαλερίων παίδων ὁ διδάσκαλος προαγαγὼν αὐτοὺς ἔξω τείχους, ὡς γυμνασομένους, παρέδωκε Ῥωμαίοις. Κάμιλλος δὲ ἀσεβῆ τὴν τοῦ διδασκάλου προδοσίαν ἡγησάμενος, προσέταξεν ὀπίσω τὰς χεῖρας αὐτοῦ περιαχθῆναι, καὶ δεθῆναι, καὶ τοῖς παισὶν ἐπέτρεψεν ἀπάγειν τὸν προδότην ὡς τοὺς πατέρας. Φαλέριοι τὸν μὲν διδάσκαλον αἰκισάμενοι κατέφθειραν· τοῦ δὲ Καμίλλου θαυμάσαντες τὴν εὐσέβειαν καὶ τὴν δικαιοσύνην, σφᾶς αὐτοὺς ἄνευ μάχης παρέδωκαν. Κάμιλλος δὲ τοὺς πολλῷ χρόνῳ ἁλῶναι μὴ δυναμένους, εὐσεβεῖ στρατηγήματι παρεστήσατο.

β′ Κελτοὶ Βρέννου βασιλέως ἡγουμένου κατὰ κράτος τὴν Ῥώμην ἑλόντες, ἑπτὰ μησὶ κατέσχον. Κάμιλλος τοὺς ἔξω τῆς

verſabatur) ſumma papaverum capita decutiens, inquit ad nuntium: Refer filio, me hoc facere quod vides. Sextus Gabiorum potentiſſimos de medio ſuſtulit, atque ita ad ſolitudinem et imbecillitatem Gabios redigens, civitatem eorum prodidit.

CAP. VII.

CAMILLUS.

Camillus cum Faleriis bellum gerebat. Qui Faleriorum pueros inſtituebat, eductos eos extra urbem, quaſi exercitandi cauſſa, Romanis tradidit. Camillus ludimagiſtri proditionem ſceleratam judicans, manus ejus in tergum religari juſſit; puerisque permiſit, ut proditorem ad ſuos parentes deducerent. Falerii ludimagiſtrum quidem verberibus confectum necarunt: Camilli vero pietatem et juſtitiam admirati, ſeipſos ei absque prælio tradiderunt. Ita Camillus eos, qui diuturna oppugnatione capi non poterant, pio quodam ſtrategemate ſubegit.

2 Galli cum duce Brenno rege per vim Romam occupaſſent, ſeptem menſibus eam tenuerunt. Camillus Roma-

τῆς πόλεως Ῥωμαίους συναγαγὼν ἐξήλασε Κελτοὺς, καὶ τὴν πόλιν ἀνέστησε. πάλιν αὖ Κελτοὶ μετὰ τρία ἔτη καὶ δέκα ἐς τὴν Ῥώμην ἐμβαλεῖν τολμήσαντες, ἐστρατοπεδεύσαντο περὶ τὸν Ἀνίωνα ποταμὸν, ἐλάχιστον τῆς πόλεως ἀπέχοντα. Κάμιλλος αἱρεθεὶς πέμπτον δικτάτωρ, καὶ τὴν [7] στρατείαν ἀναλαβὼν, πρὸς μὲν τὰς τῶν Κελτῶν μαχαίρας, αἷς καταφέροντες τὰς κεφαλὰς διέκοπτον, ἐκέλευσεν ἀντιχαλκεύσασθαι τὰ κράνη ὁλοσίδηρα, καὶ λεῖα, ὅπως αἱ μάχαιραι ἀπολισθάνοιεν, ἢ κατεάγοιντο. τοῖς δὲ θυρεοῖς κύκλῳ περιήρμοσε λεπίδα χαλκὴν τοῦ ξύλου τὰς πληγὰς μὴ στέγοντος. τοὺς δὲ στρατιώτας ἐδίδαξε [8] τοῖς ξυστοῖς μακροῖς ἀπὸ χειρὸς χρήσασθαι, καὶ τοῖς ξίφεσι τῶν πολεμίων σφᾶς αὐτοὺς ὑποβαλόντας ἐκδέχεσθαι τὰς καταφοράς. ὅ τε γὰρ σίδηρος τῶν Κελτῶν μαλακὸς ὢν, καὶ πονηρῶς ἐληλασμένος ἐκάμπτετο ταχέως, αἵ τε μάχαιραι αὐτῶν ἐδιπλοῦντο, καὶ ἦσαν ἄχρηστοι πρὸς τὴν μάχην. οὕτως γέ τοι καὶ ῥᾳδίως ἡττηθέντες, οἱ πλεῖστοι μὲν αὐτῶν ἔπιπτον, οἱ λοιποὶ δὲ φυγόντες ᾤχοντο.

ΚΕΦ. Η.

7 *Στρατιάν.* *Caſ.* 8 Plutarchus in Camillo, unde hic noſter ſua hauſit, habet *ὑσσοῖς.* *Caſ.*

Romanis, qui extra urbem erant, collectis, expulit Gallos, urbemque reſtituit. Rurſus Galli poſt annos tredecim Romanórum regionem invadere auſi, ad Anienem fluvium, non procul ab urbe, caſtra metabantur. Camillus quintum Dictator creatus, acceptis copiis, contra Gallorum gladios, quibus imperentes, capita diſſecabant, juſſit comparare galeas omnino ferreas ac læves, ut enſes ob lubricum galearum delaberentur, aut conſtringerentur. Clypeis autem undique æneum tegumentum induxit, ligno ictus non ferente. Milites vero longis haſtilibus cominus uti docuit, et hoſtium gladiis ſeipſos opponere, ictusque excipere. Gallorum enim ferrum cum eſſet molle, maleque fabricatum: repente flectebatur, eorumque enſes hebetes fiebant, et ad pugnam erant inutiles. Sic nullo negotio victi, multi eorum cadebant. Reliqui vero ſe fugæ mandabant.

CAP. VIII.

ΚΕΦ. Η.
ΜΟΥΚΙΟΣ.

Τυῤῥηνοὶ Ῥωμαίοις ἐπολέμουν· Τυῤῥηνῶν βασιλεὺς ἦν Πορσίνας, Ῥωμαίων ἦρχε Ποπλικόλας τρίτον ὑπατεύων. Μούκιος Ῥωμαῖος ἀνὴρ, ἄριστος τὰ πολέμια, Πορσίναν βουλόμενος ἀνελεῖν, ἐς τὸ Τυῤῥηνικὸν στρατόπεδον ἦλθεν, ἐσθῆτα ἔχων Τυῤῥηνίδα, καὶ τῇ φωνῇ Τυῤῥηνίζων καὶ δὴ παρελθὼν ἐπὶ τὸ βῆμα, τὸν βασιλέα τὸν Πορσίναν οὐκ εἰδὼς ὅς τις ἦν, ὃν ᾠήθη μάλιστα τῶν καθεζομένων ἐοικέναι βασιλεῖ, καὶ δὴ τοῦτον ἔκτεινε, σπασάμενος τὸ ξίφος· συλληφθεὶς ὡμολόγησεν ὅς τις ἦν. Πορσίνας μὲν δὴ ἔθυεν ἐπὶ τῇ σωτηρίᾳ τοῖς θεοῖς· Μούκιος δὲ τῆς ἐσχάρας πῦρ ἐχούσης, ὑπερέσχε τὴν χεῖρα τὴν δεξιὰν, καὶ τῆς χειρὸς καιομένης, εἱστήκει τῷ Πορσίνᾳ διαλεγόμενος φαιδρῷ καὶ ἀτρέπτῳ τῷ προσώπῳ· ὡς δὲ Πορσίνας την ἀρετὴν ὑπερεθαύμαζε, Μούκιος, Μηδαμῶς, ἔφη, θαυμάσῃς· τριακόσιοι Ῥωμαῖοι την αὐτὴν ἐμοὶ καρτερίαν ἔχοντες ἐν τῷ στρατοπέδῳ σου πλανῶνται, παραφυλάσσοντες καιρὸν τῆς σῆς ἀναι-

CAP. VIII.
MUTIUS.

Tyrrheni cum Romanis bellum gerebant. Tyrrhenorum rex erat Porſena, Romanorum imperator Publicola, tertium conſul. Mutius civis Romanus, in re militari præſtantiſſimus, interficiendi Porſenæ cauſſa, in Tyrrhenorum caſtra venit, habitu Tyrrheno, vocem etiam Tyrrhenorum imitatus. Qui accedens ad tribunal, cum regem Porſenam non noſſet, quinam eſſet, ex aſſidentibus, quem maxime regi ſimilem eſſe putabat, eum ſtricto gladio interfecit. Comprehenſus, faſſus eſt quinam eſſet. Porſena ob datam ſalutem diis ſacrificabat. Mutius autem in focum igne plenum, rectam manum injecit: et dum manus combureretur, ſtans cum Porſena loquebatur, hilari et intrepido vultu. Cum Porſena ſupra modum hominis virtutem admiraretur, Mutius, nequaquam, inquit, mireris. Trecenti Romani eadem tolerantia et virtute præditi, qua ego, in caſtris oberrant, tempus captantes te interficiendi. Por-

ἀναιρέσεως. Πορσίνας πιστεύσας τοῖς λεγομένοις, καὶ φοβηθεὶς, τὸν πόλεμον πρὸς Ῥωμαίους διελύσατο.

ΚΕΦ. Θ.

ΣΥΛΛΑΣ.

Σύλλας ἐν τῷ συμμαχικῷ πολέμῳ τῶν στρατιωτῶν στρατηγικὸν ἄνδρα καὶ πρεσβύτην, Ἀλβῖνον λίθοις καὶ ξύλοις διαχρησαμένων, οὐκ ἐπεξῆλθεν· ἀλλὰ παρεῖδε τοὺς ἀποκτείναντας, φάσκων ποιεῖν αὐτοὺς ἐν τούτῳ προθυμοτέρους ἐς τὸν πόλεμον, ὡς ὀφείλοντας ὑπὲρ ἁμαρτήματος μεγάλου, διὰ μεγάλης ἀνδραγαθίας ἀπολογήσασθαι. τοιγάρτοι καὶ ἐν ταῖς μάχαις πολλῷ γενναιότερον ἠγωνίσαντο· ὥς τε καὶ λήθην ἐμποιῆσαι τῆς εἰς τὸν Ἀλβῖνον παρανομίας.

β′ Σύλλας Ἀρχελάῳ τῷ Μιθριδάτου στρατηγῷ περὶ Ὀρχομενὸν παρετάσσετο. ὁρῶν δὲ τοὺς Ῥωμαίους ἡττωμένους καὶ φεύγοντας, αὐτὸς ἀποπηδήσας τοῦ ἵππου, καὶ σημεῖον ἁρπάσας, ὠθεῖτο διὰ τῶν φευγόντων, ἐς τοὺς πολεμίους, βοῶν, ἐμοὶ μὲν ἐνταῦθα καλὸν, ὦ Ῥωμαῖοι, τελευτᾷν· ὑμεῖς δὲ τοῖς πυνθανομένοις ποῦ προδεδώκατε Σύλλαν, μέμνησθε φράζειν, ἐν Ὀρχομενῷ. τοῦτον τὸν λόγον Ῥωμαῖοι καται-

Porſena credens his verbis, metuque perterritus, bellum cum Romanis compoſuit.

CAP. IX.

SYLLA.

Sylla in bello ſociali viri militaris et ætate provecti Albini, lapidibus ac fuſtibus a militibus interemti, mortem non ultus eſt: ſed auctores cædis neglexit, inquiens ſe eos alacriores hac re ad pugnandum reddere, cum inſigne peccatum inſigne aliqua fortitudine expiare deberent. Itaque in pugnis multo virilius dimicabant, ut oblivionem ſuo in Albinum ſceleri inducerent.

2 Sylla adverſus Archelaum Mithridatis ducem ad Orchomenum præliabatur. Videns autem Romanos victos fugam capeſſere, ipſe ab equo deſiliens, arrepto vexillo per fugientes ad hoſtes tendebat, clamans: Mihi hic glorioſum eſt, ô Romani, mortem obire. Vos autem interrogantibus ubi Syllam prodideritis, facite ut reſpondeatis, In Orchomeno. Hoc ſermone pudefacti Romani

καταιδεσθέντες, ἀνέστρεψαν· καὶ προθύμως ἐμβαλόντες ἐτρέψαντο τοὺς πολεμίους.

ΚΕΦ. Ι.
ΜΑΡΙΟΣ.

Μάριος Κιμβρίων καὶ Τευτόνων ἐς τὴν Ἰταλίαν ἐμβαλόντων ἀγρίων ἀνθρώπων, μεγάλων, τὰς ὄψεις ἀλλοκότων, θηριώδη τὴν φωνὴν ἐχόντων, ἐπὶ πλεῖστον ὅσον οὐ συνέβαλεν εἰς μάχην, ἀλλὰ ἐκέλευε τοὺς στρατιώτας τοῦ χάρακος ἐμβάλλειν προσιόντας, πόρρωθεν ἱσταμένους, ὁρῶντας τοὺς πολεμίους, ἤθιζε τῆς μορφῆς αὐτῶν ἀνέχεσθαι· καὶ τὴν φωνὴν ὑπομένειν, καὶ τὴν ὄψιν χειροήθη ποιεῖσθαι. οὕτως ἄρα οἱ στρατιῶται τὸ θάμβος τῶν βαρβάρων ἐκλύσαντες, κατεφρόνησαν αὐτῶν· καὶ τὸν Μάριον αὐτοὶ παρεκάλουν ἐξάγειν αὐτοὺς ἐπὶ τὴν μάχην. καὶ δὴ συμβαλόντες δέκα μυριάσι τῶν πολεμίων, τοὺς μὲν ἔκτειναν, τοὺς δὲ ζῶντας ἔλαβον.

β′ Μάριος Τεύτοσι καὶ Κιμβρίοις μέλλων συμβάλλειν ἐν ὑπωρείαις ἀνωμάλοις, Μάρκελλον διὰ νυκτὸς ἐκέλευσε τρισχιλίους ὁπλίτας ἄγοντα, δι᾽ ἀβάτων ὀρῶν περιελθόντα, κατὰ

mani, reverterunt, et alacriter in adverſarios impetu facto, eos in fugam compulerunt.

CAP. X.
MARIUS.

Marius Cimbris et Teutonibus in Italiam impreſſionem facientibus, qui homines erant agreſtes, immani magnitudine, facie monſtroſa, et belluina voce præditi, diu moratus, manum non conſeruit: ſed milites juſſit ad vallum accedentes, intro tela conjicere: proculque conſiſtentes in hoſtes intuendo, aſſuefecit, ut eorum formam ſuſtinere, et vocem tolerare poſſent, faciemque uſitatam redderent. Sic milites ſtuporem barbarorum abjicientes, eos deſpexerunt: atque ipſi Marium hortabantur, ut ſe ad ineundam pugnam educeret: commiſſoque prælio cum centum millibus hoſtium, partim occiderunt, partim vivos ceperunt.

2 Marius cum Teutonibus et Cimbris conflicturus in montium lateribus inæqualibus, Marcellum per noctem juſſit cum tribus millibus armatorum per invia mon-

κατὰ νώτου τῶν πολεμίων γενέσθαι. ἐπεὶ δὲ συνέβαινε, παράγγελμα τοῖς στρατιώταις ἔδωκεν, ἐκ τῶν ἀνωμάλων ἠρέμα ὑποβαίνειν ἐς τὸ πεδίον· ὅπως οἱ πολέμιοι φεύγειν αὐτοὺς οἰόμενοι διώκειν ἐγχειρεῖεν, καὶ οὕτως ἐς τὸ ὁμαλὸν κατέλθοιεν. ὡς δὲ κατῆλθον, κατὰ πρόσωπον μὲν οἱ περὶ τὸν Μάριον, κατὰ νώτου δὲ οἱ περὶ τὸν Μάρκελλον, συῤῥήξαντες κατέκοψαν τοὺς πολεμίους, καὶ νίκην λαμπροτάτην ἐνίκησαν.

γʹ Μάριος Κιμβρίοις συμβαλὼν ἀπὸ χειμερίων τόπων ὁρμωμένοις, ἠπίστατο κρύος μὲν καὶ χιόνα φέρειν δυναμένους, καῦμα δὲ καὶ ἥλιον οὐδαμῶς. ἦν μὲν δὴ μὴν Αὔγουστος. Μάριος δὲ κατὰ νώτου τῶν στρατιωτῶν προκατελάβετο τῆς μάχης τὸν τόπον· οἱ βάρβαροι δὲ ἐπιστραφέντες κατὰ πρόσωπον τὸν ἥλιον ἔχοντες, ἀντιλάμπουσαν τὴν αὐγὴν οὐ φέροντες, ὑπὸ τοῦ θάλπους ἱδρῶτα πολὺν μετὰ ἄσθματος ἀφιέντες, τοὺς μὲν θυρεοὺς προεβάλλοντο πρὸ τῶν προσώπων, τὴν ἀκμὴν τοῦ ἡλίου μὴ φέροντες· τὰ δὲ σώματα αὐτῶν γυμνούμενα τιτρώσκοντες οἱ Ῥωμαῖοι, κατέκοψαν. πίπτουσι τῶν βαρβάρων δωδεκάκις μύριοι· ἁλίσκονται ζῶντες ἑξάκις μύριοι.

ΚΕΦ. ΙΑ.

montium circumire, et ad terga hoſtium evadere. Quod poſtquam accidit, militibus præceptum dedit, ut ex montanis paulatim ſe in campum reciperent, ut hoſtes fugere eos arbitrati, perſequi conarentur, et ſic in planitiem deſcenderent. Qui eum deſcendiſſent, a facie Marius, a tergo Marcellus irruptione facta, hoſtes conciderunt, victoriamque ſplendidiſſimam reportarunt.

γ Marius cum Cimbris bellum gerens ex frigidis regionibus profectis, ſciebat eos frigus ac nives perferre poſſe, æſtum et ſolem non item. Erat tunc menſis Auguſtus. Marius a tergo militum, præoccupavit locum pugnæ idoneum. Barbari converſi cum ſolem adverſum haberent, neque affulgentem ſplendorem ferre poſſent, æſtu confecti plurimum ſudorem cum anhelitu emittentes, clypeos pro oculis objecerunt, quod ſolis radios ſuſtinere nequirent. Corpora vero eorum nudata vulnerantes, Romani ceciderunt. Cadunt barbarorum centum et viginti millia, vivique capiuntur ad ſexaginta millia.

ΚΕΦ. ΙΑ.

ΜΑΡΚΕΛΛΟΣ.

Μάρκελλος Συρακούσας πολιορκῶν, ὑπὸ τῶν τοῦ Ἀρχιμήδους μηχανημάτων ἡσσώμενος, προσβάλλειν μὲν οὐκ ἔτι τοῖς τείχεσιν ἐθάρσει· χρόνῳ δὲ τὴν πολιορκίαν ἐπέτρεψεν, καὶ δὴ μετὰ πολὺ Δάμιππον Σπαρτιάτην Συρακουσίων ἐκπλέοντα ἑλὼν αἰχμάλωτον, 9 ἔλαβε παρὰ τούτου, πύργον εἶναι τοῦ τείχους φυλασσόμενον ἀμελῶς, δυνάμενον δέξασθαι ἄνδρας συχνούς, τοῦ τείχους ἐπιβατοῦ ὄντος· πρὸς δὴ τὸ ὕψος αὐτοῦ συμμέτρους κλίμακας κατασκευάσας, Μάρκελλος, Συρακουσίων ἑορτὴν ἀγόντων Ἀρτέμιδι, καὶ περὶ μέθην καὶ παιδιὰν ἐχόντων, τόν τε πύργον κατέσχε, καὶ κύκλῳ τὸ τεῖχος ὅπλων ἐπλήρωσε, καὶ πρὸ τῆς ἕω τὰ ἑξάπυλα διακόψας, κατέσχε τὴν πόλιν· οἱ μὲν στρατιῶται γενναίως ἀγωνισάμενοι τῆς πόλεως ἁρπαγὴν ᾐτήσαντο· ὃ μὴν ἔδωκε Μάρκελλος, ὅτι μὴ ἀπὸ μόνων ἀνδραπόδων καὶ χρημάτων ὠφελεῖσθαι· 10 τῶν δὲ ἱερῶν καὶ τῶν ἐλευθέρων σωμάτων ἀπέχεσθαι προσέταξεν.

ΚΕΦ. ΙΒ.

9 Ἔμαθε. *Caſ.* 10 *Idem* ad marginem Vulgatæ τῶν ἱερέων.

CAP. XI.

MARCELLUS.

Marcellus Syracuſas oppugnans, cum ab Archimedis machinis vinceretur, aggredi mœnia non amplius audebat. Ad tempus autem oppugnationem omiſit, et longe poſt Damippum Spartiatam, Syracuſis enavigantem cepit, ab eoque cognovit turrim quandam in muris eſſe, in qua negligenter cuſtodiæ adminiſtrarentur, eam multos homines capere poſſe, murumque in ea parte non difficilem aſcenſum habere. Qua re cognita, ſcalas ad altitudinem ejus congruentes fabricavit, Marcellus Syracuſanis feſtum in honorem Dianæ obeuntibus, et vino indulgentibus, ludicraque exercentibus, turrim occupavit, et circumcirca murum armis implevit, ac ſub auroram hexapylis effractis, urbe potitus eſt. Milites fortiter pugnantes, ut ſibi civitatem diripere liceret, poſtulabant. At Marcellus nihil præter mancipiorum et pecuniarum uſum conceſſit. A ſacerdotibus autem et liberis hominibus abſtinere juſſit.

CAP. XIII.

ΚΕΦ. ΙΒ.

ΑΤΙΛΙΟΣ.

Ἀτίλιος ἁλοὺς ὑπὸ Καρχηδονίων, ὤμοσεν αὐτοῖς, 11 ἢν ἀφεθῇ, πεῖσαι ἂν τὴν σύγκλητον διαλύσασθαι τὸν πόλεμον· μὴ πείσας δὲ ὡς αὐτοὺς ἀναστρέψαι. ἀφικόμενος ἐς Ῥώμην, τοὐναντίον ἔπεισε τὴν σύγκλητον· 12 τότε δὴ καὶ τοτόνδε μᾶλλον, ὡς Καρχηδόνιοι ἀπαγορεύουσι, καὶ τὰ τῆς ἀσθενείας αὐτῶν ἀπόῤῥητα, καὶ ὃν τρόπον εἶησαν ἁλώσιμοι προηγόρευσε. τῆς δὲ συγκλήτου παρακαλούσης αὐτὸν μένειν, καὶ τὸν ἐν ταῖς ἀνάγκαις ὅρκον ἀνώμοτον ἡγεῖσθαι, περιπλεκομένων τέκνων, γυναικὸς, φίλων, συγγενῶν, οὐχ ὑπέμεινε παραβῆναι τὸν ὅρκον· πλεύσας δὲ ὡς τοὺς Καρχηδονίους, ἀνήγγειλεν αὐτοῖς, τό, τι αὐτοῦ στρατήγημα, καὶ τὴν Ῥωμαίων γνώμην. οἱ δὲ καθείρξαντες αὐτὸν ἐς γαλεάγραν, αἰκίσαντες τε χρόνῳ μακρῷ, καὶ βασανίσαντες ἔκτειναν.

11 MS. ἵν᾽ ἀφεθῇ. 12 τότε δὴ καὶ μᾶλλον. Pro ὡς Καρχηδόνιοι ἀπαγορεύουσι. MS. Καρχηδονίοις ὡς ἀγορεύουσι.

CAP. XII.

ATTILIUS.

Attilius captus a Carthaginienſibus juravit eis, ſi dimitteretur, ſe perſuaſurum ſenatui, ut bellum componeret: ſin perſuadere non poſſet, ad eos reverſurum. Cum Romam veniſſet, contrarium ſenatui ſuaſit. Tum vero magis etiam quod Carthaginienſes animo concidiſſent, et eorum occultam imbecillitatem, et modum quo capi facilius poſſent, oſtendit. Senatu eum hortante, ut maneret, et neceſſarium jurisjurandum, injuratum exiſtimaret, conplectentibus liberis, conjuge, amicis, cognatis, noluit fidem jurisjurandi transgredi. Sed renavigans ad Carthaginienſes, ſuum eis ſtrategema et Romanorum conſilium pariter indicavit. Qui eum in carcerem conjectum, verberibus affecerunt, et longo tempore cruciatum necarunt.

ΚΕΦ. ΙΓ.

ΓΑΙΟΣ.

Γαΐος παράγγελμα ἔδωκε τοῖς ἐν τῷ στρατοπέδῳ μένειν ἐπὶ τῶν ὅπλων. ἐπεὶ δὲ ὥρᾳ θέρους υἱὸς αὐτοῦ τὸν ἵππον διψῶντα ἤγαγεν ἐπὶ τὸν ποταμὸν παραῤῥέοντα, προσέταξεν ἀφιλεῖν αὐτοῦ τὴν κεφαλὴν, ὡς οὐ πεισθέντος τῷ παραγγέλματι. τούτῳ τῷ ἔργῳ τοὺς στρατιώτας ἐδίδαξε μηδέποτε παρακοῦσαι παραγγέλματος.

ΚΕΦ. ΙΔ.

ΦΑΒΙΟΣ.

Φάβιος ἐν τῷ πρὸς Ἀννίβαν πολέμῳ μὴ παραταττόμενος κακὸς ἤκουεν ἐν τῇ συγκλήτῳ. τοῦ δὲ υἱοῦ παρακαλοῦντος ἀποτρέψασθαι τὴν ἀδοξίαν, ἐπέδειξεν αὐτῷ μέρος ἕκαστον τῆς φάλαγγος· ἐνίων δὲ οὐκ ἐῤῥωμένως ἐχόντων, Ὁρᾷς, ἔφη, ὡς οὐ καλὸν συμβαλόντας ἀποκυβεῦσαι περὶ τῶν ὅλων· πολλάκις γὰρ ὅλη μὲν ἡ φάλαγξ οὐκ εἴληφεν ἀγῶνος πεῖραν· κατὰ μέρος δὲ τὸν ἔμπειρον οὐκ ἔλαθεν ἡττᾶσθαι δυναμένη. τοιγάρτοι [13] συμβουλὴν μὴ συμβαλεῖν,

13 Pro συμβουλεύω μὴ συμ. *Caſ.*

CAP. XIII.

CAJUS.

Cajus præceptum dederat iis, qui in caſtris erant, ut in armis manerent. Sub tempus autem æſtuantis ſolis filius ejus equum ſitientem deduxit ad fluvium præterlabentem. Ejus caput abſcindi juſſit, quod edicto non paruiſſet. Hoc facto milites docuit, ne mandatum unquam negligerent.

CAP. XIV.

FABIUS.

Fabius in bello contra Annibalem, quod manum cum hoſtibus non ſonſereret, male audiebat in ſenatu. Filio hortante, ut depelleret infamiam, oſtendit ei ſingulas agminis partes. Quibusdam vero non ſatis robuſta corpora habentibus: Vides, inquit, non eſſe commodum inito prælio armis fortunam tentare. Perſæpe enim univerſum agmen certaminis periculum non fecit. Sigillatim vero peritum rei militaris non latet, ſuperari ac vinci

λεῖν, ἀλλ᾽ ἕπεσθαι, τὰς ὑπωρείας κατέχοντα, καὶ τὰς πόλεις ἀφιςάντα. ταῦτα λέγων καὶ πράττων, ἐν μὲν τῷ παραυτίκα, ἐνομίσθη δειλός. ὕςερον δὲ ἄλλων πολλὰς δυνάμεις ἀπολλύντων, πάλιν οἱ Ῥωμαῖοι κατέφυγον ἐπὶ Φάβιον, καὶ ἐπὶ τὴν αὐτοῦ ςρατηγίαν· ὥς τε καὶ δικτάτωρ ἀπεδείχθη, καὶ Μάξιμος ἀνηγορεύθη, τοῦτο δ᾽ ἂν εἴη μέγιςος.

β′ Φάβιος ἐπεκλήθη μέγιςος, Σκηπίων μέγας· ἐζηλοτύπει τῆς δόξης ὁ Σκηπίων τὸν Φάβιον. ὥς τε καὶ ἤρετο· τί δή ποτε, σὺ μὲν διατηρήσας μόνον τὰ ςρατόπεδα κληΐζῃ μέγιςος, ἐγὼ δὲ μέγας ὁ συμβαλὼν καὶ κατὰ ςόμα νικήσας Ἀννίβαν. Φάβιος ἔφη, ἀλλ᾽ εἰ μὴ ἐγώ σοι διεφύλαξα τοὺς ςρατιώτας, οὐκ ἂν ἔσχες μεθ᾽ ὧν μαχόμενος νικῆσαι.

γ′ Φάβιος εἷλε τὴν Ταραντίνων πόλιν, Ἀννίβου συμμαχοῦντος αὐτοῖς, δόλῳ καὶ τέχνῃ. ςρατιώτης Ταραντῖνος ἦν παρὰ Φαβίῳ· τούτου τῆς ἀδελφῆς καλῆς οὔσης, ἐν Τάραντι [14] Ἀβρέντιος ἤρα, ἀνὴρ ὑπὸ Ἀννίβου τὰ τείχη φυλάτ-

14 ὁ Βρέττιος, ſic infra quoque pro Ἀβρέντιος, quomodo *Plutarchus* in Fabio. *Maſv.*

vinci poſſe. Itaque hoc in medium conſulo, non in manus venire, ſed per montana ſequi, et urbes ad defectionem perducere. Hæc dicens ac faciens, primo quidem timidus exiſtimabatur. Poſtmodum autem cum reliqui maximos exercitus amiſiſſent, iterum Romani ad Fabium confugerunt, et ducem iterum conſtituerunt, adeo ut etiam dictator ſit creatus, et Maximus nuncupatus, quod eſt, ſi Græce vertas, μέγιςος.

2 Fabius cognomen accepit Maximi, Scipio Magni. Scipio quadam æmulatione erga Fabii gloriam afficiebatur. Itaque rogabat eum: Qui ſit, ut tu conſervandis duntaxat exercitibus, Maximi cognomen adeptus ſis: ego cum hoſtibus confligendo, Magni, cum Annibalem cominus facto prælio devicerim? Reſpondit Fabius: At niſi ego tibi milites conſervaſſem, tu non habuiſſes quibuscum potuiſſes vincere.

3 Fabius Tarentinorum urbem, Annibale ipſis auxilium ferente, arte ac dolo cepit. Erat apud Fabium miles Tarentinus. Ejus ſororem, inſigni forma præditam, Tarenti Abrentius deperibat, cui eidem murorum cuſtodia ab Annibale deman-

φυλάττειν πεπιστευμένος. τοῦτο μαθὼν Φάβιος τὸν Ταραντῖνον στρατιώτην εἰσέπεμψε πρὸς τὴν ἀδελφήν. ὁ δὲ δι' αὐτῆς τὸν Ἀβρέντιον φίλον ποιησάμενος, ἔπεισε τὰ Ῥωμαίων φρονεῖν. ὥς τε καὶ συνθέμενος Ἀβρέντιος ἔδειξε, καθ' ὃ μέρος χρὴ προσβαλεῖν τοῖς τείχεσι. Φάβιος κλίμακας προσθεὶς, ἐπαναβὰς, κατὰ κράτος αἱρεῖ τὴν πόλιν. ἐπὶ τούτῳ μάλιστα πάντων ἐθαυμάσθη, στρατηγήματι κρατήσας Ἀννίβου, τοῦ τέχναις καὶ δόλοις τὰ πλεῖστα νικῶντος.

ΚΕΦ. ΙΕ.

ΚΟΪΝΤΟΣ.

Κόϊντος Φάβιος τὸν υἱὸν αἱρεθῆναι στρατηγὸν βουλόμενος, αὐτὸς ἤδη γεγηρακὼς, ἐδεῖτο Ῥωμαίων μηδαμῶς αὐτῷ δοῦναι τὴν ἀρχὴν, ἵνα μὴ ἀναγκάζοιτο συναποδημεῖν ἐπὶ τὸν πόλεμον ἐπὶ γήρᾳ μακρῷ. οἱ δὲ νομίσαντες ἄμεινον ἕξειν τὰ τῆς πόλεως, τούτου παρόντος, ἐψηφίσαντο τὸν νεανίσκον ἄρχοντα. ὁ δὲ Φάβιος οὐ συναπεδήμησεν· ἵνα μὴ παρέληται τὸν υἱὸν τὴν δόξαν τῆς ἀρχῆς.

ΚΕΦ. Ιϛ.

data fuerat. Hac re cognita, Fabius Tarentinum militem in urbem ad ſororem mittit. Qui ſororis opera amicitiam cum Abrentio fecit, eumque ad Romanorum partibus favendum adduxit. Itaque Abrentius facta cum eo pactione demonſtravit, qua parte aggredi mœnia deberent. Fabius erectis ſcalis aſcendens, per vim urbem capit. Hoc facto, maximam omnium admirationem meruit, quod Annibalem ſtrategemate ſuperaſſet, qui plerumque fallaciis et dolis vinceret.

CAP. XV.

QUINTUS.

Quintus Fabius filium ſuum ducem eligi cupiens, ipſe jam ætate affecta, contendebat a Romanis, ne imperium ſibi traderent, ne in extrema ſenectute cum ipſo diſimul ad bellum proficiſci cogeretur. Illi rem civitatis melius ſe habituram arbitrati, ſi hic præſens omnibus rebus intereſſet, adoleſcentem imperatorem declaraverunt. At Fabius non una profectus eſt, ne imperatoriæ dignitatis ſplendorem filio detraheret.

CAP. XVI.

ΚΕΦ. Ιϛ.
ΣΚΗΠΙΩΝ.

Σκηπίων ἐν Ἰβηρίᾳ μαθὼν ὡς τὸ τῶν πολεμίων στρατόπεδον ἄσιτον ἀφίκοιτο ἐς τὴν μάχην ἐμήκυνεν ἐξάγων, καὶ παρατάττων τὴν αὐτοῦ φάλαγγα. ἀμφὶ δὲ ὥραν ἑβδόμην πιεζομένοις ἤδη λιμῷ καὶ δίψει συμβαλὼν ῥᾳδίως ἐκράτησεν.

β' Σκηπίων τοῦ στρατοπέδου τὰς πόρνας ἐξήλασε, κελεύσας ἐς πόλιν ἀπιέναι πανηγυρίζουσαν. προσέταξε δὲ ἀποπέμψασθαι [15] καινὰς τραπέζας, ἐκπώματα, καὶ σκεύη πάντα, πλὴν χύτρας, καὶ ὀβελίσκου, καὶ ποτηρίου· ἀργυροῦν δὲ ἔκπωμα μὴ ἔχειν, πλέον δικοτύλου, καὶ λούεσθαι μηδένα· τῶν δὲ ἀλειφομένων ἕκαστον τρίβειν ἑαυτόν. τὰ γὰρ ὑποζύγια δεῖσθαι τῶν τριβόντων. ἀριστᾶν δὲ ὀρθοὺς, ἄπυρον ὄψον· δειπνοῦντας δὲ προσφέρεσθαι καὶ κρέας ὀπτὸν, ἢ ἑφθόν. ἱματίῳ δὲ χρῆσθαι σισύρᾳ Γαλατικῇ. καὶ πρῶτος ἐνεπορπήσατο σισύραν μέλαιναν. τοὺς δὲ στρατηγοὺς, ἐπὶ στιβάδος ἀνακειμένους ἑώρα, φάσκων πενθεῖν τὴν τοῦ στρατεύματος ἀσωτίαν καὶ μαλακίαν.

γ' Σκη-

15 κλίνας, τραπέζας. conj. *Gronovii.*

CAP. XVI.
SCIPIO.

1 Scipio cum in Hiſpania cognoviſſet, hoſtium exercitum impranſum ad pugnam ineundam venire, educens ſuum agmen, in longitudinem explicavit. Circiter autem horam ſeptimam afflictos jam fame et ſiti aggreſſus, facile ſuperavit.

2 Scipio omnes meretrices e caſtris ejecit, jubens eas in urbem conviviis deditam recedere. Imperavit etiam, ut novæ menſæ, ſcyphi, omniaque vaſa, præter ollam, veru, et poculum fictile exportarentur. Ex argenteis poculum non amplius duarum librarum permiſit, ſi quis habere vellet. Balneis uti vetuit. Qui ungerentur, juſſit ſe ipſos fricare. Nam jumenta fricantibus indigere. Voluit autem ut ſtantes pranderent non coctum obſonium. In cœna vero carnem ſeu coctam, ſeu aſſatam adderent. Veſtimento uterentur, ſago Gallico: et prius ipſe ſago pullo amictus, duces in ſtratis recumbentes circumiens inſpexit, dicens ſe deplorare exercitus luxuriam et mollitiem.

γ′ Σκηπίων στρατιώτην ἰδὼν χάρακα κομίζοντα, Θλίβεσθαί μοι δοκεῖς, εἶπεν, ὦ συστρατιῶτα· τοῦ δὲ, καὶ πάνυ, φήσαντος· εἰκότως, ἔφη· ἐν γὰρ τῷ ξύλῳ τὴν ἐλπίδα τῆς σωτηρίας ἔχεις, οὐκ ἐν τῇ μαχαίρᾳ.

δ′ Σκηπίων στρατιώτην ἰδὼν μέγα φρονοῦντα ἐπὶ θυρεῷ κεκοσμημένῳ· αἰσχρὸν, ἔφη, Ῥωμαῖον ἄνδρα τῇ ἀριστερᾷ χειρὶ μᾶλλον, ἢ τῇ δεξιᾷ πιστεύειν.

ε′ Σκηπίων ὑπὸ τοῦ δήμου θορυβούμενος, ἐμὲ, ἔφη, οὐδὲ στρατιωτῶν ἐνόπλων ἀλαλαγμὸς ἐξέπληξεν, οὔτι γε συγκλύδων ἀνθρώπων θόρυβος, ὧν οἶδα τὴν Ἰταλίαν μητρυιὰν, οὐ μητέρα. τούτῳ τῷ λόγῳ συνεστάλησαν, καὶ τοῦ θορυβεῖν ἐπαύσαντο.

ϛ′ Σκηπίων δορυάλωτον λαβὼν ἐν Ἰβηρίᾳ πόλιν, [16] Φοίνισσαν, ὡς οἱ φυγαγωγοὶ παρθένον ἤγαγον κάλλους ὑπερφυῶς ἔχουσαν, τὸν πατέρα αὐτῆς ἀναζητήσας, ἐχαρίσατο αὐτῷ τὴν θυγατέρα. τοῦ δὲ δῶρα προσκομίσαντος, ὁ δὲ καὶ ταῦτα [17] συνεχαρίσατο, προῖκα φήσας ἐπιδιδόναι τῇ κόρῃ. ὅσαι δὲ καὶ ἄλλαι γυναῖκες τῶν εὖ γεγονότων, ἢ θυγα-

16 MS. Οἴνισσα. Carthago Africæ ſic dicta fuit, hic autem de *Carthagine nova* ſermo eſt, quæ an ita appellata ſit, non conſtat. *Maſv.* 17 MS. συνεδωρήσατο.

3 Scipio militem conſpicatus vallum ferentem: Premi, inquit, mihi onere videris, o commilito. Quo reſpondente, Valde equidem. Sane, inquit. In ligno enim ſpem ſalutis repoſitam habes, non in gladio.

4 Scipio militem videns fœdum, clypei pulchritudinem indentidem oſtentare: Turpe, inquit, eſt lævæ manui fidere magis, quam dextræ.

5 Scipio tumultuantis populi vociferatione impeditus, Me, inquit, ne militum quidem armatorum clamor unquam terruit, neque hominum collectitiorum tumultus terrebit, quorum Italiam ſcio novercam eſſe, non matrem. His verbis repreſſi ſunt, et tumultuari deſierunt.

6 Scipio cum ſubegiſſet in Hiſpania urbem Phœniciam, cum captivorum ductores virginem inſigni formæ elegantia præditam adducerent, patrem requiſivit, eique filiam donavit. Qui cum adferret munera, etiam hæc ſimul largitus eſt, dotem, inquiens, ſe hæc puellæ dare. Quotquot autem etiam aliæ vel uxores hominum ſummo

θυγατέρες ἢ παῖδες, ὥραν ἔχοντες, ἑάλωσαν, τούτοις ἐπέστησε δύο Ῥωμαίων σωφρονεστάτους ἐκ τῶν πρεσβυτέρων. οἱ 18 θεραπευτῆρες, καὶ χορηγίαν ἔνεμον τοῖς αἰχμαλώτοις κατὰ τὴν ἀξίαν αὐτῶν. Σκηπίωνος ἡ σωφροσύνη πολλὰς πόλεις Ἰβηρικὰς Ῥωμαίοις φίλας καὶ συμμάχους ἑκούσας ἐποίησεν.

ζʹ Σκηπίων Σύφακα τὸν 19 Μασαισυέων βασιλέα σύμμαχον ποιησάμενος, διέβαλεν ἐς Σικελίαν. Ἀσδρούβας θυγατέρα παρθένον ἔχων θαυμαστὴν τὸ κάλλος, ἐκδώσειν ὑπέσχετο τῷ Σύφακι τῆς Ῥωμαίων συμμαχίας ἀποστάντι. ὁ δὲ γήμας τὴν κόρην, προσέθετο Καρχηδονίοις, καὶ παραχρῆμα ἐπέστειλε Σκηπίωνι ἀπαγορεύων, ἐπιβῆναι Λιβύης· Σκηπίων εἰδὼς Ῥωμαίους ἐπὶ τῇ Σύφακος συμμαχίᾳ μέγα φρονοῦντας, εἰ δὲ μάθοιεν προστεθειμένον τοῖς πολεμίοις, οὐκ ἂν τολμήσοντας εἰς Λιβύην διαβαίνειν, ἐκκλησίαν αὐτῶν συναγαγών, ἐς τοὐναντίον μετεποίησε τὰ γράμματα τοῦ Σύφακος· ὡς καλοῦντος τοὺς Ῥωμαίους ἐπὶ τὴν Λιβύην·

καὶ

18 Scribend. θεραπευτῆρας, vel θεραπευτῆρες εἶεν aut γένοιντο, ut videntur Codd. Interpr. habuiſſe. *Caſaub.*
19 MS. Μασαισυαίων. Scribend. Μασαισυλίων conjiciente *Caſ.* aut Μασαισυλίων, ut vult *Maſo.*

mo loco natorum, vel filiæ, vel pueri ætate florentes caperentur, his duos Romanorum moderatiſſimos attribuit ex ſenibus, qui curam eorum gererent, et ſumtum captivis pro dignitate ſuppeditarent. Scipionis continentia multas urbes Hiſpanicas ad amicitiam et ſocietatem Romanorum volentes perduxit.

7 Scipio cum Syphacem Maſæſulorum regem ſocium feciſſet, in Siciliam trajecit. Asdrubal admirabili pulchritudine filiam habens, hanc ſe collocaturum Syphaci promiſit, ſi a Romanis deficeret. Ille ducens virginem uxorem, Carthaginienſium partes ſequebatur, et confeſtim miſſis ad Scipionem litteris, vetuit eum in Africam venire. Scipio intelligens Romanos in Syphacis ſocietate magnam fiduciam habere, quod ſi audiviſſent ad hoſtes eum deſciviſſe, non auſuros in Africam tranſire: convocatis in concionem, in contrariam ſententiam Syphacis litteras convertit: quod Romanos in Africam arceſſeret, et admirare-

καὶ ὡς θαυμάζοντος ὅτι καὶ νῦν βραδύνειεν, καὶ ὡς δέον μὴ ἐκλύειν αὐτοῦ τὴν ἀκμὴν τῆς συμμαχίας. τοιαῦτα εἰπὼν, ὁρμὴν καὶ θάρσος τοῖς Ῥωμαίοις ἐνεποίησεν. οἱ δὲ εὐθὺς ἡμέραν ᾔτησαν, καθ᾽ ἣν διαπλεῦσαι προσήκοι.

η´ Σκηπίων κατασκόπους Καρχηδονίων τρεῖς συλληφθέντας, νόμου Ῥωμαίων κελεύοντος πολεμίων κατασκόπους ἀναιρεῖσθαι, τοῦτο μὲν οὐκ ἐποίησε· προσέταξε δὲ αὐτοῖς περιελθεῖν τὴν στρατιὰν ἅπασαν. οἱ δὲ ἰδόντες Ῥωμαίους, τοὺς μὲν βάλλοντας, τοὺς δὲ ἀκοντίζοντας, τοὺς δὲ πηδῶντας, τοὺς δὲ ὅπλα ἐπισκευάζοντας, τοὺς δὲ ξίφη ἀκονοῦντας, πάλιν ἤχθησαν ἐπὶ τὸν Σκηπίωνα. ὁ δὲ δοὺς ἄριστον αὐτοῖς, Ἀπαγγείλατε, εἶπεν, ἃ τεθέασθε πρὸς τὸν πέμψαντα ὑμᾶς. οἱ δὲ ἐπανελθόντες τῷ τε Ἀννίβᾳ καὶ τοῖς ἄλλοις Καρχηδονίοις ταῦτα ἀπαγγείλαντες, ἐξέπληξαν αὐτοὺς, καὶ τῇ Ῥωμαίων παρασκευῇ, καὶ τῇ Σκηπίωνος μεγαλοψυχίᾳ.

ΚΕΦ. ΙΖ.

ΠΟΡΚΙΟΣ ΚΑΤΩΝ.

Πόρκιος Κάτων ἐνέβαλεν εἰς τὴν [20] Ἰβήρων. ἐκ δὲ τῶν πόλεων ἁπασῶν ἧκον πρεσβευταὶ, σφᾶς αὐτοὺς ἐγχειρίζοντες

20 *Vulgata* εἰς τὴν Ἰβηρίαν.

raretur eos tam diu moram trahere. Itaque ejus ſocietatis vigorem diſſolvi non oportere. His dictis, cupiditatem et confidentiam Romanis injecit: qui ſtatim diem poſtularunt, quo transmittere oporteret.

8 Scipio ſpeculatoribus Carthaginienſium tribus comprehenſis, lege Romanorum jubente hoſtium exploratores interficere, id quidem non fecit, ſed eos juſſit circumire univerſum exercitum. Qui cum viderent Romanos, alios tela mittere, alios jaculari, alios cum ſaltu currere, alios arma expolire, alios gladios acuere, rurſus ad Scipionem adducti ſunt. Qui dato eis prandio: Renuntiate, inquit, quæ vidiſtis, ei qui vos miſit. Qui reverſi, Annibali, aliisque Carthaginienſibus hæc renuntiantes, terrorem eis injecerunt, et Romanorum apparatione, et Scipionis magnanimitate.

CAP. XVII.

PORCIUS.

Porcius Cato in Hiſpanorum terram impreſſionem fecit. Ex omnibus civitatibus legati venerunt, ſeſe ejus, Roma-

τις αὐτῷ τε καὶ Ῥωμαίοις. ὁ δὲ προσέταξεν αὐτοῖς ἀγαγεῖν ὅμηρα ἐπὶ ὥραν ὡρισμένην. ἐπεὶ δὲ ἦγον, ἑκάστης πόλεως δυσὶν ἀνδράσι μίαν ἐπιστολὴν ἔδωκε, κελεύσας ἅπαντας κατὰ τὴν αὐτὴν ἡμέραν ἐπανελθόντας τοῖς πολίταις ἀναγνῶναι. ἐπεὶ δὲ ἐπανῆλθον, ἀνέγνωσαν τὰ γεγραμμένα· Κατασκάψατε τὰ τείχη σήμερον. ἑκάστη τοίνυν πόλις καιρὸν οὐκ ἔχουσα πρὸς τὰς πλησίον πόλεις διαπέμψασθαι· φοβούμενοι δὲ ἕκαστοι μὴ τῶν ἄλλων ὑπακουσάντων, αὐτοὶ μόνοι μὴ πεισθέντες ἐξανδραποδισθῶσιν· οὕτως ὁμοῦ πάντες Ἴβηρες τὰ τείχη κατέσκαψαν ἡμέρᾳ μιᾷ.

ΚΕΦ. ΙΗ.

ΦΑΥΝΟΣ.

Φαῦνος Διομήδους ἐν Ἰταλίᾳ τελευτήσαντος, ἐπιτάφιον ἀγῶνα ποιῶν, πρώτῃ μὲν ἡμέρᾳ τῶν Ἑλλήνων ὡπλισμένων πομπὴν ἔπεμψε· δευτέρᾳ δὲ τῶν βαρβάρων. καὶ δὴ συνέταξε τοῖς βαρβάροις χρήσασθαι παρὰ τῶν Ἑλλήνων τὰ ὅπλα. οἱ δὲ χρήσαντες, ὑπὸ τῶν βαρβάρων τοῖς ἰδίοις ὅπλοις ἀπώλοντο.

ΚΕΦ. ΙΘ.

Romanorumque poteſtati permittentes. Ille, ut obſides ad definitum tempus adducerent, imperavit. Eos cum adducerent, uniuſcujusque civitatis duobus viris unam epiſtolam tradidit, præcipiens, ut omnes eodem die reverſi, civibus eas recitarent. Qui cum rediiſſent, ſcripta recitarunt: Diruite muros hodierno die. Cum igitur ſingulæ civitates tempus non haberent ad finitimas urbes mittendi, metuerentque ſingulæ ne cæteris morem gerentibus, ſi ipſæ ſolæ dicto audientes non fuiſſent, in ſervitutem redigerentur, imperata fecerunt, omnesque Hiſpani uno die mœnia deſtruxerunt.

CAP. XVIII.

FAUNUS.

Faunus cum Diomedes in Italia e vita deceſſiſſet, funebres ludos inſtituens, primo die Græcorum armatorum pompam duxit: Secundo barbarorum. Præcepit autem, ut barbari a Græcis arma mutuarentur: Qui cum eis commodaviſſent, a barbaris propriis armis ſunt interfecti.

CAP. XIX.

ΚΕΦ. ΙΘ.
ΤΙΤΟΣ.

Τίτον αἰχμάλωτον λαβὼν Κλεώνυμος, λύτρα ἐπράττετο δύο πόλεις Ἐπίδαμνον, καὶ Ἀπολλωνίαν. ὁ τȢ̃ Τίτȣ πατὴρ ȣ̓κ ἔδωκεν; ἀλλὰ σώζειν αὐτὸν ἐκέλευσεν. Τίτος εἴδωλον αὐτȣ̃ κατασκευάσας καθεύδοντος, ἐν τῷ οἴκῳ καθῆκε. καὶ αὐτὸς μὲν ἐπιβὰς ἀκατίȣ λαθὼν ἔφυγεν· οἱ δὲ φύλακες τὸ εἴδωλον ἐφύλαττον.

ΚΕΦ. Κ.
ΓΑΙΟΣ.

Γάϊος περὶ τὴν Τυνδαρίδα Καρχηδονίων ἐφορμȣ́ντων π′ ναυσὶν, αὐτὸς ἔχων σ′ τριήρεις, ἐπειδὴ οἱ πολέμιοι, διὰ τὸ πλῆθος τῶν νεῶν, ȣ̓κ ἀντανήγοντο, τῶν ρ′ τȣ̀ς ἱςȣ̀ς καταθέμενος, τῶν λοιπῶν ἐκπετάσας τὰ ἱςία, καὶ διὰ τȣ́των ἀποκρυπτόμενος, τὰς ἄλλας [21] καλῶς ἐξηρτημένας ἀπέπλευσεν. οἱ δὲ Καρχηδόνιοι νομίσαντες ἴσας εἶναι τὰς ναῦς τῷ πλήθει τῶν φαινομένων ἱςίων, θαῤῥήσαντες πρὸς τὸν

21 κάλοις ἐξηρτημένας conject. *Gronovii*, quam in verſione expreſſimus.

CAP. XIX.
TITUS.

Cleonymus cum Titum cepiſſet, pro eo dimittendo duas civitates poſtulabat, Epidamnum et Apolloniam. Titi pater eas non dedit, ſed eum retinere juſſit. Titus comparato ſui dormientis ſimulacro, in ædibus depoſuit, atque ipſe conſcenſo actuario minuto, clam aufugit, cuſtodibus ſimulacrum cuſtodientibus.

CAP. XX.
CAJUS.

Cajus Carthaginienſibus apud Tyndaridem appellentibus cum navibus octoginta, ipſe ducentas habens triremes, cum hoſtes multitudinem navium veriti, non ad pugnam ſolverent, centum triremium malis demiſſis, reliquarum velis expanſis, ut ſic numerum earum occultaret, funibus illas his alligavit, ac ſolvit. Carthaginienſes pares naves eſſe multitudini apparentium velorum arbitrati, ſumta

τὸν κίνδυνον ὥρμησαν· Γάϊος πολλοὺς πρὸς ὀλίγας ἀγωνισάμενος, ῥαδίως ἐνίκησεν.

ΚΕΦ. ΚΑ.

ΠΕΙΝΑΡΙΟΣ.

Πεινάριος φρούραρχος, Ἐνναίων ἀποστάντων τῆς Ῥωμαίων συμμαχίας, καὶ τὰς κλεῖς τῶν πυλῶν ἀπαιτούντων, Ἐὰν ὁ δῆμος ἅπας, ἔφη, αὔριον εἰς ἐκκλησίαν συνελθὼν τοῦτο ψηφίσηται, πεισθήσομαι τῷ ψηφίσματι. οἱ μὲν τῆς ὑστεραίας ἐς τὸ θέατρον συνελέγησαν· ὁ δὲ νύκτωρ ὑπὸ τὴν ἀκρόπολιν πολλοὺς στρατιώτας ἐφεδρεύειν ἔταξεν ὑπερδεξίους· ἄλλους δὲ περιστῆναι τὸ θέατρον, καὶ τὰς διόδους, παραφυλάττοντας τὸ σημανθησόμενον. οἱ μὲν Ἐνναῖοι συνελθόντες τὴν ἀπόστασιν ἐψηφίζοντο. τοῦ δὲ φρουράρχου σημήναντος, οἱ στρατιῶται, οἱ μὲν ἄνωθεν ἀφιέντες τὰ βέλη, οἱ δὲ κατὰ τὰς διόδους προσπεσόντες, καὶ σπασάμενοι τὰς μαχαίρας, τὸν δῆμον κατέκοψαν, ὥς τε σωρηδὸν ἐπ' ἀλλήλοις ἔπιπτον ἅπαντες, πλὴν ὀλίγων, ὅσοι κατὰ τῶν τειχῶν αὑτοὺς καθῆκαν, ἢ δι' ὑπονόμου ἔλαθον ἐκπεσόντες.

ΚΕΦ. ΚΒ.

ſumta fiducia periculum adierunt. Cajus cum multis adverſus paucas conflictione facta, nullo negotio ſuperavit.

CAP. XXI.

PINARIUS.

Pinarius præfectus cuſtodiæ, cum Ennenſes a Romanorum ſocietate deſciviſſent, et portarum claves repeterent: Si univerſus, inquit, populus craſtino die in concionem convenerit, et hoc decreto ſanxerit, morem decreto geram. Illi poſtridie in theatrum congregabantur. At ipſe noctu ſub arcem multos milites inſidiari in ſuperioribus locis juſſit, alios vero circumſiſtere theatrum, et aditus occupare, atque ad ſignum accipiendum attentos eſſe. Ennenſes convenientes defectionem decreto confirmarunt: præfecto cuſtodiæ ſignificationem dante, milites partim miſſis e loco ſuperiore telis, partim impetu per aditus facto, ſtrictisque gladiis populum occiderunt, ita ut cumulatim invicem caderent omnes, paucis exceptis, qui per muros ſe demiſerant, perque ſubterraneos meatus furtim elapſi erant.

CAP. XXII.

ΚΕΦ. ΚΒ.

ΣΕΡΤΩΡΙΟΣ.

Σερτώριος ἐν Ἰβηρίᾳ νεβρὸν ἐλάφου λευκῆς παρὰ κυνηγῶν δῶρον λαβὼν ἔθρεψε, καὶ τιθασσὸν ἐποίησεν, ὥς τε προσιόντι μὲν ἕπετο· ἐπὶ τὸ βῆμα δὲ ἀναβαίνοντι συνανέβαινεν, καὶ δικάζοντι τὸ στόμα προσέφερεν· ἔπεισε δὴ τοὺς βαρβάρους, ὡς ἄρα τὸ ζῶον ἱερὸν Ἀρτέμιδος. καὶ ἡ θεὸς δι' αὐτοῦ προλέγοι πάντα αὐτῷ τὰ μέλλοντα, καὶ σύμμαχος ἐν τοῖς πολέμοις γίγνοιτο. ὅσα γε μὴν ὑπὸ κατασκόπων ἀπόρρητα ἠγγέλλετο ἀποκρυπτόμενος, αὐτὸς προέλεγεν, ὡς διὰ τῆς νεβροῦ μανθάνων παρὰ τῆς θεοῦ πολεμίων ἐφόδους, ἐνέδρας, αἰφνιδίους καταδρομάς, τούτων ἔφασκεν ἄγγελον ἔχειν τὴν νεβρόν· ὅσας δὲ καὶ νίκας πολέμων ἠλπίζοντο, καὶ ταῦτα διὰ τῆς νεβροῦ μανθάνειν παρὰ τῆς θεοῦ φάσκων, ἐξέπλησσε τοὺς βαρβάρους· καὶ προσεκυνεῖτο, καὶ πάντες αὐτῷ προσέφευγον ὡς δαιμονιωτέραν ἰσχὺν ἔχοντι.

ΚΕΦ. ΚΓ.

CAP. XXII.

SERTORIUS.

Sertorius in Hiſpania hinnulum candidæ cervæ a venatoribus dono acceptum, paluit, cicuremque reddidit, ita ut accedentem ſequeretur, et cum aſcendente in tribunal ſimul aſcenderet, atque ei jus dicenti os admoveret. Perſuaſit igitur barbaris, animal hoc ſacrum eſſe Dianæ, deamque per illud omnia prædicere, quæ ſibi eventura ſint, ſociamque in bellis præſto eſſe. Quæcunque igitur ab exploratoribus arcana nuntiabantur, ipſe occultata prædixit, ſimulans per hinnulum ſe a dea perdiſcere hoſtiles aggreſſiones, inſidias et repentinas incurſiones. Horum nuntium hinnulum ſe habere ajebat. Quotquot etiam victoriæ bellorum acciderent, has etiam per hinnulum ſe a dea cognoſcere affirmans, ſtuporem barbaris injecit: qui eum adorabant, omnesque ad eum quaſi divinis viribus ſeptum confugiebant.

CAP. XXIII.

ΚΕΦ. ΚΓ.

ΚΑΙΣΑΡ.

Καῖσαρ ὡς Νικομήδη πλέων περὶ Μαλέαν ὑπὸ λῃστῶν ἥλω Κιλίκων· οἱ μὲν ᾔτησαν λύτρα μεγάλα· ὁ δὲ τὰ διπλάσια ἐπηγγείλατο· κατέσχον ἐς Μίλητον, καὶ τειχῶν ἔξω προσωρμίσαντο. Καῖσαρ Ἐπικράτη Μιλήσιον οἰκέτην πέμπει πρὸς Μιλησίους, παρακαλῶν χρήματα ἐπιδανεῖσαι· οἱ δὲ παραχρῆμα ἔπεμψαν. Ἐπικράτης ἐντολὴν ἔχων παρὰ Καίσαρος μετὰ τῶν χρημάτων παρασκευὴν εὐωχίας μεγάλης κομίζειν καὶ ὑδρείαν πλήρη ξιφῶν, καὶ οἶνον μανδραγόρᾳ κεκερασμένον. Καῖσαρ διπλᾶ τὰ λύτρα τοῖς λῃσταῖς ἀπαριθμήσας, προὔθηκεν αὐτοῖς τὴν εὐωχίαν. οἱ δὲ ὑπερχαίροντες τῷ πλήθει τῶν χρημάτων, ὥρμησαν ἀνέδην εὐωχεῖσθαι· καὶ τὸν οἶνον πεφαρμακωμένον πιόντες ἀπεκοιμήθησαν. Καῖσαρ καθεύδοντας ἀναιρεθῆναι κελεύσας, παραυτίκα τοῖς Μιλησίοις ἀπέδωκε τὰ χρήματα.

β′ Καῖσαρ ἐν Γαλατίᾳ προσῄει ταῖς Ἄλπεσιν· ἠγγέλθη στρατόπεδον τῶν ὀρείων βαρβάρων τὰς παρόδους φυλάττειν. ὁ δὲ τὴν φύσιν τῶν Ἀλπέων παρεφύλαξε. τοῦ ὄρους

κάτω

CAP. XXIII.

CÆSAR.

Cæſar Nicomediam verſus navigans, juxta Maleam a latronibus Cilicibus captus eſt. Qui cum magnam mercedem pro ejus liberatione peterent, ille duplicem ſummam promiſit. Appulerunt ad Miletum, et extra mœnia navem ad littus admovebant. Cæſar Epicratem Mileſium ſervum mittit ad Mileſios, rogans ut ſibi pecunias mutuo darent. Qui eas confeſtim miſerunt. Epicrates mandatum habens a Cæſare, ut cum pecuniis magnum convivii apparatum apportarent, et hydriam plenam enſibus, vinumque mandragora mixtum. Cæſar duplicatam latronibus pecuniæ ſummam numeravit, eiſque convivium appoſuit. Illi exſultantes pecuniarum multitudine, largiter genio indulgebant, et vinum medicatum bibentes, in ſoporem incidebant. Cæſar dormientes interfici juſſit, ſtatimque pecunias Mileſiis reddidit.

2 Cæſar cum in Gallia ad Alpes perveniſſet, barbarorum montanorum copiæ aditus obſidere nuntiabantur. Ille naturam Alpium ſpeculabatur: Infra montem flu-

mina

κάτω ποταμοὶ πολλοὶ διαῤῥέουσι, 22 καὶ πολλὰ ἕλη βαθύνεται. ἀπὸ τούτων ὁμίχλη ἐξαίρεται πολλὴ, ἅμα αὐγῆς ἀρχομένης ἕω. κατὰ τὴν ὥραν Καῖσαρ μέρος ἥμισυ τῆς στρατιᾶς ἀγαγὼν, κύκλῳ τὸ ὄρος περιήρχετο. οἱ μὲν δὴ βάρβαροι τῆς ὁμίχλης ἐπισκοτούσης, οὐδὲν ὁρῶντες ἡσύχαζον. ὁ δὲ ὑπὲρ κορυφῆς τῶν πολεμίων γενόμενος, ἠλάλαξεν. οἱ δὲ ἡμίσεις κάτωθεν ἀντηλάλαξαν, καὶ τὰ ὄρη πανταχόθεν συναπηχήσαντα, ἀμήχανον δεῖμα ἐνέβαλε τοῖς βαρβάροις. οἱ μὲν αὐτίκα φεύγοντες ᾤχοντο. Καῖσαρ ἀμαχὶ τὰς Ἄλπεις ὑπερέβαλεν.

γ΄ Καῖσαρ Ἐλουηττίοις ἐπολέμει. 23 οὗτοι μοῖρα Γαλατῶν καὶ Ῥωμαίοις ἐπῄεσαν η΄ μυριάδες. ὧν κ΄ τὸ μαχικὸν ἦσαν. Καῖσαρ ἀεὶ μίαν ἡμέραν ὑπανεχώρει· οἱ βάρβαροι ταύτῃ καὶ πλέον θαῤῥοῦντες ἐδίωκον. ἐπεὶ δὲ τὸν ποταμὸν Ῥοδανὸν διαβαίνειν ἔμελλον, οὐ πρὸ πολλοῦ ὁ Καῖσαρ

22 *Vulgata* καὶ πολλὰ ἐπιβαθύνεται. MS. καὶ πολλὰ ἔτι βαθ. *Gronovius* ſuſpicatus erat, legendum eſſe, καὶ πολλὰ ἕλη βαθύνεται, quæ conjectura a *Maſvicio* in textum eſt recepta. 23 Ex *Plutarcho* legendum ἐπῄεσαν λ΄ μυριάδες, ὧν κ΄ τὸ μάχιμον. *Caſ.*

mina multa labuntur, et multæ in latum patent paludes. Ab his magna oritur nebula prima luce ſub ortum auroræ. Circa id tempus Cæſar dimidiam copiarum partem ducens, montem circumiit. Barbari ob nebulam tenebras afferentem, nihil videntes, quietos ſe tenebant. Ille cum in loca hoſtibus imminentia evaſiſſet, clamorem ſuſtulit. Tum dimidia pars exercitus ab inferiore loco vociferationem excepit, monteſque ab omnibus partibus reſonantes, inexplicabilem barbaris terrorem injecerunt: qui repente fugam petentes, diſceſſerunt. Ita ſine pugna Cæſar Alpes ſuperavit.

3 Cæſar cum Helvetiis bellum gerebat. Hi in Gallorum et Romanorum fines egrediebantur, circiter octoginta millia, quorum viginti millia, arma ferre poterant. Cæſar unum diem ſemper cedebat. Barbari majori fiducia ob eam rem ſumta perſequebantur. Cum autem Rhodanum fluvium transmittere vellent, Cæſar non multo

σας ἐστρατοπεδεύσατο. τῶν δὲ βαρβάρων τραχὺν ποταμὸν σὺν πόνῳ πολλῷ διαβάντων, οὐ πάντων, ἀλλὰ τρισμυρίων, τῆς ὑστεραίας τῶν λοιπῶν διαβαίνειν μελλόντων· οἱ μὲν διαβάντες παρὰ ταῖς ὄχθαις ἀνεπαύοντο κεκμηκότες· Καῖσαρ δὲ νύκτωρ ἐπιφανεὶς κατέκοψε πάντας, ἀναχωρῆσαι διὰ τὸν ποταμὸν οὐκ ἔχοντας.

δʹ Καῖσαρ Γερμανῶν ἐπιόντων, οὐ θαῤῥῶν συνάψαι μάχην, ὁπότε ἔγνω τοὺς παρʼ αὐτοῖς μάντεις προειρηκότας πρὸ νέας σελήνης ἀπέχεσθαι μάχης, τότε τὴν αὐτοῦ στρατιὰν ἐπήγαγεν, ὡς ἀθυμότερον διὰ τὴν μαντείαν μαχουμένοις. 24 καὶ δὴ ἀρίστῳ καιρῷ χρησάμενος, λαμπρῶς Γερμανοὺς ἐνίκησεν.

εʹ Καῖσαρ ἐν Βρεττανίᾳ ποταμὸν μέγαν ἐπεχείρει περαιοῦσθαι· βασιλεὺς Βρεττανῶν 25 Κασόλαυλος ἀνεῖργε μετὰ πολλῶν ἱππέων, καὶ ἁρμάτων. Καίσαρι μέγιστος ἐλέφας εἵπετο, ζῶον Βρεττανοῖς οὐχ ἑωραμένον. τοῦτον σιδηραῖς φολίσιν ὀχυρώσας, καὶ πύργον ἐπʼ αὐτοῦ μέγαν ὑψώσας,

24 MS. καὶ δὴ ἀρίστῳ καιρῷ χρησάμενοι, λαμπρῶς Γερμανοὺς ἐνίκησαν. Recte ſi addatur Ῥωμαῖοι cum *Interprete*. 25 MS. Κασόλαυνος Cæſari lib. v. cap. 11. eſt *Caſſivellaunus*. Dioni lib. xl. dicitur Σουέλλας. Verum ibi pro καὶ Σουέλλαν τὸν, reponendum eſſe Κασσιουέλλαυνον monuit Leunclavius. *Maſv.*

to ante caſtrametatus eſt. Cum barbari rapidum fluvium magno cum labore tranſiiſſent, nondum omnes, ſed reliqua triginta millia poſtridie trajicere vellent: qui tranſierant, in ripis defeſſi quietem captabant. Cæſar noctu eos adortus, omnes interfecit, revertendi per flumen poteſtate interciſa.

4 Cæſar, Germanis bellum moventibus, non audens pugnam committere, cum cognoviſſet eorum vates ante novilunium pugnare vetuiſſe, tum ſuum exercitum adduxit, quaſi animo minori ob vaticinium pugnaturis. Sic Romani opportuno uſi tempore, Germanos devicerunt.

5 Cæſar in Britannia ingentem fluvium trajicere conabatur. Rex Britannorum Caſſovellaunus cum multis equitibus et eſſedis eum tranſitu arcebat. Cæſarem maximus elephas ſequebatur, animal Britannis inviſum. Eum ferreis ſquamis muniit, et altiſſimam in eo turrim exſtruxit,

κάτω ποταμοὶ πολλοὶ διαῤῥέουσι, 22 καὶ πολλὰ ἕλη βαθύνεται. ἀπὸ τούτων ὁμίχλη ἐξαίρεται πολλὴ, ἅμα αὐγῆς ἀρχομένης ἕω. κατὰ τὴν ὥραν Καῖσαρ μέρος ἥμισυ τῆς στρατιᾶς ἀγαγὼν, κύκλῳ τὸ ὄρος περιήχετο. οἱ μὲν δὴ βάρβαροι τῆς ὁμίχλης ἐπισκοτούσης, οὐδὲν ὁρῶντες ἡσύχαζον. ὁ δὲ ὑπὲρ κορυφῆς τῶν πολεμίων γενόμενος, ἠλάλαξεν. οἱ δὲ ἡμίσεις κάτωθεν ἀντηλάλαξαν, καὶ τὰ ὄρη πανταχόθεν συναπηχήσαντα, ἀμήχανον δεῖμα ἐνέβαλε τοῖς βαρβάροις. οἱ μὲν αὐτίκα φεύγοντες ᾤχοντο. Καῖσαρ ἀμαχὶ τὰς Ἄλπεις ὑπερέβαλεν.

γ´ Καῖσαρ Ἑλβηττίοις ἐπολέμει. 23 οὗτοι μοῖρα Γαλατῶν καὶ Ῥωμαίοις ἐπήεσαν η´ μυριάδες. ὧν κ´ τὸ μαχικὸν ἦσαν. Καῖσαρ ἀεὶ μίαν ἡμέραν ὑπανεχώρει· οἱ βάρβαροι ταύτῃ καὶ πλέον θαῤῥοῦντες ἐδίωκον. ἐπεὶ δὲ τὸν ποταμὸν Ῥοδανὸν διαβαίνειν ἔμελλον, οὐ πρὸ πολλοῦ ὁ Καῖ-

σαρ

22 *Vulgata* καὶ πολλὰ ἐπιβαθύνεται. MS. καὶ πολλὰ ἔτη βαθ. *Gronovius* ſuſpicatus erat, legendum eſſe, καὶ πολλὰ ἕλη βαθύνεται, quæ conjectura a *Maſvicio* in textum eſt recepta. 23 Ex *Plutarcho* legendum ἐπήεσαν λ´ μυριάδες, ὧν κ´ τὸ μάχιμον. *Caſ.*

mina multa labuntur, et multæ in latum patent paludes. Ab his magna oritur nebula prima luce ſub ortum auroræ. Circa id tempus Cæſar dimidiam copiarum partem ducens, montem circumiit. Barbari ob nebulam tenebras afferentem, nihil videntes, quietos ſe tenebant. Ille cum in loca hoſtibus imminentia evaſiſſet, clamorem ſuſtulit. Tum dimidia pars exercitus ab inferiore loco vociferationem excepit, montesque ab omnibus partibus reſonantes, inexplicabilem barbaris terrorem injecerunt: qui repente fugam petentes, diſceſſerunt. Ita ſine pugna Cæſar Alpes ſuperavit.

3 Cæſar cum Helvetiis bellum gerebat. Hi in Gallorum et Romanorum fines egrediebantur, circiter octoginta millia, quorum viginti millia, arma ferre poterant. Cæſar unum diem ſemper cedebat. Barbari majori fiducia ob eam rem ſumta perſequebantur. Cum autem Rhodanum fluvium transmittere vellent, Cæſar non multo

σαρ ἐϛρατοπεδεύσατο. τῶν δὲ βαρβάρων τραχὺν ποταμὸν σὺν πόνῳ πολλῷ διαβάντων, ȣ̓ πάντων, ἀλλὰ τρισμυρίων, τῆς ὑϛεραίας τῶν λοιπῶν διαβαίνειν μελλόντων· οἱ μὲν διαβάντες παρὰ ταῖς ὄχθαις ἀνεπαύοντο κεκμηκότες· Καῖσαρ δὲ νύκτωρ ἐπιφανεὶς κατέκοψε πάντας, ἀναχωρῆσαι διὰ τὸν ποταμὸν ȣ̓κ ἔχοντας.

δ' Καῖσαρ Γερμανῶν ἐπιόντων, ȣ̓ θαῤῥῶν συνάψαι μάχην, ὁπότε ἔγνω τȣ̀ς παρ' αὐτοῖς μάντεις προειρηκότας πρὸ νέας σελήνης ἀπέχεσθαι μάχης, τότε τὴν αὐτȣ̃ ϛρατιὰν ἐπήγαγεν, ὡς ἀθυμότερον διὰ τὴν μαντείαν μαχȣμένοις. 24 καὶ δὴ ἀρίϛῳ καιρῷ χρησάμενος, λαμπρῶς Γερμανȣ̀ς ἐνίκησεν.

ε' Καῖσαρ ἐν Βρεττανίᾳ ποταμὸν μέγαν ἐπεχείρει περαιȣ̃σθαι· βασιλεὺς Βρεττανῶν 25 Κασόλαυλος ἀνεῖργε μετὰ πολλῶν ἱππέων, καὶ ἁρμάτων. Καίσαρι μέγιϛος ἐλέφας εἵπετο, ζῶον Βρεττανοῖς ȣ̓χ ἑωραμένον. τȣ̃τον σιδηραῖς φολίσιν ὀχυρώσας, καὶ πύργον ἐπ' αὐτȣ̃ μέγαν ὑψώσας,

24 MS. καὶ δὴ ἀρίϛῳ καιρῷ χρησάμενοι, λαμπρῶς Γερμανȣ̀ς ἐνίκησαν. Recte ſi addatur Ῥωμαῖοι cum *Interprete*. 25 MS. Κασόλαυνος Cæſari lib. v. cap. II. eſt *Caſſivellaunus*. Dioni lib. XL. dicitur Σȣέλλας. Verum ibi pro καὶ Σȣέλλαν τὸν, reponendum eſſe Κασσιȣέλλαυνον monuit Leunclavius. *Maſv.*

to ante caſtrametatus eſt. Cum barbari rapidum fluvium magno cum labore tranſiiſſent, nondum omnes, ſed reliqua triginta millia poſtridie trajicere vellent: qui tranſierant, in ripis defeſſi quietem captabant. Cæſar noctu eos adortus, omnes interfecit, revertendi per flumen poteſtate intercisa.

4 Cæſar, Germanis bellum moventibus, non audens pugnam committere, cum cognoviſſet eorum vates ante novilunium pugnare vetuiſſe, tum ſuum exercitum adduxit, quaſi animo minori ob vaticinium pugnaturis. Sic Romani opportuno uſi tempore, Germanos devicerunt.

5 Cæſar in Britannia ingentem fluvium trajicere conabatur. Rex Britannorum Caſſovellanus cum multis equitibus et eſſedis eum tranſitu arcebat. Cæſarem maximus elephas ſequebatur, animal Britannis inviſum. Eum ferreis ſquamis muniit, et altiſſimam in eo turrim exſtruxit,

σας, καὶ τοξότας καὶ σφενδονήτας ἐπιστήσας, ἐκέλευσεν ἐς τὸ ῥεῦμα ἐμβαίνειν. Βρεττανοὶ δὲ ἐξεπλάγησαν, ἀόρατον καὶ ὑπερφυὲς θηρίον ἰδόντες. περὶ γὰρ τῶν ἵππων τί χρὴ καὶ γράφειν; ὅπου καὶ παρ' Ἕλλησιν, ἢν καὶ γυμνὸν ἐλέφαντα ἴδωσιν, ἵπποι φεύγουσιν. πυργοφόρον δὲ καὶ ὡπλισμένον, βέλη καὶ σφενδόνας ἐξαφίεντα, οὐδὲ ἰδεῖν τὴν ὄψιν ὑπέμειναν, Βρεττανοὶ μὲν δὴ αὐτοῖς ἵπποις καὶ ἅρμασιν ἔφευγον. Ῥωμαῖοι δὲ ἀκινδύνως τὸν ποταμὸν διέβησαν, ἑνὶ ζώῳ τοὺς πολεμίους φοβήσαντες.

ϛʹ Καῖσαρ πυθόμενος Κικέρωνα ὑπὸ Γαλατῶν πολιορκούμενον ἀπαγορεύειν, ἔπεμψε στρατιώτην ἀκοντίσαι κελεύσας ἐπιστολὴν προδήσαντα τῇ λόγχῃ, νύκτωρ βαλεῖν ὑπὲρ τὸ τεῖχος. ὁ μὲν ἠκόντισεν· οἱ δὲ τειχοφύλακες εὑρόντες ἐκόμισαν Κικέρωνι. ἀνέγνω δὲ, Καῖσαρ Κικέρωνι θαῤῥεῖν. Προσδέχου βοήθειαν. μετ' ὀλίγον ἐφάνη καπνὸς καὶ κονιορτὸς, Καίσαρος τὴν χώραν πορθοῦντος. ὥστε αὐτίκα τὴν πολιορκίαν διακόψας, οὐ μόνον ἀνεσώσατο Κικέρωνα, ἀλλὰ καὶ τοὺς πολιορκοῦντας ἐτίσατο.

ζʹ Καῖσαρ ͵ζ ἔχων ἐπολέμει Γαλάταις. ἐμποιῆσαι δόξαν βουλόμενος ὡς καὶ τῶν ὄντων ὀλιγωτέρους ἔχοι, τὸν μὲν

χάρακα

xit, in qua ſagittarios et funditores conſtitutos juſſit flumen ingredi. Britanni perterrebantur, inviſum et grande ſupra modum animal conſpicati. Nam de equis quid attinet referre? cum etiam apud Græcos, equi viſo nudo elephante, fugiant. Turrigerum autem et armatum, tela, fundasque conjicientem aſpicere non potuerunt. Itaque Britanni cum equis et curribus in fugam ſe conjecerunt. Romani vero ſine periculo flumen transmiſerunt, per unam beſtiam metu hoſtibus facto.

6 Cæſar audiens Ciceronem a Gallis obſeſſum, oppugnationem ferre non poſſe, miſit militem cum præcepto, ut per noctem epiſtolam jaculo alligatam ſupra murum emitteret. Quam cum conjeciſſet, mœnium cuſtodes repertam ad Ciceronem attulerunt: qui in ea legit, *Cæſar Ciceroni fiduciam optat. Exſpecta auxilium.* Paulo poſt fumus ac pulvis cernebatur. Cæſare terram vaſtante. Itaque repente intercisa oppugnatione non ſolum Ciceronem liberavit, ſed etiam ex oppugnantibus poenas ſumſit.

7 Cæſar ſeptem millia ducens in exercitu, bellum Gallis inferebat. Is volens opinionem hoſtibus facere,

pau-

χάρακα στενώτατον ἐκέλευσε τειχίζειν. αὐτὸς δὲ χωρίον ὑπερδέξιον δασὺ καταλαβόμενος, ἐν τούτῳ μετὰ τῶν πλειόνων στρατιωτῶν ἐκέκρυπτο. προῆλθον ἱππεῖς ὀλίγοι τοῦ χάρακος ἐκκαλούμενοι τοὺς βαρβάρους. οἱ δὲ κατασκιρτῶντες τῆς ὀλιγότητος τῶν ἱππέων, ἐπῆλθον τῷ χάρακι. οἱ μὲν ἔχουν τὰς τάφρους· οἱ δὲ ἀνέσπων τὰ σταυρώματα. ἐν τούτῳ σημαίνει μὲν ἡ σάλπιγξ· ὁμοῦ δὲ συνεξώρμησαν, ἐκ μὲν τοῦ χάρακος ἄρτιοι πεζοί· ἀπὸ δὲ τοῦ ὑπερδεξίου μετὰ Καίσαρος ἱππεῖς κατὰ νώτου. ὥστε ἐν μέσῳ τοὺς βαρβάρους ἀπολειφθέντας διαφθαρῆναι τοὺς πλείονας.

η΄ Καῖσαρ ἐπολιόρκει φρούριον Γαλατικόν· τῶν δὲ βαρβάρων ἐπὶ μακρὸν ἀντεχόντων, ὑετὸς ἀμήχανος κατερράγη, ὥς τε καὶ ὅσοι φύλακες τειχῶν, ἢ φρουροὶ, λείπουσιν, οἱ μὲν τὰς φυλακὰς, οἱ δὲ τὰς ἐπάλξεις. Καῖσαρ δὲ παρήγγειλεν ὁπλίσασθαι τότε, καὶ παραχρῆμα τοῖς τείχεσι προσήγαγε, καὶ ἀφύλακτα καταλαβὼν, εὐκόλως ὑπερβὰς ἐξεῖλε τὸ φρούριον.

θ΄ Καῖσαρ ἐπὶ Γεργοβίνην πόλιν τῶν ἐν Γαλατίᾳ μεγίστην ἐστράτευσεν· ἀντεστρατοπέδευεν αὐτῷ βασιλεὺς Γαλατῶν Οὐερκιγγετόριξ. μέγας ἦν ποταμὸς ναυσίπορος, καὶ ἡ δια-

pauciores etiam ſe his habeſe, vallum anguſtiſſime juſſit muniri. Ipſe vero cum pluribus militibus, locum ſublimem et arboribus denſum interim occupavit, ibique latuit. Procedebant equites pauci extra vallum, et barbaros laceſſebant. Ille deſpecta paucitate equitum, ad vallum accedebant. Alii foſſas obruere, alii vallos revellere. Interea cum ſignum tuba ceciniſſet, ſimul eruptionem fecerunt e caſtris integri pedites, eque ſuperiori loco cum Cæſare equites a tergo, ut barbari in medio intercepti, plurimos ex ſuis amitterent.

8 Cæſar Gallicum quoddam caſtellum oppugnabat, cum Barbari longo tempore reſtitiſſent, imber procelloſus ingruit, ita ut qui cuſtodiendis tuendisque mœnibus præerant, cuſtodias et propugnacula relinquerent. Cæſar ſuis mandat, ut ſe armis accingant, eosque confeſtim ad muros adduxit, ac defendentibus vacuos occupans, facile ſuperavit, et caſtellum exſcidit.

9 Cæſar adverſus Gergobiam urbem totius Galliæ maximam expeditionem ſuſcepit. Ipſius e regione caſtra poſuit rex Gallorum Vercingetorix. Magnus eos in

ἡ διάβασις ἀμήχανος. Καῖσαρ παρὰ τὴν ὄχθην πολλαῖς ἡμέραις ἀντιπαρεξῆγεν. οἱ βάρβαροι κατεφρόνουν, ὡς διαβῆναι μὴ θαῤῥοῦντος. ὁ δὲ νύκτωρ δύο τάγματα βαθείαις ὕλαις ἐγκατέκρυψεν· οἱ τῶν Γαλατῶν τοὺς ἀμφὶ τὸν Καίσαρα παραφολαττόντων, αὐτοὶ κατὰ τὸ ἄνω τοῦ ποταμοῦ μέρος ἀρχαίου, γεφύρας διακεκομμένης, τὰ μὲν στρώματα πεπηγότα ἐχούσης, τὰς δὲ ἐπάνω δοκίδας ἀφῃρημένας, αὐτοὶ τεμόντες ἐκ τῆς ὕλης, διὰ τάχους ἐγεφύρωσαν καὶ διῆλθον. οἱ δὲ Γαλάται τῷ παραλόγῳ τῆς διαβάσεως ἐκπλαγέντες ἔφυγον· Καῖσαρ δὲ μετὰ τῶν λοιπῶν διὰ τῆς αὐτοσχεδίου γεφύρας διαβὰς τοῖς Γαλάταις φοβερώτερος.

ι΄ Καῖσαρ ἐπολιόρκει Γεργοβίνην, πόλιν καὶ τείχεσιν ἐχυρὰν, καὶ τῇ φύσει ἐχυρωτάτην. ἦν γὰρ ἡ πόλις λόφος ἐρυμνὸς, τὰς κορυφὰς ὁμαλὰς ἔχων· κατὰ δὲ τὸ λαιὸν μέρος, ὕλαι χθαμαλαὶ καὶ πυκναὶ, καὶ τῷ λόφῳ συνήντων. κατὰ δὲ, τὸ δεξιὸν ἀπότομος ἦν, στενὴν δίοδον ἔχων, καθ᾽ ἣν οἱ Γεργοβυαῖοι μετὰ πολλῆς χειρὸς ἐφύλαττον. Καῖσαρ τῶν αὐτοῦ στρατιωτῶν τοὺς μάλιστα φιλοπόνους, καὶ καρτερικοὺς ὡπλισμένους νύκτωρ ἐγκατέκρυψε ταῖς ὕλαις, κελεύσας ἔχειν ἀκόντια βραχέα, καὶ ξιφίδια σύμμετρα, ὅπως

medio ſeparabat fluvius navigabilis, tranſituque difficillimus. Cæſar ad ripam multis diebus ſuos eduxit. Barbari eum contemtui habere cœperunt, quod transmittere non auderet. Ille noctu duas legiones in profundis ſylvis occuluit: qui dum Galli Cæſarem obſervarent, ipſi ad ſuperiorem fluminis partem, ponte olim interrupto, ſtrata compacta etiamnum habente, ſupremis duntaxat trabibus ademtis, ex nemore comparatis lignis, celeriter pontem refecerunt, et transierunt. Galli inſperato tranſitu perterriti, fugam capeſſebant. Cæſar vero cum reliquis per extemporalem pontem tranſiens, majorem Gallis metum injecit.

10 Cæſar Gergobiam oppugnabat, urbem et mœnibus admodum firmam, et natura munitiſſimam. Sita enim urbs erat in colle munitiſſimo, verticem æqualem habente. Ad ſiniſtrum latus ſylvæ humiles atque denſæ et cum clivo aſcendebant. Ad dextram præceps erat, anguſtumque aditum habebat, quem Gergobienſes cum magna manu obſidebant. Cæſar promtiſſimos et laboris tolerantiſſimos ex ſuis militibus armavit, eosque in ſylvis occuluit: mandans, ut brevia jacula, et parvos gladios

ὅπως τὰς χαμαιπετεῖς ὕλας μὴ περιέχοιεν· ἀλλὰ μηδὲ αὐτοὺς ὀρθοὺς βαδίζειν, ἐς γόνυ δὲ ὀκλάσαντας, ἠρέμα διαδύεσθαι. οἱ μὲν δὴ ἀρχομένης ἕω διὰ τῆς ὕλης ἕρποντες ἐπὶ τὸν λόφον κατὰ τὸ λαιὸν ἀνήεσαν. ὁ δὲ Καῖσαρ κατὰ τὸ δεξιὸν προσῆγε τὴν στρατιὰν, περισπῶν [26] εἰς αὐτοὺς τοὺς βαρβάρους. οἱ μὲν δὴ ἀπομάχεσθαι τοὺς φανερῶς προσβάλλοντας ὥρμηντο. οἱ δὲ ἀφανῶς ἐκ τῆς ὕλης ἀνερπύσαντες ἐκράτησαν τοῦ λόφου.

ιαʹ Καῖσαρ Ἀλαισίαν πόλιν τῆς Γαλατίας ἐπολιόρκει· Γαλατῶν ἐπ' αὐτὸν ἀθροίζονται μάχιμοι μυριάδες κεʹ. ὁ δὲ νύκτωρ ὁπλίτας τρισχιλίους, καὶ τοὺς ἱππέας πάντας διελὼν, ἐκ πλαγίου μέρους ἑκατέρωθεν ἐκέλευσεν ἀναχωρήσαντας τῆς ὑστεραίας ἀμφὶ δευτέραν ὥραν κατόπιν τῶν πολεμίων ἐπιφανέντας ἔργου ἔχεσθαι· αὐτὸς δὲ ἀρχομένης ἡμέρας ἐξῆγε τὴν στρατιὰν ἐς μάχην. ὥς τε οἱ βάρβαροι τῷ πλήθει θαῤῥοῦντες γελῶντες ἐδέχοντο· τῶν δὲ κατὰ νώτου φανέντων, καὶ ἀλαλαξάντων, καὶ κυκλουμένων, φυγεῖν ἀπογνόντες ἐξεπλάγησαν καὶ ἐταράχθησαν· καὶ τότε πλεῖστος φόνος Γαλατῶν ὁμολογεῖται γεγενῆσθαι.

ιβʹ Και-

26 *Vulgata* εἰς αὐτὸν, quod melius eſt.

dios aſſumerent, ne per humiles ſylvas adhæreſcerent, ipſique non erecto corpore graderentur, et demiſſis poplitibus ſine tumultu pervaderent. Qui prima luce per nemus repentes, in collem a læva parte aſcenderunt. Cæſar reliquas copias a dextro latere adducebat, et exercitum in ipſos barbaros immittebat. Illi propulſare palam aggredientes conabantur. Interim occulti e ſylvis aſcendentes, colle potiti ſunt.

11 Cæſar Alæſiam urbem Galliæ oppugnabat. Gallorum adverſus eum congregabantur ducenta quinque millia ad bellum apta. Ille per noctem armatos ter mille, omneſque equites ſeparans, ab obliqua parte utrimque juſſit revertentes poſtero die circiter horam ſecundam a tergo hoſtium ſe oſtendere, et fortunam tentare. Ipſe ſub primam lucem exercitum ad pugnam eduxit: quem barbari multitudine freti, cum riſu excipiebant. Verum cæteris a tergo apparentibus, et clamorem tollentibus, ſeque videntes circumdatos, deſperata fuga in maximum terrorem ac perturbationem inciderunt, et eo tempore maximam ſtragem Gallorum editam eſſe dicunt.

12 Cæ-

ιβ΄ Καῖσαρ Δυῤῥάχιον κρατούμενον ὑπὸ Πομπηΐου βουλόμενος ἑλεῖν, αὐτὸς μὲν ὀλίγους εἶχεν ἱππέας, τοῖς δὲ ἦν πολὺ πλῆθος ἱππέων· ἀλλὰ καὶ τοὺς πολλοὺς τέχνῃ χρησάμενος ἐτρέψατο, τοὺς ὀλίγους ἱππεῖς ἐπελαύνειν κελεύσας, ἔμπροσθεν αὐτῶν λόχους δ΄ πεζῶν ἔταξε· παραγγείλας μηδὲν ἄλλο δρᾷν, ἢ τοῖς ποσὶν ἀνεγείρειν κόνιν ὅσην πλείστην δύναιντο. πολὺ δὴ νέφος ἀρθὲν, φαντασίαν πολλοῦ πλήθους ἱππέων ἐνεποίησε τοῖς πολεμίοις· ὥστε παραχρῆμα φοβηθέντες ἔφυγον.

ιγ΄ Καῖσαρ ἀνεχώρει μετὰ τῆς στρατιᾶς διὰ στενῆς ὁδοῦ· κατὰ τὸ λαιὸν ἕλος ἦν, κατὰ τὸ δεξιὸν θάλασσα· κατὰ τὴν οὐραγίαν οἱ πολέμιοι προσέκειντο. τούτους μὲν δὴ ἀνέκοπτεν ἐπιδρομαῖς καὶ ἀναστροφαῖς. ἐκ δὲ θαλάσσης τὸ Πομπηΐου ναυτικὸν παραπλέον ἐτόξευεν, καὶ τοῖς βέλεσι κατετίτρωσκεν. ὁ δὲ Καῖσαρ ἐκέλευσε τοῖς στρατιώταις τοὺς θυρεοὺς ἀπὸ τῆς εὐωνύμου χειρὸς ἐς τὴν δεξιὰν μεταβαλεῖν. οὕτως ἐγένετο ἀχρεῖα τὰ βέλη τοῖς τοξεύουσιν ἐκ τῆς θαλάττης.

ιδ΄ Καῖσαρ καὶ Πομπήϊος ἐν Θεσσαλίᾳ, ὁ μὲν ἐφυγομάχει, ἀφθονίαν ἔχων ἐπιτηδείων· Πομπήϊος δὲ ἔσπευδε

μάχῃ

12 Cæſar Dyrrhachium occupatum a Pompejo capere volens, paucos ipſe quidem equites habebat: At illi equitum multitudine abundabant. Veruntamen multitudinem illam, uſus arte, in fugam vertit: paucis enim equitibus cum incitatis equis impetum facere juſſis, ante illos quatuor manipulos peditum conſtituit, præcipiens ut nihil aliud facerent, quam pedibus excitarent pulverem, quantum maximum poſſent. Magna nebula ſublata, ingentis equitum multitudinis opinionem hoſtibus fecit: itaque ſubito perterriti, fugam petebant.

13 Cæſar revertebatur cum exercitu per anguſtam viam, ad lævam paludem habens, ad dextram mare. Hoſtes extremum agmen carpentes, inſtabant. Hos propellebat incurſionibus et reflexionibus. E mari vero Pompejana claſſis adnavigans, jaculis ab telis miſſis: vulnera inferebat. Cæſar juſſit milites ſcuta a ſiniſtra manu in dextram transferre. Ad hunc modum nihil proficere tela jaculantium e mari potuerunt.

14 Cæſar et Pompejus erant in Theſſalia: ille, quum commeatum abunde haberet, prælium ſtudebat vitare: hic

quam-

μάχῃ κριθῆναι. 27 Καῖσαρ δὲ ἐρεθίζει τοὺς πολεμίους, ἀναζευγνύειν σκηψάμενος ἐπὶ σιτολογίαν, καὶ διεκίνει τοὺς λόχους· οἱ δὲ τοῦ Πομπηΐου ὡς ὑπὸ δέους φευγόντων καταφρονήσαντες, οὐ κατέσχον αὐτοὺς, ἀλλὰ παραχρῆμα ἐξεπήδησαν, βιασάμενοι τὸν Πομπήϊον ἡγεῖσθαι. ἐπεὶ δὲ ἀνεχώρουν, ὁ Καῖσαρ ἐς τὸ πεδίον αὐτοὺς προήγαγε· καὶ δὴ τότε ἀναστρέψας, λαμπρῶς ἀγωνισάμενος ἐνίκησεν.

ιε΄ Καῖσαρ τῶν στρατιωτῶν στασιασάντων, καὶ τῆς στρατείας καταβοώντων, προελθὼν ἐς τὸ πλῆθος ἐνθαρσεῖ καὶ φαιδρῷ τῷ προσώπῳ, Τί, ἔφη, ὦ συστρατιῶται, βούλεσθε; οἱ δὲ κατεβόησαν, Τῆς στρατείας ἀφεθῆναι· ὁ δὲ ὑπολαβὼν 28 ἔφη, Ἀγαθῇ τύχῃ, παραινῶ πολίταις μὴ στασιάζειν. οἱ δὲ, πολῖται ἀκούσαντες, ἀντὶ τοῦ στρατιῶται, ἠγανάκτησαν, καὶ παραχρῆμα τὰς γνώμας μετεβάλλοντο· καὶ πάλιν κατεβόησαν· Ἀλλ' ἡμεῖς γε συστρατιῶται μᾶλλον ἢ πολῖται καλεῖσθαι βουλόμεθα. γελάσας ὁ Καῖσαρ, Οὐκοῦν, ἔφη, συστρατευώμεθα.

ιϛ΄ Και-

26 MS. Καῖσαρ· ἐρετίζει δὲ τοὺς π. unde cum *Caſaub.* præcedentia ſic legenda, ὁ μὲν ἐφυγομάχει ἀφθονίαν ἔχων ἐπιτηδείων Πομπήϊος. ὁ δὲ ἔσπευδε μάχῃ κριθῆναι Καῖσαρ· ἐρεθ. δέ. 28 MS. εἶπεν, et pro πολίταις, πολῖται.

quamprimum ferro cernere geſtiebat. Cæſar hoſtes irritat, ſimulans loco movere ad comparandum frumentum: itaque manipulos promovet: Pompejani quaſi metu fugientes deſpexerunt, neque ſe continuerunt, ſed confeſtim proſiliebant, cogentes Pompejum ſe contra hoſtes educere. Quos ſequentes Cæſar in campum deduxit: atque ibi converſus, egregie pugnans victoriam obtinuit.

15 Cæſar, militibus factionem moventibus, et ut militia ſe liberaret, clamantibus, progreſſus in multitudinem confidenti et læta facie: Quid, o commilitones, inquit, vultis? Illi vociferabantur, militia diſcedere liceret. Ille reſpondens. Quod bene vertat, ait, hortor cives, ne ſeditionem agitent. Illi ſe cives pro militibus appellari, moleſte ferebant, et confeſtim animos mutabant, rurſusque clamabant: Sed nos commilitones potius quam cives appellari volumus. Itaque Cæſar: Igitur, inquit, commilitemus.

16 Cæ-

ιϛʹ Καῖσαρ παρατασσόμενος πρὸς Πομπήϊον τὸν νεώτερον, ὁρῶν τοὺς αὐτοῦ στρατιώτας φεύγοντας, αὐτίκα τοῦ ἵππου καταβὰς ἐξεβόησεν, Ἐμὲ, ὦ συστρατιῶται, καταλιπόντες ταῖς χερσὶ τῶν πολεμίων, φεύγειν μὴ αἰδεῖσθε; τὸν λόγον αἰδεσθέντες οἱ φεύγοντες, ἀνέστρεφον ἐπὶ τὴν μάχην.

ιζʹ Καῖσαρ τοῖς στρατιώταις ἀεὶ παρασκευάσασθαι προσέτασσεν ὡς καὶ ἐν ἑορτῇ, καὶ ἐν ὄμβρῳ, καὶ νυκτὸς, καὶ ἡμέρας μέλλων ἐξάγειν ἄφνω τὴν δύναμιν. καὶ διὰ τοῦτο οὔτε τὸν καιρὸν οὔτε τὴν ἡμέραν προέλεγεν.

ιηʹ Καῖσαρ τὰς ἐξόδους ἐποιεῖτο σὺν πολλῷ δρόμῳ, ἵνα μὴ [29] προκαταλαμβάνοιτο πρὸς τῶν ὑστεριζόντων.

ιθʹ Καῖσαρ εἰ τεθορυβημένους ἑώρα τοὺς στρατιώτας, ὡς προσδοκωμένης τοῖς πολεμίοις μείζονος δυνάμεως, οὐ μόνον ἔξαρνος οὐκ ἦν· ἀλλ' ἔτι καὶ πλείονα ὄγκον προστιθεὶς, καὶ μεγαλύνων, ἐθάρσυνεν, ὡς πρὸς πλείονας χρὴ γενναιότερον ἀγωνίζεσθαι.

κʹ Καῖσαρ τοῖς στρατιώταις παρήγγειλεν ὅπλα ἔχειν ἀργύρῳ καὶ χρυσῷ πεποικιλμένα. μάλιστα μὲν κόσμου χάριν· οὐχ ἥκιστα δὲ, ὅπως καὶ οἱ στρατιῶται τὰ πολύτιμα περιμάχητα ἡγοῖντο.

καʹ Καῖ-

29 MS. καταλαμβάνοιτο.

16 Cæſar acie confligens cum Pompejo juniore, videns ſuos milites fugere, ſtatim ab equo deſcendens vociferabatur, Me, inquit, o commilitones, relinquentes manibus hoſtium, fugere non pudebit? Hunc ſermonem reveriti, in pugnam redierunt.

17 Cæſar milites ſemper inſtructos eſſe jubebat, quaſi in feſto et in imbri, nocte dieque ſubito exercitum educturus: ob eamque cauſſam neque tempus neque diem antea definiebat.

18 Cæſar eruptiones facere incitato curſu ſolebat, ne deprehenderetur ab iis qui damno afficiebantur.

19 Cæſar, ſi tumultuari videret milites, quod exſpectarentur hoſtium majores copiæ, non ſolum non inficias ibat, ſed vehementioribus verbis etiam augens, et amplificans, eos confirmabat, ut adverſus plures fortius dimicandum putarent.

20 Cæſar militibus præcepit, ut arma haberent auro argentoque ornata, maxime quidem ornamenti cauſſa: ſed ideo etiam, ut milites res pretioſas acrius defendendas ac propugnandas exiſtimarent.

21 Cæ-

κα' Καῖσαρ τὰ ἁμαρτήματα τῶν στρατιωτῶν οὐ πάντα παρεφύλασσεν· ἀλλ' οὐδὲ τοὺς ἁμαρτάνοντας κατὰ τὴν ἀξίαν ἐτιμωρεῖτο, τὴν συγγνώμην ἀνδρείας ποιητικὴν ἡγούμενος. εἰ μέντοι τις ἐστασίασεν, ἢ τὴν τάξιν ἔλειπεν, οὐκ ἂν τοῦτον ἀτιμώρητον παρῆκεν.

κβ' Καῖσαρ τοὺς στρατιώτας ἐκάλει συστρατιώτας, τῷ ἰσοτίμῳ τοῦ ὀνόματος προθυμοτέρους ποιῶν ἐς τὰς μάχας.

κγ' Καῖσαρ πυθόμενος ἐν Γαλατίᾳ κατακοπῆναι φάλαγγας στρατιωτῶν, ὤμοσε μὴ πρότερον ἀποκείρασθαι, πρὶν ἐπεξελθὼν τιμωρῆσαι τοῖς ἀνῃρημένοις. τοῦτο πλείστην εὔνοιαν αὐτῷ παρὰ πάντων ἐπεσπάσατο.

κδ' Καῖσαρ ἐν λιμῷ τοῖς στρατιώταις ἄρτους δίδωκε, σκευάσας ἐκ βοτάνης· Πομπήϊος δὲ πολεμῶν πρὸς αὐτὸν ἕνα ἄρτον προσενεχθέντα τοιοῦτον, ἀπέκρυψεν, οὐ βουλόμενος τοῖς ἑαυτοῦ στρατιώταις ἐπιδεῖξαι τὴν τῶν πολεμίων ἐγκράτειαν.

κε' Καῖσαρ Πομπηΐῳ παρετάσσετο περὶ Φάρσαλον. ὁρῶν δὲ πολλοὺς τῶν πολεμίων νέους καὶ καλοὺς ἐπὶ τῷ κάλλει φρονοῦντας, καὶ σοβαροὺς, παρήγγειλε τοῖς ἰδίοις στρατιώταις, τὰς λόγχας καὶ τοὺς ὑσσοὺς μὴ φέρειν ἐπὶ τὰ σώματα

21 Cæſar delicta militum non omnia obſervabat: ſed neque a peccantibus ſatis dignum ſupplicium ſumſit, veniam fortitudinis effectricem eſſe ratus. At ſi quis tumultum inciperet, aut aciem relinqueret, eum impune ferre nequaquam patiebatur.

22 Cæſar milites commilitonum vocabulo ſolebat appellare, æqualitate nominis promtiores reddens ad ſubeunda in pugnis pericula.

23 Cæſar audiens in Gallia aliquot militum agmina conciſa eſſe, juravit, ſe non ante barbam raſurum, quam interfectos ultus eſſet. Hæc res magnam ei benevolentiam omnium conciliavit.

24 Cæſar in fame militibus panes diſtribuebat, quos ex herbis paraverat. Cum Pompejus bellum adverſus eum gerens, ejusmodi panem unum videret, occultavit eum, nolens ſuis militibus hoſtium continentiam oſtendere.

25 Cæſar cum Pompejo in campis Pharſalicis prælium committebat. Cum videret multos hoſtium juvenes et formoſos ſe ob pulchritudinem efferre, et inſolentes eſſe, præcepit ſuis militibus, ne corporibus hoſtium

σώματα τῶν πολεμίων· ἀλλ' ἐς αὐτὰ τὰ πρόσωπα. οἱ δὲ λωβηθῆναι τὸ κάλλος τῶν προσώπων φοβηθέντες, καὶ δὴ ἀποστραφέντες ἔφυγον.

κϛ' Οἱ Καίσαρος στρατιῶται περὶ Δυῤῥάχιον ἡττηθέντες, ἑαυτοὺς δεκατευθησομένους παρέδωκαν. Καῖσαρ, οὐχ ὡς [30] περὶ τιμωρίας αὐτῶν ἐβουλεύετο, ἀλλὰ καὶ παραμυθησάμενος, ἀναμαχέσασθαι τὴν ἧτταν, αὐτοὺς προέτρεψεν. οἱ δὲ ἐν ταῖς λοιπαῖς μάχαις ἀεὶ παραταξάμενοι πολὺ πλείοσιν ἐκράτησαν.

κζ' Καῖσαρ Πομπηΐου κηρύξαντος ἔχθραν καὶ τοῖς μηδετέρῳ προσιθεμένοις, ἀντεκήρυξε, καὶ φίλους ἡγήσεσθαι κατ' ἴσον τοῖς ἑαυτῷ συμμαχήσασιν.

κη' Καῖσαρ ἦν ἐν Ἰβηρίᾳ πρὸς τῇ Ἰλέρδῃ· γενομένων ἀνοχῶν, οἱ πολέμιοι προσπεσόντες, πολλοὺς τῶν στρατιωτῶν ἀπροσδοκήτως κατέστρωσαν. αὐτὸς δὲ οὓς ἐκείνων εὗρεν ἐν τῷ στρατοπέδῳ σώους διῆκε· καὶ πολλὴν εὔνοιαν ἐπὶ τοῦτο παρὰ τῶν πολεμίων ἐκτήσατο.

κθ' Καῖσαρ ἐν Φαρσάλῳ Πομπήϊον ἐνίκησεν. θεασάμενος τοὺς ἰδίους στρατιώτας ἀμέτρως τῇ νίκῃ χρωμένους, ἀνέκραγε φείδεσθαι τῶν πολεμίων.

λ' Καῖ-

30 MS. περὶ τιμωρίαν.

um haſtas et pila inferrent, ſed in ipſas facies intenderent. Illi veriti: ne forma faciei læderetur, in fugam ſe conjiciebant.

26 Cæſaris milites ad Dyrrhachium victi, ſeipſos decimandos tradiderunt. Cæſar non de ſupplicio eorum cogitabat, ſed eos confirmans ad recuperandam victoriam adhortabatur. Illi in cæteris pugnis confligentes cum longe pluribus, ſemper victoriam deportarunt.

27 Cæſar, Pompejo denuntiante eos inimicos, qui neutros ſequerentur, contra denuntiavit, ſe illos amicorum numero habiturum, æque ac ſi ſibi auxilium ferrent.

28 Cæſar in Hiſpania ad Ilerdam agebat. Factis induciis, hoſtes ex improviſo multos milites adorti proſtraverunt. Ipſe vero quos illorum in ſuis caſtris invenerat, ſalvos dimiſit: magnumque favorem hoc pacto apud hoſtes conſecutus eſt.

29 Cæſar apud Pharſalum Pompejum ſuperavit. Cum videret ſuos milites immoderate uti victoria, exclamabat, ut hoſtibus parcerent.

30 Cæ-

λ' Καῖσαρ τοὺς πολεμίους ἅπαντας κατορθώσας, ἑκάστῳ τῶν ἰδίων στρατιωτῶν ἐπέτρεψεν ἕνα ὃν ἂν βούληται τῶν πολεμίων διασώζειν. οὕτω δὴ τοὺς ἀντιστασιώτας Ῥωμαίους ἅπαντας ἐκ τῆς φυγῆς ἀνακαλεσάμενος, εὐνουστάτους ἑαυτῷ κατεσκεύασεν ἐν τῇ πόλει.

λα' Καῖσαρ τοὺς ἀνδριάντας Πομπηΐου καὶ Σύλλα τῶν ἐχθρῶν καταβληθέντας ὑπὸ τοῦ πλήθους, αὐτὸς ἀνέστησε, καὶ μεγάλην εὔνοιαν παρὰ Ῥωμαίων ἐκτήσατο.

λβ' Καῖσαρ [31] τοιούτου λέγοντος ἀπαίσια τὰ ἱερά, Καὶ μὴν ἀμείνω ἔφη γενήσεσθαι, ἐπειδὰν αὐτὸς ἐθελήσῃ. καὶ οὕτως ἐπέρρωσε τοὺς στρατιώτας.

λγ' Καῖσαρ ἀκαρδίου θύματος εὑρεθέντος, καὶ τί παράδοξον, ἔφη, εἰ ἄλογον ζῶον καρδίαν οὐκ ἔχει; οἱ στρατιῶται τοῦτ' ἀκούσαντες, ἐθάρρησαν.

ΚΕΦ. ΚΔ.

ΣΕΒΑΣΤΟΣ.

Σεβαστὸς τοὺς ἐν ταῖς μάχαις καθυφειμένους οὐκ ἀνῄρει πάντας, ἀλλ' ἐδεκάτευεν.

β' Σεβα-

31 Dubium τοῦ ἱερέως ne, an τοῦ μάντεως. *Caſ.*

30 Cæſar omnibus hoſtibus debellatis, unicuiqui ex ſuis militibus poteſtatem fecit, unum aliquem quem quisque vellet, ex iis conſervandi. Sic omnes Romanos qui adverſariorum factionem ſequebantur, ex fuga revocatos, benevolentiſſimos in urbe reddidit.

31 Cæſar ſtatuas Pompeji ac Syllæ inimicorum ſuorum dejectas a multitudine, ipſe rurſus erexit: magnamque ea re benevolentiam apud Romanos adeptus eſt.

32 Cæſar cum vates diceret, inauſpicata eſſe ſacra: Atqui, inquit, meliora futura eſſe, ſi ipſe velit. et ita militum animos confirmavit.

33 Cæſar victima ſine corde reperta. Et quid, inquit, mirum ſi brutum animal cor non habet? Hoc audito milites fiduciam ſumſerunt.

CAP. XXIV.

AUGUSTUS.

Auguſtus eos qui in pugnis eſſent prævaricati, non interficiebat omnes, ſed decimabat.

2 Augu-

β′ Σεβαστὸς τοῖς διὰ δειλίαν ἀπολειπομένοις, κριθὰς ἀντὶ πυρῶν ἐκέλευε μετρεῖσθαι.

γ′ Σεβαστὸς τοὺς ἐπὶ στρατοπέδου διαμαρτόντας ἐκέλευσε πρὸ τοῦ στρατηγείου λυσιζώνους ἑστάναι· ἔστι δὲ ὅτε καὶ πλινθοφορεῖν δι' ὅλης ἡμέρας.

δ′ Σεβαστὸς τοῖς ἑαυτοῦ στρατηγοῖς παρήγγειλεν, ἀσφαλείας πεφροντικέναι μάλιστα, καὶ συνεχῶς ἐπέλεγε τὸ, Σπεῦδε βραδέως. καὶ τὸ, Ἀσφαλὴς γὰρ ἔστ' ἀμείνων, ἢ θρασὺς στρατηλάτης.

ε′ Σεβαστὸς τοῖς ἀνδραγαθοῦσιν ἀργυρίου καὶ χρυσίου μεγάλας ἐδίδου δωρεάς.

ς′ Σεβαστὸς τοὺς ἄνευ λυσιτελείας ῥιψοκινδύνους ἔλεγε μηδὲν διαφέρειν τῶν χρυσοῖς ἀγκίστροις ἁλιευομένων.

ζ′ Σεβαστὸς ἐν τῷ πρὸς Κάσιον καὶ Βροῦτον πολέμῳ περαιοῦσθαι τὸν Ἀδρίαν ἐβούλετο· Μούκιος ναύαρχος τῶν πολεμίων ἐφορμῶν ἐν τῇ νησίδι τῇ κατὰ Βρεντήσιον κωλύσων δῆλος ἦν. ὁ Σεβαστὸς ἐξαπατᾷ τὸν Μούκιον, ὡς μέλλων πρὸς αὐτὸν ναυμαχεῖν· καὶ τὰς μὲν τριήρεις ἐν δεξιᾷ τοῦ Ἀδρίου παρὰ τὴν Ἰταλίαν ἔταξε πλεῖν, ὡς τῇ νησίδι ἐπιπλευσομένας. αὐτὸς δὲ φορτίδας πύργων ἐπλήρου καὶ μηχα-

2 Auguſtus iis qui ob timiditatem minus dextre rem adminiſtraſſent, hordeum pro tritico juſſit menſurari.

3 Auguſtus eos qui in exercitu deliquiſſent, juſſit ante prætorium diſcinctos ſtare: nonnunquam etiam lateres totum diem ferre.

4 Auguſtus ſuis ducibus imperabat, ut maxime ſecuritatis curam agerent. et continenter hoc iterabat, Feſtina lente: Nam cautus dux, confidenti longe eſt præferendus.

5 Auguſtus eos qui ſingularem virtutem in præliis edidiſſent, ampliſſimis auri, argentique muneribus ornare ſolebat.

6 Auguſtus, eos qui nullo uſu poſtulante ſe in pericula conjicerent, dicebat nihil ab iis differre, qui aureis hamis piſcarentur.

7 Auguſtus in bello contra Brutum et Caſſium, trajicere Adriam volebat. Mutius nauarchus hoſtium in inſula juxta Brunduſium ſtationem habens, prohibiturus eos manifeſto videbatur. Auguſtus decipit Mutium, ita ſe gerens, quaſi navali prælio adverſus ipſum decertaturus eſſet, et triremes ad dextram Adriæ verſus Italiam navigare juſſit, tanquam ad inſulam adnavigaturas. Ipſe onerarias turribus implebat, et machinis

μηχανημάτων. Μούκιος δὲ ἐξαπατηθεὶς τῇ παρασκευῇ τῆς ναυμαχίας, ἐς τὸ πέλαγος ἀνεχώρησεν, ὡς ἐν εὐρυτέρῳ μᾶλλον ἢ στενῷ ναυμαχήσων. ὁ δὲ Σεβαστὸς οὐ συνῆψε μάχην, ἀλλὰ ἐν τῇ νησίδι καθωρμίσατο. Μουκίου δὲ ἄλλον ὅρμον οὐκ ἔχοντος, ἀλλὰ βιασθέντος ὑπὸ τῶν πνευμάτων ἐς τὴν Θεσπρωτίδα περαιοῦσθαι, ὁ Σεβαστὸς τὸν Ἀδρίαν ἀκινδύνως, διαπλεύσας, τῇ Μακεδονίᾳ προσέσχεν.

ΚΕΦ. ΚΕ.

ΡΩΜΑΙΟΙ.

Ῥωμαῖοι, Κελτῶν [32] τὴν πόλιν λαβόντων, συνθήκας πρὸς αὐτοὺς ἐγράψαντο· φόρους τελεῖν, πύλην ἠνεῳγμένην παρέχειν διὰ παντὸς, καὶ γῆν ἐργάσιμον. Κελτοὶ μὲν ἐπὶ τούτοις ἐστρατοπέδευον· Ῥωμαῖοι δὲ ὡς φίλοις ξένια πολλὰ ἔπεμψαν, καὶ οἶνον πάμπολυν· οἱ βάρβαροι* φύσει δὲ τὸ Κελτικὸν ὑπέροινον· πολὺν ἀφυσάμενοι τὸν οἶνον, ὑπὸ μέθης ἔκειντο. Ῥωμαῖοι δὲ ἐπελθόντες, ἅπαντας κατέκοψαν.

32 MS. τὴν Ῥώμην. Infra pro ἀφυσάμενοι, idem ἀρυσάμενοι, quod idem.

chinis. Mutius deceptus navalis pugnæ apparatu, in pelagus receſſit, ut in latiori potius quam anguſto mari pugnam faceret. Auguſtus vero prælium non commiſit, ſed in inſula naves ſubducebat. Mutius nullum alium portum habens, in Theſprotidem a ventis coactus eſt transmittere. Auguſtus Adriam ſine periculo transiens, in Macedoniam pervenit.

CAP. XXV.

ROMANI.

Galli Urbem ceperant: Romani fœdus cum eis fecerunt his conditionibus, ut tributa eis penderent, portamque apertam omni tempore præberent, et terram ad culturam concederent. His factis, Galli caſtrametabantur: Romani tanquam amici, multa hoſpitalia munera miſerunt, vinique magnam copiam. Barbari (natura autem Celtica gens ad vinum proclivis eſt) hauſto vino, præ nimia ebrietate proſtrati jacebant. Romani impetu facto, eos omnes occiderunt. Ut autem ex fœderum

φαι. ἵνα δὲ κατὰ τὰς συνθήκας ἅπαντα ποιῆσαι δοκοῖεν, ἐπὶ πέτρας ἀπροσβάτου πύλην ἠνεῳμένην κατεσκεύασαν.

β′ Οἱ περὶ Αἰνείαν Τρῶες φεύγοντες, Ἰταλίᾳ προσέσχον, καὶ ἀμφὶ ταῖς 33 ἐμβολαῖς τοῦ ποταμοῦ τοῦ Θύμβριδος ἐναυλόχουν· οἱ μὲν δὴ Τρῶες ἀνὰ τὴν χώραν ἠλῶντο· αἱ δὲ γυναῖκες αὐτῶν βουλεύονται. Ῥώμη Τρωὰς ἀγορεύει, Μέχρι ποῦ πλανώμεθα; μέχρι ποῦ πλέομεν; τὰ πλοῖα καταφλέξωμεν καὶ τοὺς ἄνδρας εἰς ἀνάγκην καταστήσωμεν τήν δε τὴν γῆν κατοικίσαι. ταῦτα εἰποῦσα, πῦρ πρώτη ἐνῆκε ταῖς ναυσὶ, καὶ μετ᾽ αὐτὴν αἱ λοιπαὶ Τρωάδες. οἱ δὲ Τρῶες ἀπορούμενοι νεῶν Ἰταλίαν κατῴκισαν.

γ′ Ῥωμαῖοι Κοριολανὸν ἐδίωξαν· ὁ δὲ φυγὰς ἧκεν εἰς Τυῤῥήνην, νίκην κατὰ Ῥωμαίων ὑπισχνούμενος. πιστεύουσι Τυῤῥηνοὶ, καὶ στρατηγὸν ἀποφαίνουσιν· ὁ δὲ νικήσας ἐν μάχαις πολλαῖς, τέλος ἐπ᾽ αὐτὴν ἐφέρετο τὴν πόλιν, αἱρήσων κατὰ κράτος. Ῥωμαίων αἱ μητέρες· ἡγεῖτο δὲ αὐτῶν Οὐετουρία μήτηρ Κοριολανοῦ· προελθοῦσαι τῆς πόλεως ἀπήντων τοῖς πολεμίοις ὡπλισμένοις· καὶ Κοριολανῷ προσπεσοῦσαι, ἱκετηρίας προΐσχουσι· τὸ δὲ κεφάλαιον τῆς ἱκεσίας ἦν, Εἰ μὲν

33 Mavult ἐκβολαῖς. *Maſv.*

rum conditionibus omnia viderentur agere, in ſaxo inacceſſo portam apertam ædificarunt.

2 Trojani Æneæ comites profugi in Italiam appulerunt, et in oſtiis fluvii Tiberis naves tenuerunt. Trojani per regionem vagabantur. Uxores eorum conſilium ineunt clandeſtinum. Rhome Troas inquit: Quousque erramus? quousque pelago circumagimur? Agite, naves comburamus, viroſque ad neceſſitatem hujus incolendæ terræ redigamus. His dictis, prima ignem in naves injecit: poſtque eam reliquæ Troades. Trojani, navibus deſtituti, Italiam incoluerunt.

3 Romani Coriolanum in exilium agebant. Ille exul in Tyrrheniam pervenit, victoriam incolis contra Romanos promittens. Fidem habent ei Tyrrheni, eumque ſummum imperatorem deligunt. Ille multis præliis victor, ad extremum ipſam petebat Urbem, ut per vim eam caperet. Romanorum matronæ, quarum dux erat Veturia, mater Coriolani, ex Urbe procedentes, obviam ibant hoſtibus armatis, et Coriolani genibus accidentes ſupplicum more eum obſecrabant. Caput autem obſecra-

μὲν τὴν πόλιν αἱρεῖν ἔγνωκας πρότερον τὴν μητέρα τὴν σὴν, καὶ πάσας τὰς Ῥωμαίων μητέρας ἀπόκτεινον. Κοριολανὸς ἔπαθεν, ἐδάκρυσεν, ἀνέζευξεν. ἡ μὲν ἀνάζευξις εὐσεβής· ὀλέθριος δὲ τῷ στρατηγῷ. Τυῤῥηνοὶ γὰρ, ὡς προδόντα νίκην φανερὰν, ἐψηφίσαντο θανάτῳ κολασθῆναι.

ΚΕΦ. Κϛ.

ΣΕΜΙΡΑΜΙΣ.

Σεμίραμις λουομένη τῶν 34 Σιράκων ἤκουσε τὴν ἀπόστασιν· καὶ παραυτίκα ἀνυπόδητος, μηδὲ τὰς τρίχας ἀναπλεξαμένη ἐπὶ τὸν πόλεμον ἐξῆλθε. τῇ δὲ στήλῃ αὐτῆς ἐπιγέγραπται τάδε, Ἐμὲ γυναῖκα μὲν ἡ φύσις ἐποίησεν· ἐγὼ δὲ τοῖς ἔργοις τῶν ἀγαθῶν ἀνδρῶν οὐδενὸς χείρων ἐγενόμην. 35 ἐγὼ Νίνου βασιλεύσασα, προς ἕω μὲν ὥρισα ποταμὸν Ἰναμάμην· πρὸς δὲ μέσον ἡλίου, τὴν φέρουσαν λιβανωτὸν καὶ σμύρναν· ἀπὸ δὲ χειμῶνος Σάκκας, καὶ Σόγδους: θαλάσσαν πρότερον οὐδεὶς Ἀσσυρίων εἶδεν. ἐγὼ δὲ τέσσαρας, αἷς

34 MS. ut et Codd. *Caſ.* Σιρακῶν. Sed Vulgata recte. Conſule *Strabonem* lib. XI. *Maſv.* 35 Fortaſſe μετὰ Νίνον. *Inamames* fluvius eſt is, quem Plinius non uno loco *Iomanem* vocat. *Caſ.*

ſecrationis erat: Si urbem capere ſtatuiſti, antea matrem tuam, omnesque Romanorum matronas interfice. Coriolanus miſericordia motus, lacrymavit atque diſceſſit. Pia quidem diſceſſio: ſed exitioſa duci: Tyrrheni enim, quod manifeſtam certiſſimamque victoriam prodidiſſet, publico decreto eum morte mulctarunt.

CAP. XXVI.

SEMIRAMIS.

Semiramis inter lavandum de Siracum defectione cognovit: et repente ſine calceis, nondum compoſitis crinibus, ad bellum exivit. Columnæ autem ejus hæc inſcripta ſunt: Me natura quidem mulierem finxit: at ego rebus geſtis nullo fortiſſimorum virorum inferior exſtiti. Ego Nini regnum tenui, ad orientem terminum conſtitui fluvium Hinamamem: ad meridiem eam terram quæ thure ac myrrha abundat: a ſeptentrione Saccas et Sogdos. Mare antea nemo Aſſyriorum vidit: Ego vero qua-

[36] ἃς οὐκ ἔστιν . . . . πόῤῥω πελάσαι· τίς γὰρ αὐτὰς [37] ὁρμὴ περιέχει; ποταμοὺς ἠνάγκασα ῥεῖν ὅπου βουλοίμην. ἐβουλόμην δὲ ὅπου συνέφερε. γῆν ἄκαρπον ἐδίδαξα σπαρέσθαι· ποταμοῖς γὰρ αὐτὴν ἔμιξα ἐμοῖς. ἀνάλωτα τὰ τείχη παρέσχον. πέτρας ἀβάτους σιδήρῳ κατειργασάμην. ὁδοὺς ἔτεμον ἐμοῖς ὀχήμασιν, ἃς οὐδὲ θηρία διῆλθε. καὶ τῶν ἔργων χρόνος μοι περισσὸς ἐγένετο πολὺς, ὃν ἐμαυτῇ καὶ φίλοις ἐχαρισάμην.

ΚΕΦ. ΚΖ.
ΡΟΔΟΓΟΥΝΗ.

Ῥοδογούνη λουομένη τὰς τρίχας ἐῤῥύπτετο. ἧκέ τις ἀγγέλλων, Ἔθνος ὑπήκοον ἀφέστηκεν. ἡ δὲ οὐκ [38] ἀποκρυψαμένη τὰς τρίχας, ἀλλ' ὡς εἶχεν ἀναδησαμένη, τόν τε ἵππον ἀνέβη, καὶ τὴν στρατιὰν ἐξήγαγε, καὶ ὤμοσε μὴ πρότερον ἀποκρύψαι τὰς τρίχας, εἰ μὴ κρατήσειε τῶν ἀποστάντων. καὶ δὴ πολλῷ χρόνῳ πολεμήσασα, ἐκράτησε.

μετὰ

36 ἃς οὐκ ἔστιν διὰ τὸ πόῤῥω πελάσαι. *Caſ.* 37 Forſitan ὅρος, quis enim terminus ea continet? 38 MS. ἀπορυψαμένη, ut et paulo poſt pro ἀπεκρύψατο, ἀπερύψατο. Interpres priore loco ἀποῤῥυψαμένη, ſed poſteriore ut Vulgata. *Maſv.*

quatuor, quibus propter longinquitatem appropinquare nemo poteſt. Quis enim ea impetu continet? Fluvios coëgi fluere, quocunque vellem. Volui autem, quo conduceret. Terram ſterilem fœcundam reddidi. Fluviis enim meis eam temperavi. Munitiones invictas conſtitui. Invias petras ferro domui. Vias meis vehiculis ſecui, quas ne feræ quidem prius ambulaverant, et a rebus gerendis ſatis mihi ſuperfuit temporis, quod mihi et amicis impertivi.

CAP. XXVII.
RHODOGUNE.

Rhodogune lavans crines abſtergebat. Venit quidam nuntians, ſubjectam gentem defeciſſe. Illa non abſterſis capillis, ſed ita ut erant revinctis, equum conſcendit, et exercitum eduxit, juravitque non ante ſe crines purgaturam, quam a defectoribus victoriam reportaſſet, longoque tempore bellum gerens, tandem victoria potita

μετὰ τὴν νίκην ἐλέσατο, καὶ τὰς τρίχας ἀπεκρύψατο. τοῖς Περσῶν βασιλεῦσι σφραγὶς βασιλικὴ εἰκὼν ἐστι 39 ἀναδεδυμένη τὰς τρίχας ἔχεσα 40 Ῥοδογένη.

ΚΕΦ. ΚΗ.

ΤΟΜΥΡΙΣ.

Τόμυρις, Κύρε στρατεύσαντος ἐπ' αὐτὴν, προσεποιήσατο δεδοικέναι τὲς πολεμίες. ἔφυγε μὲν τὸ Μασσαγετικόν· ἐπῆλθε δὲ τὸ Περσικὸν, καὶ κατέλαβεν ἐν τῷ στρατοπέδῳ πλῆθος οἴνε, τροφῶν, ἱερείων, οἷς ἀνέδην ἐχρήσαντο, καὶ δαψιλῶς, διὰ νυκτὸς ὅλης, ὥσπερ νενικηκότες. ἐπεὶ δὲ πολὺν οἶνον καὶ τροφὴν ἔλαβον, ἔκειντο καθεύδοντες· ἐπελθέσα Τόμυρις, δυσκινήτως ἔχοντας Πέρσας αὐτῷ Κύρῳ διέφθειρεν.

ΚΕΦ. ΚΘ.

ΝΙΤΗΤΙΣ.

Κῦρος Περσῶν βασιλεὺς, Ἄμασιν Αἰγύπτε βασιλέα μίαν τῶν θυγατρῶν ᾔτησε πρὸς γάμον· ὁ δὲ Νιτῆτιν θυγατέρα

39 Ἀνακεκλυμένην. *Caſ.* 40 *Vulgata* Ῥοδογένην.

tita eſt. Poſt victoriam lavabat, et crines colligebat: unde Perſarum regni ſigillum etiamnum imaginem impreſſam habet Rhodogunes disjectis capillis præditæ.

CAP. XXVIII.

TOMYRIS.

Tomyris, Cyro adverſus ipſam expeditionem faciente, ſimulabat ſe hoſtes metuere. Cum in fugam ſe Maſſagetarum exercitus conjeciſſet, et ſequeretur Perſicum agmen, deprehendit in Maſſagetarum caſtris magnam copiam vini, commeatus, victimarum, quibus affatim et largiter fruebantur per totam noctem, quaſi victoriam conſecuti. Cum multo vino, luxuque obruti jacerent, ac ſomnum caperent, ſuperveniens Tomyris, Perſas, qui ſe loco movere vix poterant, una cum ipſo Cyro trucidavit.

CAP. XXIX.

NITETIS.

Cyrus Perſarum rex ab Amaſi Ægyptiorum rege petiit, ut unam filiarum ſibi in matrimonium collocaret. Il-

γατέρα Ἀπρίου βασιλέως, ὃν καταλύσας αὐτὸς ἦρχε, ἔπεμψεν ὡς αὐτόν· Νιτῆτις ὑποκρινομένη μέχρι πολλοῦ Κύρῳ συνῆν ὡς θυγάτηρ Ἀμάσιδος. ἡνίκα δὲ πολλῶν τέκνων ἐγένετο μήτηρ, καὶ τὸν γήμαντα ἐς εὔνοιαν [41] ἐνεχύρωτο, ὡμολόγησεν Ἀπρίην αὐτῇ πατέρα, τὸν δεσπότην Ἀμάσιδος, γενέσθαι. ἀλλ' εἰ καὶ τέθνηκεν Ἄμασις, τὸν δὲ υἱὸν αὐτοῦ Ψαμμήτιχον τίσασθαι καλόν. πείθεται Κῦρος· ἀλλὰ καὶ Κῦρος μὲν πρὸ τῆς στρατείας ἐτελεύτησεν. ὁ δὲ παῖς αὐτοῦ Καμβύσης τῇ μητρὶ πεισθεὶς ἐστράτευσε καὶ τὴν Αἰγυπτίων χώραν ἀρχὴν ἐς τὸ Ἀπρίου γένος ἀνεκτήσατο.

ΚΕΦ. Λ.

ΦΙΛΩΤΙΣ.

Ἐπὶ Ῥωμαίους ἐστράτευσαν Λατῖνοι, ἡγεμόνα [42] Ποστοῦμον ἔχοντες· καὶ τὰς θυγατέρας αὐτῶν ἐζήτουν πρὸς γάμον, ὥσπερ αὐτοὶ τὰς Σαβίνων ἥρπασαν, ἐπὶ τῷ σπείσασθαι

41 *Caſaub.* ſuſpicatur legendum ἠνεχυράσατο. MS. ἐχείρωτο. Unde patet legendum ἐκεχείρωτο, quod etiam inter conjecturas eſt Caſauboni. Sub finem cum MS. et Interprete χώραν ſuſtulerim. *Maſv.* 42 Ποστούμιον. *Caſaub.*

le Niteten filiam Apriæ regis, quo devicto ipſe regnum capeſſiverat, ad eum miſit. Nitetis ad multum tempus Amaſis filiam ſimulans, cum Cyro conſuetudinem habebat. Cum vero multorum liberorum mater evaſiſſet, et mariti ſummam benevolentiam ſibi adjunxiſſet, confeſſa eſt, Apriam ſuum patrem fuiſſe, dominum Amaſis. Sed etiam cum Amaſis vitam obierit, filium ejus Pſammetichum ulciſci pulchrum eſſe. Morem ei gerit Cyrus. At etiam Cyrus antequam ſuſciperet expeditionem, diem ſuum obiit: At filius ejus Cambyſes, a matre perſuaſus, bellum illud ſuſcepit, et Ægyptiorum imperium in Apriæ ſtirpem vindicavit.

CAP. XXX.

PHILOTIS.

Adverſus Romanos militabant Latini, ducem habentes Poſthumium, eorumque filias ad contrahenda cum iis matrimonia poſtulabant, quemadmodum ipſi Sabinorum

σθαι τὴν εἰρήνην. Ῥωμαῖοι τὸν μὲν πόλεμον ἐφοβοῦντο· τὰς δὲ θυγατέρας οὐχ ὑπέμενον ἐκδοῦναι· ἔνθα δὴ Φιλωτὶς θεράπαινα τὴν ὄψιν εὐπρεπὴς, συνεβούλευσεν αὐτήν τε καὶ ἄλλας θεραπαίνας, ὅσαι τὴν ὄψιν ἀστεῖαι, κοσμῆσαι, καὶ τοῖς πολεμίοις ὡς θυγατέρας ἐκπέμψαι· προσυνθεμένη, ἐπειδὰν οἱ πολέμιοι λαβόντες αὐτὰς, ἀναπαύσωνται, νύκτωρ ἀνασχεῖν πυρσόν. οἱ μὲν Λατῖνοι συνεκάθευδον ταῖς κόραις. ἡ δὲ ἀνέσχε τὸν πυρσόν· οἱ Ῥωμαῖοι δὲ ἐπανελθόντες τοὺς Λατίνους καθεύδοντας, ἀπέκτειναν.

ΚΕΦ. ΛΑ.

ΚΛΟΙΛΙΑ.

Ῥωμαῖοι Τυῤῥηνοῖς πολεμοῦντες ποιησάμενοι συνθήκας, ἔδωκαν αὐτοῖς ὁμήρους τῶν εὐγενεστάτων ἀνδρῶν θυγατέρας παρθένους. αἱ δὲ ὁμηρεύουσαι προσῆλθον ἐπὶ τὸν ποταμὸν τὸν 43 Θύμβριν λουσάμεναι· μία δὲ ἐξ αὐτῶν Κλοιλία προὔπεμψεν ἁπάσας ἀναδήσασθαι τοὺς χιτωνίσκους περὶ τὰς κεφαλὰς, καὶ διανήξασθαι τὸ ῥεῦμα τοῦ ποταμοῦ δίναις βαθείαις δύσπορον. ἐπεὶ δὲ διενήξαντο, Ῥωμαῖοι τὴν μὲν ἀρετὴν

43 MS. Θύβριν.

rum virgines rapuerant, ſi fœdus ac pacem conſtitui vellent. Romani bellum quidem metuebant: filias autem ſuas tradere non ſuſtinebant. Tum Philotis ſerva, facie liberali prædita, conſilium dedit, ut ſe aliasque ſervas, quæ decora forma eſſent, ornarent, ac hoſtibus quaſi filias mitterent: inito ſimul pacto, ſe, cum hoſtes ipſis acceptis ſe quieti tradidiſſent, noctu igni ſignificationem daturam. Latini cum puellis cubabant. Illa facem ſuſtulit. Romani reverſi, Latinos dormientes interfecerunt.

CAP. XXXI.

CLOELIA.

Romani cum Tyrrhenis bellum gerentes, conſtituto fœdere obſides eis dederunt, nobiliſſimorum virorum filias virgines. Quæ obſidum loco datæ erant, acceſſerunt ad fluvium Tiberim loturæ. Ex his una Clœlia reliquas omnes hortabatur, ut tunicas circum capita religarent, et fluvii curſum ob profundos gurgites difficilem transitu, tranarent. Cum tranaſſent, Romani virtutem qui-

ἀρετὴν αὐτῶν, καὶ τὴν ἀνδρείαν ἐθαύμασαν· ἀντέπεμψαν δὲ αὐτὰς Τυῤῥηνοῖς, τὸ πιστὸν τῶν συνθηκῶν φυλάσσοντες. Πορσίνας βασιλεὺς Τυῤῥηνῶν ἀνέκρινε τὰς κόρας, τίς ἦν αὐτῶν ἡ τοῦτο πρᾶξαι πείσασα. Κλοιλία προλαβοῦσα τὰς ἄλλας, ὡμολόγησε. Πορσίνας ὑπεραγασθεὶς τὸ ἀνδρεῖον τῆς κόρης, ἵππον αὐτῇ λαμπρῶς κεκοσμημένον ἐδωρήσατο, καὶ τὰς παρθένους πάσας ἐπαινέσας Ῥωμαίοις ἀπέπεμψεν.

ΚΕΦ. ΛΒ.

ΠΟΡΚΙΑ.

Πορκία θυγάτηρ Κάτωνος, γυνὴ Βρούτου τὸν ἄνδρα Βροῦτον, ὑπονοοῦσα ἐπιβουλεύειν Καίσαρι, μαχαιρίῳ κουρέως τὸν ἑαυτῆς μηρὸν ἀπέσχισεν, ἐπιδεικνυμένη καρτερίαν σώματος, καὶ ψυχῆς ἐγκράτειαν· τότε δὴ Βροῦτος ἐπίστευσεν αὐτῇ τὸ ἀπόῤῥητον. ἡ δὲ τοὺς χιτωνίσκους αὐτῆς προσεκόμισε τῷ ἀνδρὶ, καὶ τῶν χιτώνων ἔνδον τὸ ξίφος· προσελθὼν Βροῦτος μετὰ τῶν κοινωνούντων ἐπιθέμενος κτείνει Καίσαρα. ἐπεὶ δὲ μετὰ Κασσίου παραταξάμενος ἐν Μακεδονίᾳ πρὸς τὸν Σεβαστὸν, ἥττης γενομένης, αὐτὸς ἑαυτὸν ἀνεῖλεν· Πορκία τὸ μὲν πρῶτον ἀποκαρτερεῖν ἐπειρᾶτο· οἰκείων

dem earum et fortitudinem admirabantur, ſed tamen eas Tyrrhenis remiſerunt, ut religionem fœderum inviolatam conſervarent. Porſenna rex Tyrrhenorum ſciſcitabatur, quænam eſſet quæ hujus facinoris eis auctor exſtitiſſet. Clœlia reliquas prævertens, confitebatur. Porſenna virilem admodum virginis animum admiratus, equum ei ſplendide ornatum dono dedit, omnesque virgines collaudatas Romanis remiſit.

CAP. XXXII.

PORCIA.

Porcia filia Catonis, Uxor Bruti, maritum ſuum Brutum ſuſpicata inſidias Cæſari ſtruere, novacula femur ſuum abſcidit, oſtentans corporis tolerantiam et patientiam animi. Tum demum Brutus rem arcanam ei credidit. Illa vero tuniculas ſuas viro attulit, et intra tunicas enſem. Accedens Brutus cum ſociis conjurationis in Cæſarem impetu facto, eum occidit. Ubi vero cum Caſſio adverſus Auguſtum prælio in Macedonia commiſſo victus eſſet, mortem ipſe ſibi conſcivit. Porcia primum quidem inedia vitam

οἰκείων δὲ καὶ συγγενῶν ἐκ ἐώντων, ἐσχάραν ἐκέλευσε κομισθῆναι πυρὸς, ὡς ἀλειψομένη· καὶ τῶν ἀνθράκων ἀρπάσασα πολλὰς ταῖς χερσὶν ἐνέβαλεν εἰς τὸ ϛόμα, καὶ κατέπιεν, φθάσασα πρίν τινα τῶν παρόντων βοηθῆσαι δύνασθαι. ἕτως ἐτελεύτησε Πορκία ϛρατηγικὴ καὶ ἀνδρεία πρὸς θάνατον, καὶ φίλανδρος γενομένη.

ΚΕΦ. ΛΓ.
ΤΕΛΕΣΙΛΛΑ.

Κλεομένης Σπαρτιατῶν βασιλεὺς κτείνας ἐν παρατάξει Ἀργείων ἄνδρας ͵ζ ψοζ', ἐβάδιζεν ἐπὶ τὸ Ἄργος ὡς κατὰ κράτος αἱρήσων τὴν πόλιν. Τελεσίλλα ἡ μεσικὴ τὰς Ἀργείας ὁπλίσασα, προήγαγεν εἰς μάχην· αἱ δὲ ἔνοπλοι παρὰ ἔπαλξιν ἱϛάμεναι, κύκλῳ τὰ τείχη φραξάμεναι, Κλεομένη μὲν ἀπεκρέσαντο· Δημάρατον δὲ τὸν ἕτερον βασιλέα ἐξώσαντο· καὶ τὴν πόλιν ἁλῶναι κινδυνεύεσαν ἀνέσωσαν. τῦτο τὸ ϛρατήγημα τῶν γυναικῶν μέχρι νῦν Ἀργεῖοι τιμῶσι· νεμηνίᾳ μηνὸς Ἑρμαίε, τὰς μὲν γυναῖκας ἀνδρείοις χιτῶσι καὶ χλαμύσι, τὰς δὲ ἄνδρας πέπλοις γυναικείοις ἀμφιεννύντες.

ΚΕΦ. ΛΔ.

vitam finire conabatur: verum domeſticis et cognatis non ſinentibus, foculum igne plenum quaſi unctura ſeſe juſſit adferri: multosque candentes carbones manibus arreptos in os injecit, et ante devoravit, quam quisquam ex præſentibus ſuccurrere poſſet. Ita vitam cum morte commutavit Porcia, militaris et fortis ad mortem, virique in primis amans.

CAP. XXXIII.
TELESILLA.

Cleomenes Spartiatarum rex, interfectis in prælio Argivis viris ad ſepties mille ſeptingentis, ſeptuaginta ſeptem, iter Argos direxit, ut per vim urbem caperet. Teleſilla muſica Argivas armatas ad pugnam eduxit: quæ armatæ in propugnaculis ſtantes, circumcirca muros tuentes, Cleomenem repulerunt. Demaratum vero alterum regem etiam expulerunt, urbemque a periculo expugnationis vindicarunt. Et hoc mulierum ſtrategema usque in hodiernum diem Argivi celebrant calendis menſis quarti, mulieres virilibus tunicis et chlamydibus, viros autem peplis muliebribus amicientes.

ΚΕΦ. ΛΔ.
ΧΙΛΩΝΙΣ.

Χιλωνὶς Κλεάδα θυγάτηρ, Θεοπόμπου γυνὴ, μαθοῦσα τὸν ἄνδρα ὑπὸ Ἀρκάδων αἰχμάλωτον φυλάττεσθαι, ἦλθεν ἐς τοὺς πολεμίους ἑκοῦσα· θαυμάσαντες αὐτῆς τὸ φιλάνθρωπον Ἄρκαδες, ἐπέτρεψαν εἰς τὸ δεσμωτήριον αὐτὴν παρελθεῖν. ἡ δὲ τὴν αὐτῆς ἐσθῆτα τῷ ἀνδρὶ περιθεῖσα, τὴν ἐκείνου δὲ αὐτὴ λαβοῦσα, ἔπεισεν αὐτὸν ὑπεξελθεῖν· αὐτὴ δὲ ἀντ' αὐτοῦ παρὰ τοῖς πολεμίοις ἔμεινε· Θεόπομπος τῷ στρατηγήματι τῆς γυναικὸς διασωθεὶς, καὶ αὐτὸς τὴν ἱερέαν τῆς Ἀρτέμιδος εἰς 44 Φενεῶν πομπεύουσαν ἥρπασε. Τεγεᾶται ταύτην ἀπολαβεῖν θέλοντες, ἀπέδωκαν αὐτῷ τὴν Χιλωνίδα.

ΚΕΦ. ΛΕ.
ΠΙΕΡΙΑ.

Οἱ ἐν Μιλήτῳ Ἴωνες πρὸς τοὺς Νηλέως παῖδας στασιάσαντες, ἀνεχώρησαν ἐς Μυοῦντα, κἀκεῖθεν ἐπολέμουν· οὐ μὴν ὅγε πόλεμος ἄσπονδος ἦν· ἀλλὰ ἐν ταῖς ἑορταῖς ἦν αὐτοῖς ἐπιμιξία. Πύθου ἀνδρὸς ἐνδόξου θυγάτηρ Πιερία, ἑορτῆς

44 Φενεόν. *Caſ.*

CAP. XXXIV.
CHILONIS.

Chilonis Cleandri filia, uxor Theopompi, cum maritum ſuum captivum aſſervari ab Arcadibus didiciſſet, ultro ad hoſtes venit. Arcades ejus humanitatem admirati, poteſtatem ei in carcerem introëundi fecerunt. Illa ſuam veſtem marito circumdedit, ejusque ipſa ſumſit, et illum clam egredi juſſit. Ipſa vero pro eo apud hoſtes remanſit. Theopompus uxoris ſtrategemate ſervatus, etiam ipſe ſacerdotem quandam Dianæ in Pheneum pompam ducentem rapuit. Tegeatæ, ut hanc reciperent, Chilonidem ei reſtituerunt.

CAP. XXXV.
PIERIA.

Inhabitantes Miletum Iones commota ſeditione adverſus Nelei poſteros, diſceſſerunt in Myuntem, atque inde bellum inferebant. Non tamen inexpiabile bellum hoc fuit. Sed in feſtorum ſolennitatibus coibant. Pythæ viri

ἑορτῆς οὔσης παρὰ Μιλησίοις, ἣν Νηληΐδα κλήζουσιν, ἧκεν ἐς Μίλητον. 45 τῶν Νηλέως παίδων .... ὄνομα Φρύγιος, Πιερίας ἐρασθεὶς, ἤρετο τί ἂν αὐτῇ μάλιστα γίγνοιτο κεχαρισμένον. ἡ δὲ ἔφη· Εἰ ἐμοὶ διαπράξαιο, πολλάκις καὶ μετὰ πολλῶν ἐνθάδε βαδίζειν δύνασθαι. συνῆκεν ὁ Φρύγιος ὡς εἰρήνης καὶ φιλίας τοῖς πολίταις δέοιτο· καὶ τὸν πόλεμον ἔπαυσε. καὶ ἔνδοξος ὁ Φρυγίου καὶ Πιερίας ἔρως, εἰρήνην ἀντὶ πολέμου παρασχών.

ΚΕΦ. Λϛ.

ΠΟΛΥΚΡΗΤΗ.

Μιλήσιοι Ναξίοις ἐπολέμουν· Ἐρυθραῖοι Μιλησίοις συνεμάχουν. Διόγνητος Ἐρυθραίων στρατηγὸς λείαν τῶν Ναξίων ἔλαβε πολλὴν, καὶ δὴ γυναῖκας καὶ παρθένους πολλὰς, ὧν ἦν 46 Πολυκρήτη. ταύτης ἐρασθεὶς, οὐχ ὡς αἰχμαλώτῳ συνῆν, ἀλλ' ὡς γαμετῇ γυναικί. ἦν δὲ ἐν τῷ στρατοπέδῳ τῶν Μιλησίων πάτριος ἑορτή· καὶ πάντες ἀνέκειντο μέθῃ καὶ θυμηδίᾳ. Πολυκρήτη παρεκάλει Διόγνητον ἐπιτρέψαι τῶν

45 τῶν Νηλέως παίδων εἷς, ὀν. Φρ. *Caſ.* 46 Apud Plutarchum Πολυκρίτη. *Caſ.*

viri clariſſimi filia Pieria cum feſtum apud Mileſios celebraretur, quod Neleidem appellant, Miletum profecta eſt. Ex Nelei poſteris unus nomine Phrygius, amore Pieriæ captus, rogabat quidnam potiſſimum ei gratum accidere poſſet. Mihi, inquit illa, gratiſſimum fuerit, effici ut quam ſæpiſſime et cum quamplurimis in hunc locum venire liceat. Intellexit Phrygius, eam pacem et concordiam civium velle, bellumque ſuſtulit. Celebris igitur erat Phrygii et Pieriæ amor, qui pacem pro bello præbuiſſet.

CAP. XXXVI.

POLYCRETA.

Mileſii cum Naxiis bellum gerebant. Erythræi Mileſiis auxilium ferebant. Diognetus Erythræorum dux magnam prædam Naxiorum ceperat, mulieres etiam et virgines plurimas, in quibus erat Polycreta. Eam cum vehementer amaret, cum ea non ut cum captiva, ſed velut cum uxore conſuetudinem habebat. Agebatur in caſtris Mileſiorum patrium et ſolenne feſtum, omnesque vino et lætitia proſtrati jacebant. Polycrete rogabat Diognetum, ut

τῶν πεμμάτων μερίδας πέμψαι τοῖς ἀδελφοῖς· ἐπιτρέψαντος, ἐμβάλλει μολιβοῦν γραμματεῖον εἰς τὸν πλακοῦντα, τῷ κομίζοντι ἐντειλαμένη φράσαι τοῖς ἀδελφοῖς, ὅπως αὐτὸν μόνοι φάγοιεν ἀπὸ στόματος τῆς ἀδελφῆς. οἱ δὲ εὑρόντες τὸν μόλιβον, καὶ ἀναπτύξαντες, ἀναγινώσκουσι, νύκτωρ ἐπιθέσθαι τοῖς πολεμίοις διὰ τὴν ἑορτὴν μεθύουσι, καὶ καθεύδουσι, καὶ ἀφυλάκτοις. οἱ στρατηγοὶ ταῦτα μαθόντες, νύκτωρ ἐπέθεντο, καὶ τῶν πολεμίων ἐκράτησαν. τὸν μέν-τοι Διόγνητον ἡ Πολυκρίτη γέρας παρὰ τῶν πολιτῶν ᾐτήσατο.

ΚΕΦ. ΛΖ

ΦΟΚΑΕΙΣ.

Φωκαεῖς Φόξον ἡγεμόνα ἔχοντες Μάνδρωνι βασιλεῖ Βεβρύκων συνεμάχησαν ὑπὸ τῶν προσοίκων βαρβάρων πολεμουμένῳ. Μάνδρων ἔπεισε τοὺς Φωκαεῖς ἐνοικεῖν μέρος τῆς χώρας καὶ τῆς πόλεως λαβόντας. ἐπεὶ δὲ πολλάκις μὲν ἐν ταῖς μάχαις ἐνίκων, πολλὰ δὲ λάφυρα ἐκτῶντο, ἐπίφθονοι τοῖς Βέβρυξιν ἐγένοντο· ὥστε ἀποδημοῦντος Μάνδρωνος, λόχῳ καὶ δόλῳ τοὺς Ἕλληνας ἐβουλεύσαντο διαφθεῖραι· Μάνδρωνος θυγάτηρ Λαμψάκη παρθένος, μαθοῦσα τὴν ἐπιβουλὴν ἀπο-

ut ſibi liceret bellariorum aliquot portiones ad fratres transmittere. Quo permittente, plumbeum libellum in placentam conjecit, mandans ei qui ferebat, dicere fratribus, ut ipſi ſoli comederent ab ore ſororis profectam. Illi repertum plumbum aperientes, legunt, ut per noctem adoriantur hoſtes, ob feſtum inebriatos, ac ſine cura dormientes. Quo cognito, duces noctu eruptionem in caſtra fecerunt, hoſteſque ſuperarunt. Diognetum autem præmii loco Polycrete a civibus petivit.

CAP. XXXVII.

PHOCÆENSES.

Phocæenſes Phoxum ducem ſecuti, Mandroni Bebrycum regi, qui a finitimis barbaris oppugnabatur, auxilium ferebant. Mandro Phocæenſibus perſuaſit, ut partem aliquam regionis atque urbis delectam incolerent. Qui cum ſæpenumero victores e pugnis reverterentur, magnamque ſpoliorum copiam acquirerent, invidiam Bebrycum erga ſe concitarunt. Ita ut, peregre profecto Mandrone, inſidiis ac dolo Græcos deliberarint necare. Mandronis filia Lampſace virgo, cognitis inſidiis, cum eos deterrere

ἀποτρέπειν ἐπειρᾶτο. ὡς δὲ οὐκ ἔπειθε, κρύφα τοῖς Ἕλλησι μηνύει τὰ κατ' αὐτῶν βεβουλευμένα· οἱ δὲ θυσίαν παρασκευάσαντες λαμπρὰν ἔξω τειχῶν, καλοῦσι τοὺς βαρβάρους ἐς τὸ προάστειον· οἱ μὲν δὴ κατακλεισθέντες εὐωχοῦντο. οἱ δὲ Φωκαεῖς δίχα διελόντες αὐτοὺς, οἱ μὲν τὰ τείχη 47 κατελάβοντο, οἱ δὲ τοὺς εὐωχουμένους ἀνεῖλον, καὶ τὴν πόλιν αὐτοὶ κατέσχον. τὴν δὲ Λαμψάκην μεγαλοπρεπῶς ἐτίμησαν, καὶ τὴν πόλιν ἀπ' αὐτῆς Λάμψακον ἀνηγόρευσαν.

ΚΕΦ. ΛΗ.

ΑΡΕΤΑΦΙΛΑ.

Νικοκράτης Κυρηναίων τύραννος, ἄλλα τε πολλὰ καὶ δεινὰ εἰργάσατο τοὺς πολίτας· καὶ δὴ τὸν ἱερέα τοῦ Ἀπόλλωνος Μελάνιππον αὐτοχειρὶ κτείνας, γυναῖκα αὐτοῦ Ἀρεταφίλαν καλὴν οὖσαν ἔγημεν. ἡ δὲ ὑπὲρ τῆς πατρίδος καὶ τοῦ ἀνδρὸς, τίσασθαι τὸν τύραννον ἐσπούδαζε. τὸ μὲν δὴ πρῶτον ἐπιβουλεύει φαρμάκοις· ἀλοῦσα δ' ἔφασκεν οὐ δηλητήριον, ἀλλὰ φίλτρον παρασκευάσαι, ὅπως ἐρῶντα αὐτῆς ἔχοι τὸν ἄνδρα. ἡ μήτηρ τοῦ τυράννου βασανίσαι τὴν Ἀρε-

47 *Vulgata* κατεβάλοντο.

terrere a propoſito non poſſet, clam Græcis conſilium contra eos initum enuntiat. Qui ſacrificium ſplendidum extra mœnia parantes, barbaros in ſuburbium ad epulas invitant. Illi concluſi epulabantur. Phocæenſes in duas ſeſe partes diviſerunt: quorum alteri muros occuparunt, alteri convivantes peremerunt, urbemque ipſi obtinuerunt. Lampſacen autem honorificentiſſimis præmiis affecerunt, et civitatem ab ea Lampſacum nominarunt.

CAP. XXXVIII.

ARETAPHILA.

Nicocrates Cyrenenſium tyrannus, cum aliis multis magnisque calamitatibus cives afflixit, tum ſacerdote Apollinis Melanippo ſua manu interfecto, uxorem ejus Aretaphilam egregia facie præditam duxit. Illa pro patria, maritoque ſuo pœnas a tyranno repetere conabatur. Primum igitur per venena inſidias ſtruxit. Comprehenſa autem non venenum, ſed philtrum miſcuiſſe confeſſa eſt, ut amantem ſui haberet maritum. Tyranni mater tormentis

Ἀρετάφιλαν συνεβούλευσε. καὶ δὴ βασανισθεῖσα μακροῖς καὶ πικροῖς βασανιστηρίοις ἀντέσχε, μηδὲν πλέον ὁμολογοῦσα φίλτρου. ὁ τύραννος ὡς οὐδὲν ἀδικοῦσαν ἀφῆκε, καὶ συνοῦσαν εἶχεν· καὶ πλέον αὐτὴν ἐθεράπευεν ὡς βασανισθεῖσαν οὐ δικαίως. ἡ δὲ θυγατέρα ἔχουσα ὥρα καὶ κάλλει διαφέρουσαν, ταύτην ὑφῆκεν ἀδελφῷ τοῦ τυράννου μειρακίῳ Λεάνδρῳ· ὁ δὲ ἁλοὺς ἔρωτι, παρακαλεῖ τὸν ἀδελφὸν γῆμαι τὴν κόρην. ἔγημε, καὶ τῇ μητέρι τῆς κόρης πειθαρχῶν, ὑπ' αὐτῆς πείθεται τὴν πόλιν ἐλευθερῶσαι. ὁ δὲ διαφθείρας Δάφνιν, κατευναστὴν τοῦ τυράννου, διὰ τούτου τὸν Νικοκράτην διεχρήσατο.

ΚΕΦ. ΛΘ.

ΚΑΜΜΑ.

Τῶν ἐν Γαλατίᾳ τετράρχων ἦσαν Σινόριξ, καὶ Σινάτος· τοῦ Σινάτου γυνὴ κάλλει σώματος καὶ ἀρετῇ ψυχῆς εὐκλεεστάτη Κάμμα· καὶ γὰρ ἦν Ἀρτέμιδος ἱέρεια, ἣν μάλιστα Γαλάται σέβουσι. καὶ ἦν ἔν τε πομπαῖς καὶ θυσίαις ἀεὶ μεγαλοπρεπῶς καὶ σεμνῶς κεκοσμημένη· ταύτης ἐρα-

mentis de Arethaphila quæri conſuluit, quæ quidem longis acerbisque tormentis examinata, fortiſſime reſtitit, neque aliud quicquam niſi de philtro confeſſa eſt. Tyrannus quaſi nullius injuriæ ream abſolvit, eamque in matrimonio habuit, et majori ſtudio ac benevolentia proſequebatur, quaſi injuſte tortam et examinatam. Illa cum filiam haberet ætatis flore et forma præſtantiſſimam eam ſubmiſit fratri tyranni adoleſcenti Leandro. Qui ejus amore captus, rogat tyrannum ut ſibi eam ducere liceat. Quo impetrato duxit, et matri puellæ morem gerens, inducitur ab ea ad vindicandam civitatis libertatem. Qui cubicularium tyranni muneribus corrupit, ejusque opera Timocratem de medio ſuſtulit.

CAP. XXXIX.

CAMMA.

Sinorix et Sinatus tetrarchias in Gallia obtinebant. Sinati uxor Camma corporis pulchritudine et animi virtute nobilis habebatur. erat enim ſacerdos Dianæ, quam Galli ſumma religione colunt et in pompis ac ſacrificiis ſemper ſummopere decentem et magnificentiſſimum ornatum geſta-

ἐρᾷ Σινόριξ. καὶ ζῶντος τοῦ ἀνδρὸς οὔτε πείσειν ἐλπίζων, οὔτε βιάσασθαι, τὸν Σίνατον ἐδολοφόνησεν· οὐκ εἰς μακρὰν δὲ Κάμμαν ἐμνᾶτο. ἡ δὲ ἐπὶ πλεῖστον μὲν ἀντέλεγεν· οἰκείων δὲ καὶ φίλων ἐγκειμένων, καὶ λιπαρῶς θεραπευόντων, ὑπεκρίνατο συγκατατίθεσθαι. καὶ δὴ συνέθεντο. 48 ἡκέτω Σινόριξ εἰς τὸ ἱερὸν τῆς Ἀρτέμιδος καὶ παρὰ τῇ θεῷ τὰς συνθήκας τοῦ γάμου ποιησώμεθα· ἧκε Σινόριξ, καὶ σὺν αὐτῷ πάντες ὅσοι Γαλατῶν ἐντελεῖς ἄνδρες καὶ γυναῖκες. ἡ δὲ φιλοφρόνως αὐτὸν δεξαμένη προσάγει τῷ βωμῷ καὶ ἀπὸ χρυσῆς φιάλης ἔσπεισε· καὶ τὸ μὲν ἐξέπιεν αὐτὴ, τὸ δὲ ἐκεῖνον ἐκέλευσεν αὐτὸν πιεῖν· ὁ δὲ οἷα δὴ νυμφίος παρὰ νύμφης λαβὼν, ἡδέως πίνει. τὸ δὲ ποτὸν ἄρα ἦν μελίκρατον πεφαρμαγμένον. ἡ δὲ πεπωκότα ὡς εἶδεν, λαμπρὸν ἀνωλόλυξε, καὶ τὴν θεὸν προσεκύνησεν, εἰποῦσα, Χάριν οἶδά σοι, ὦ πολύτιμε Ἄρτεμις, ὅτι μοι παρέσχες ἐν τῷ σῷ ἱερῷ δίκας ὑπὲρ τοῦ ἀνδρὸς λαβεῖν, ἀδίκως δι' ἐμὲ ἀναιρεθέντος· ταῦτα εἰποῦσα παραχρῆμα αὐτή τε ἀπέθνησκε, καὶ ὁ νυμφίος αὐτῇ συναπέθνησκε παρὰ τῷ βωμῷ τῆς θεοῦ.

ΚΕΦ. Μ.

48 *Vulgata* ἥκετο.

geſtabat. Hanc Sinorix amabat, quam neque perſuadendo permovere, neque per vim cogere poſſe vivo marito arbitratus, Sinatum per dolum occidit. Non longo poſt tempore, Cammam ambiebat. Illa frequenter renuebat. Familiaribus autem et amicis inſtantibus, et blandiſſime rem adminiſtrantibus, ſimulavit ſe eis aſſentiri. Et quidem inter eos convenit. Veniat, inquit, Sinorix in templum Dianæ et in conſpectu Deæ fœdus conjugii ineamus. Veniebat Sinorix, et cum eo omnes Galli perfecta ætate viri, ac mulieres. Quem illa perhumaniter exceptum ad aram adducit, et ex aurea phiala libavit, partimque ipſa ebibit, partim illum bibere juſſit. Qui tanquam ſponſus a ſponſa cum voluptate acceptum bibit. Potus autem hic erat mulſum veneno mixtum. Illa cum eum bibiſſe cerneret, magna voce exclamavit deamque in genua procumbens adoravit, inquiens: Gratiam habeo tibi, veneranda Diana, quod mihi conceſſeris in tuo templo, pro marito mea cauſſa injuſte interfecto ſupplicium exigere. His dictis confeſtim et ipſa mortem obiit, et ſponſus cum ea ſimul ad aram Deæ vitam reliquit.

CAP. XL.

ΚΕΦ. Μ.
ΤΙΜΟΚΛΕΙΑ.

Τιμόκλεια Θηβαία, Θεαγένους ἀδελφὴ, τοῦ παραταξαμένου Φιλίππῳ περὶ Χαιρώνειαν· ὃς καὶ πρὸς τὸν ἐμβοήσαντα, Μέχρι ποῦ διώκεις; ἀπεκρίνατο, Μέχρι τῆς Μακεδονίας. τούτῳ τελευτήσαντι, περιῆν ἀδελφή. Θήβας κατέσκαψεν Ἀλέξανδρος. ἄλλοι μὲν δὴ ἄλλα τῆς πόλεως ἐπόρθουν. Τιμοκλείας δὲ τὴν οἰκίαν κατελάβετο Θρᾷξ ἵππαρχος· οὗτος ὁ Θρᾷξ μετὰ τὸ δεῖπνον ἐκάλει τὴν Τιμόκλειαν ἐς τὸν θάλαμον· καὶ οὐδὲ τοῦτο μόνον, ἀλλὰ καὶ χρυσὸν καὶ ἄργυρον εἴ που κεκρυμμένον ἔχοι, καὶ ταῦτα ὁμολογεῖν ἐβιάζετο· ἡ δὲ πολὺν μὲν κόσμον ἔχειν ἔφη ἀργύρου καὶ χρυσοῦ, ἔντε ὅρμοις, καὶ ψελλίοις, καὶ ἐκπώμασι, καὶ νομίσμασιν. ἁλισκομένης δὲ τῆς πόλεως πάντα ἐμβαλεῖν εἰς τὸ φρέαρ ὕδωρ οὐκ ἔχον· ὁ Θρᾷξ ἐπίστευσεν. ἡ δὲ ἤγαγεν αὐτὸν εἰς τὸν κῆπον τῆς οἰκίας ἔνθα τὸ φρέαρ ἦν· καὶ καταβῆναι κελεύει. ὁ μὲν καταβὰς τὸν ἄργυρον καὶ τὸν χρυσὸν ἐζήτει· ἡ δὲ ἄνωθεν μετὰ τῶν θεραπαινίδων πολλοὺς αὐτῷ λίθους καὶ πέτρους ἐκύλιεν, καὶ κατέχωσε τὸν βάρβαρον. οἱ Μακεδόνες συλλαβόντες ἤγαγον ἐπὶ τὸν βασιλέα

CAP. XL.
TIMOCLEA.

Timoclea Thebana ſoror Theagenis, ejus qui ad Chæroneam cum Philippo prælium commiſit, quique exclamanti, usque quo perſequeris? reſpondit, usque in Macedoniam. Huic mortuo ſupererat ſoror. Thebas Alexandro diruente, alii alias civitatis partes vaſtabant. Timocleæ vero domum invaſit Thrax quidam equitum dux. Qui poſt cœnam Timocleam in thalamum accerſivit: neque hoc ſolum, ſed aurum etiam et argentum, ſicubi reconditum haberet, de his quoque confiteri eam cogebat. Illa ſe multum quidem ornatum auri argentique dicebat habuiſſe, in armillis, et monilibus, poculis et nummis. Capta autem civitate, ſe hæc in puteum aqua carentem projeciſſe. Thrax credidit. Illa duxit eum in hortum ædium, in quo puteus erat, eumque deſcendere juſſit. Qui cum deſcendens argentum et aurum quæreret, illa deſuper cum famulis multos lapides et ſaxa in eum devolvit, barbarumque obruit. Macedones eam comprehenſam ad Alexandrum

σιλέα Ἀλέξανδρον· ὁμολογήσασαν δὲ αὐτὴν ὡς παρανομοῦντα τὸν Θρᾷκα, καὶ βιαζόμενον ἠμύνατο, θαυμάσας Ἀλέξανδρος, αὐτήν τε ἐλευθέραν ἀφῆκε, καὶ πάντας τοὺς κατὰ γένος αὐτῇ προσήκοντας.

ΚΕΦ. ΜΑ.

ΕΡΥΞΩ.

Λάαρχος Κυρηναίων βασιλεὺς ἀποδειχθεὶς ὡς Βάττῳ τῷ Ἀρκεσιλάου τὴν ἀρχὴν φυλάττων, ἐγένετο ἀντὶ βασιλέως τύραννος, πάσῃ παρανομίᾳ χρησάμενος κατὰ τῶν πολιτῶν. τοῦ δὴ παιδὸς τοῦ Βάττου μήτηρ ἦν Ἐρυξὼ, σώφρων γυνὴ, καὶ δικαιοτάτη. ταύτης ἐρασθεὶς Λάαρχος ἐμνηστεύσατο. ἡ δὲ τοῖς ἀδελφοῖς αὐτὸν ἠξίου διαλέγεσθαι. τῶν δὲ 49 ἐξεπίτηδες ἀναβαλλομένων, ἔπεμψεν Ἐρυξὼ θεράπαιναν, ἀπαγγέλλουσαν, νῦν μὲν ἀντιλέγειν τοὺς ἀδελφούς· εἰ δὲ σύλλογος αὐτῶν καὶ ὁμιλία γένοιτο, καὶ δὴ συγχωρήσειν τοὺς ἀδελφούς. τῆς ἀρχῆς τοῦ γάμου γινομένης ἀσμένως δέχεται. καὶ δὴ νύκτωρ ἄνευ τῶν δορυφόρων ἧκε πρὸς τὴν Ἐρυξὼ, καὶ εἰς τι δωμάτιον εἰσελθὼν, περιπίπτει Πολυάρχῳ

49 MS. ἐπιτηδές.

xandrum regem adduxerunt. Confitentem autem ipſam, ſe barbarum, qui per vim et injuriam ſecum egerit, ultam eſſe: admiratus Alexander, tum ipſam liberam dimiſit, tum omnes qui eam generis conjunctione attingerent.

CAP. XLI.

ERYXO.

Laarchus Cyrenenſium rex declaratus, ut Batto Arceſilai filio imperium ſervaret, pro rege tyrannus evaſit, omni ſcelere uſus in ſuos cives. Battus autem ex Eryxo natus erat, fœmina modeſta, omniumque juſtiſſima. Hanc amans Laarchus, in matrimonium petebat. Illa cum fratribus ſuis eum colloqui juſſit. Quibus dedita opera cunctantibus, miſit Eryxo famulam nuntiantem, jam quidem fratres contradicere. Quod ſi conventus eorum, et colloquium haberetur, fore ut fratres conſentirent. Initio facto conjugii, facile conditionem ſuſcipit, et per noctem absque ſatellitibus ad Eryxo venit, et in domicilium quoddam ingreſſus, incidit in Polyarchum maximum natu

ΚΕΦ. Μ.
ΤΙΜΟΚΛΕΙΑ.

Τιμόκλεια Θηβαία, Θεαγένους ἀδελφὴ, τοῦ παραταξαμένου Φιλίππῳ περὶ Χαιρώνειαν· ὃς καὶ πρὸς τὸν ἐμβοήσαντα, Μέχρι που διώκεις; ἀπεκρίνατο, Μέχρι τῆς Μακεδονίας. τούτῳ τελευτήσαντι, περιῆν ἀδελφή. Θήβας κατέσκαψεν Ἀλέξανδρος. ἄλλοι μὲν δὴ ἄλλα τῆς πόλεως ἐπόρθουν. Τιμοκλείας δὲ τὴν οἰκίαν κατελάβετο Θρᾷξ ἵππαρχος· οὗτος ὁ Θρᾷξ μετὰ τὸ δεῖπνον ἐκάλει τὴν Τιμόκλειαν ἐς τὸν θάλαμον· καὶ οὐδὲ τοῦτο μόνον, ἀλλὰ καὶ χρυσὸν καὶ ἄργυρον εἴ που κεκρυμμένον ἔχοι, καὶ ταῦτα ὁμολογεῖν ἐβιάζετο· ἡ δὲ πολὺν μὲν κόσμον ἔχειν ἔφη ἀργύρου καὶ χρυσοῦ, ἔντε ὅρμοις, καὶ ψελλίοις, καὶ ἐκπώμασι, καὶ νομίσμασιν. ἁλισκομένης δὲ τῆς πόλεως πάντα ἐμβαλεῖν εἰς τὸ φρέαρ ὕδωρ οὐκ ἔχον· ὁ Θρᾷξ ἐπίστευσεν. ἡ δὲ ἤγαγεν αὐτὸν εἰς τὸν κῆπον τῆς οἰκίας ἔνθα τὸ φρέαρ ἦν· καὶ καταβῆναι κελεύει. ὁ μὲν καταβὰς τὸν ἄργυρον καὶ τὸν χρυσὸν ἐζήτει· ἡ δὲ ἄνωθεν μετὰ τῶν θεραπαινίδων πολλοὺς αὐτῷ λίθους καὶ πέτρας ἐκύλιεν, καὶ κατέχωσε τὸν βάρβαρον. οἱ Μακεδόνες συλλαβόντες ἤγαγον ἐπὶ τὸν βασιλέα

CAP. XL.
TIMOCLEA.

Timoclea Thebana ſoror Theagenis, ejus qui ad Chæroneam cum Philippo prælium commiſit, quique exclamanti, usque quo perſequeris? reſpondit, usque in Macedoniam. Huic mortuo ſupererat ſoror. Thebas Alexandro diruente, alii alias civitatis partes vaſtabant. Timocleæ vero domum invaſit Thrax quidam equitum dux. Qui poſt cœnam Timocleam in thalamum accerſivit: neque hoc ſolum, ſed aurum etiam et argentum, ſicubi reconditum haberet, de his quoque confiteri eam cogebat. Illa ſe multum quidem ornatum auri argentique dicebat habuiſſe, in armillis, et monilibus, poculis et nummis. Capta autem civitate, ſe hæc in puteum aqua carentem projeciſſe. Thrax credidit. Illa duxit eum in hortum ædium, in quo puteus erat, eumque deſcendere juſſit. Qui cum deſcendens argentum et aurum quæreret, illa deſuper cum famulis multos lapides et ſaxa in eum devolvit, barbarumque obruit. Macedones eam comprehenſam ad Alexandrum

σιλέα Ἀλέξανδρον· ὁμολογησάσαν δὲ αὐτὴν ὡς παρανομοῦντα τὸν Θρᾷκα, καὶ βιαζόμενον ἠμύνατο, θαυμάσας Ἀλέξανδρος, αὐτήν τε ἐλευθέραν ἀφῆκε, καὶ πάντας τοὺς κατὰ γένος αὐτῇ προσήκοντας.

ΚΕΦ. ΜΑ.

ΕΡΥΞΩ.

Λάαρχος Κυρηναίων βασιλεὺς ἀποδειχθεὶς ὡς Βάττῳ τῷ Ἀρκεσιλάου τὴν ἀρχὴν φυλάττων, ἐγένετο ἀντὶ βασιλέως τύραννος, πάσῃ παρανομίᾳ χρησάμενος κατὰ τῶν πολιτῶν. τοῦ δὴ παιδὸς τοῦ Βάττου μήτηρ ἦν Ἐρυξὼ, σώφρων γυνὴ, καὶ δικαιοτάτη. ταύτης ἐρασθεὶς Λάαρχος ἐμνηστεύσατο. ἡ δὲ τοῖς ἀδελφοῖς αὐτὸν ἠξίου διαλέγεσθαι. τῶν δὲ 49 ἐξεπίτηδες ἀναβαλλομένων, ἔπεμψεν Ἐρυξὼ θεράπαιναν, ἀπαγγέλλουσαν, νῦν μὲν ἀντιλέγειν τοὺς ἀδελφούς· εἰ δὲ σύλλογος αὐτῶν καὶ ὁμιλία γένοιτο, καὶ δὴ συγχωρήσειν τοὺς ἀδελφούς. τῆς ἀρχῆς τοῦ γάμου γινομένης ἀσμένως δέχεται. καὶ δὴ νύκτωρ ἄνευ τῶν δορυφόρων ἧκε πρὸς τὴν Ἐρυξὼ, καὶ εἰς τι δωμάτιον εἰσελθὼν, περιπίπτει Πολυάρχῳ

49 MS. ἐπιτηδές.

xandrum regem adduxerunt. Confitentem autem ipſam, ſe barbarum, qui per vim et injuriam ſecum egerit, ultam eſſe: admiratus Alexander, tum ipſam liberam dimiſit, tum omnes qui eam generis conjunctione attingerent.

CAP. XLI.

ERYXO.

Laarchus Cyrenenſium rex declaratus, ut Batto Arceſilai filio imperium ſervaret, pro rege tyrannus evaſit, omni ſcelere uſus in ſuos cives. Battus autem ex Eryxo natus erat, fœmina modeſta, omniumque juſtiſſima. Hanc amans Laarchus, in matrimonium petebat. Illa cum fratribus ſuis eum colloqui juſſit. Quibus dedita opera cunctantibus, miſit Eryxo famulam nuntiantem, jam quidem fratres contradicere. Quod ſi conventus eorum, et colloquium haberetur, fore ut fratres conſentirent. Initio facto conjugii, facile conditionem ſuſcipit, et per noctem absque ſatellitibus ad Eryxo venit, et in domicilium quoddam ingreſſus, incidit in Polyarchum maximum natu

λυάρχῳ τῷ πρεσβυτάτῳ τῶν Ἐρύξȣς ἀδελφῶν· ἔνδον λοχῶντι, καὶ δύο νεανίσκȣς ξιφήρεις ἔχοντι, ὑφ' ὧν κατακεντηθεὶς ἀπέθανε. τὸν δὲ Βάττον προαγαγόντες ἀπέφηναν βασιλέα, καὶ Κυρηναίοις ἀπέδωκαν τὴν πάτριον πολιτείαν.

ΚΕΦ. ΜΒ.
ΠΥΘΟΠΟΛΙΣ.

Πύθης χρύσεια μέταλλα εὑρὼν, πάντας τȣ̀ς πολίτας ἐκέλευε μεταλλεύειν, ὀρύσσειν, καθαίρειν χρυσίον, ἄλλο μηδὲν δρᾷν, μήτε ἐν τῇ γῇ, μήτε ἐν τῇ θαλάσσῃ. πάντες ἀπηγόρευον, ὔτε καρπȣ̀ς ἔχοντες, ὔτε ἄλλο τι τῶν πρὸς τὸν βίον πράσσοντες· αἱ δὲ γυναῖκες αὐτῶν ἱκετεύȣσι τὴν τȣ̃ Πύθȣ γυναῖκα Πυθόπολιν. ἡ δὲ ἐκέλευσεν ἐκείνας μὲν ἀπιέναι καὶ θαῤῥεῖν· αὐτὴ δὲ τȣ̀ς δημιȣργȣ̀ς τȣ̃ χρυσίȣ καλέσασα, ἐκέλευσε ποιεῖν ἰχθὺς χρυσȣ̃ς, πέμματα, ὡραῖα, ὄψα, βρώματα, πάντα χρυσᾶ. Πύθης ἐξ ἀποδημίας ἧκε, καὶ δεῖπνον ᾔτει. ἡ γυνὴ παρέθηκεν αὐτῷ χρυσῆν τράπεζαν, ἐφ' ἧς παρέκειτο ȣ̓δὲν ἐδώδιμον, ἀλλὰ πάντα χρυσᾶ ἐδωδίμοις ὅμοια. Πύθης ἐπαινέσας τὴν μίμησιν

natu inter Erixus fratres, qui intus in inſidiis latebant, duosque adoleſcentes enſibus armatos habentem: a quibus confoſſus obiit. Illi Battum productum regem deſignarunt, et Cyrenenſibus avitam Reipublicæ gerendæ rationem reſtituerunt.

CAP. XLII.
PYTHOPOLIS.

Pythes aureis metallis inventis, omnes cives jubebat inquirere, fodere, aurum purgare, nullum aliud opus facere, neque in terra, neque in mari. Omnes eam rem moleſte ferebant, quod neque fructus haberent, neque quicquam aliud ad vitæ cultum facere poſſent. Mulieres eorum ſuppliciter Pythopolim uxorem Pythis orant, ut de eo negotio apud virum ſuum intercedat. Quæ illas juſſit abire, et bonum animum habere. Ipſa vero convocatis aurifabris, præcepit eis, ut aureos piſces facerent, bellaria, poma, obſonia, cibos, omnia ex auro. Pythes reverſus e peregrinatione, cœnam petebat. Uxor auream ei menſam apponit, in qua nihil eduliorum erat, ſed omnia facta ex auro eduliis ſimilia. Pythes collaudata artis

μησιν τῆς τέχνης, ᾔτει φαγεῖν. ἡ δὲ προσέφερεν αὐτῷ ἄλλο τι χρυσοῦν ὅμοιον ἐδώδιμον, καὶ τοῦτο πάλιν. δυσχεραίνοντος δὲ, καὶ λιμώττειν ὁμολογοῦντος· ἀλλὰ γεωργίαν μὲν καὶ τέχνην πᾶσαν κατέλυσας· ἐκέλευες δὲ ὀρύσσειν ἄχρηστον χρυσίον, οὗ οὔτι τοῖς ἀνθρώποις ὄφελος, εἰ μὴ τοὺς σπειρομένους καὶ φυτευομένους καρποὺς ἔχοιεν. τῇ σοφίᾳ τῆς γυναικὸς ἐδιδάχθη Πύθης καταλῦσαι μὲν τὴν τῶν μετάλλων ἐργασίαν, ἀφεῖναι δὲ τοὺς πολίτας ἐπὶ γεωργίαν, καὶ τὰς ἄλλας τέχνας.

ΚΕΦ. ΜΓ.

ΧΡΥΣΑΜΗ.

Τῆς Ἰωνικῆς ἀποικίας ἐς τὴν Ἀσίαν ἀφικομένης, τοὺς Ἐρυθρὰς κατέχουσιν ἐπολέμει Κνῶπος τοῦ Κοδριδῶν γένους· ὁ θεὸς ἔχρησεν αὐτῷ στρατηγὸν παρὰ Θεσσαλῶν λαβεῖν τὴν ἱέρειαν τῆς Ἐνοδίας· ὁ δὲ πρεσβεύεται πρὸς Θεσσαλοὺς, καὶ μηνύει τὸ λόγιον τοῦ θεοῦ. οἱ δὲ ἔπεμψαν αὐτῷ τὴν ἱέρειαν τῆς θεοῦ Χρυσάμην. αὕτη φαρμάκων ἔμπειρος οὖσα, ταῦρον ἐξ ἀγέλης μέγιστον καὶ κάλλιστον συλλαβοῦσα, τὰ μὲν κέρατα κατεχρύσωσε, καὶ τὸ σῶμα κατεκόσμησε στέμμασι καὶ χρυσοπάστοις ἁλουργίσι. καὶ μετὰ τῆς τροφῆς ἀναμί-

tis effictione, poſtulabat quod ederet. Illa aliud quoddam aureum edulium ei affert, et hoc iterum. Indignanti marito, ac fame ſe laborare dicenti, reſpondit: At tu omnem agricultionem et artificium ſuſtuliſti, et aurum inutile fodere juſſiſti, quod nemini hominum uſui eſt, niſi fructus etiam ſeminatos plantatosque habeant. Hac uxoris prudentia Pythes edoctus metallorum opera reliquit, et cives ad agriculturam, aliasque artes exercendas dimiſit.

CAP. XLIII.

CHRYSAME.

Cnopus ex Codridarum genere oriundus, cum iis qui Erythram incolebant, cum Ionica colonia in Aſiam deduceretur, bellum gerebat. Deus oraculo prodiderat, ut ducem itineris a Theſſalis ſumeret ſacerdotem Hecates. Qui miſſa ad Theſſalos legatione, ſententiam oraculi eis indicabant. Illi ſacerdotem ei deæ miſerunt Chryſamen. Ea cum pharmacorum magnam peritiam haberet, taurum de grege ſumens, maximum et pulcherrimum, ejus cornua inauravit, et corpus ornavit ſertis, auroque intertextis

ἀναμίξασα μανιοποιὸν φάρμακον ἔδωκεν αὐτῷ φαγεῖν. τὸ δὲ φάρμακον αὐτόν τε τὸν ταῦρον ἐξέμηνε· καὶ τοὺς γευσαμένους αὐτοῦ μανιουργεῖν ἔμελλεν. οἱ μὲν δή πολέμιοι ἀντεστρατοπεδεύοντο. ἡ δὲ ἐν ὄψει τῶν πολεμίων βωμὸν παρατιθεῖσα, καὶ ὅσα πρὸς θυσίαν, ἐκέλευσε προσάγειν τὸν ταῦρον. ὁ δὲ ὑπὸ τοῦ φαρμάκου μεμηνὼς καὶ οἰστρῶν ἐξεπήδησεν, καὶ μέγα μυκώμενος ἔφυγεν. οἱ πολέμιοι χρυσόκερων κατεστεμμένον ὁρῶντες, καὶ φερόμενον εἰς τὸ ἑαυτῶν στρατόπεδον ἀπὸ τῆς θυσίας τῶν ἐναντίων, ὡς ἀγαθὸν σημεῖον, καὶ οἰώνισμα αἴσιον ἐδέξαντο, καὶ συλλαβόντες καλλιερούσι τοῖς θεοῖς, καὶ τῶν κρεῶν ἕκαστος φιλοτίμως ἐδέξαντο, ὡς δαιμονίου, καὶ θείας ἱερουργίας μεταλαγχάνοντες. αὐτίκα δὴ πᾶν τὸ στρατόπεδον ὑπὸ μανίας καὶ παραφροσύνης ἐξίστατο. πάντες ἀνεπήδων, διέθεον, ἀνεσκίρτων, τὰς φυλακὰς ἀπέλιπον. Χρυσάμη ταῦτα ἰδοῦσα τὸν Κνῶπον ἐκέλευσε διὰ τάχους ὁπλίσαι τὴν στρατιάν· καὶ τοῖς πολεμίοις ἐπάγειν, ἀμύνασθαι μὴ δυναμένοις. οὕτω δὴ Κνῶπος ἀνελὼν ἅπαντας, ἐκράτησε τῆς Ἐρυθραίων πόλεως, μεγάλης τὲ καὶ εὐδαίμονος.

ΚΕΦ. ΜΔ.

textis purpuris, atque cum pabulo furorem concitans pharmacum miſcens, comedendum ei propoſuit. Pharmacum hoc cum ipſum taurum in furorem adegit, tum omnes qui ejus carne veſcerentur, in rabiem poterat convertere. Hoſtes e regione caſtra locabant. Illa in conſpectu et oculis hoſtium exſtructa ara, omnibusque rebus, quæ ad ſacrificium pertinerent, paratis, taurum juſſit adduci. Ille propter pharmacum furens, et œſtro percitus, exſiliit, magnisque mugitibus editis fugit. Hoſtes videntes inauratis cornibus, et coronatum, ab hoſtium ſacrificiis in ſua caſtra ferri, quaſi bonum ſignum ac fauſtum omen ſuſcipiebant, comprehenſumque diis immolabant, ac de carnibus ejus quilibet partem arripit, ut numinis et divini ſacrificii participes fierent. Continuoque univerſus eorum exercitus furore, et amentia corripiebatur. Omnes exſiliebant, diſcurrebant, ſaltabant, cuſtodias relinquebant. Chryſame hæc conſpicata, Cnopum ſummà celeritate jubet exercitum expedire, et contra hoſtes ducere, qui defendendi facultatem non haberent. Ita Cnopus omnibus interfectis, Erythræorum urbe magna florentiſſimaque potitus eſt.

CAP. XLIV.

ΚΕΦ. ΜΔ.
ΠΟΛΥΚΛΕΙΑ.

Ἐπὶ Βοιωτοὺς οἱ πάλαι Θεσσαλίαν ᾤκουν ἐστράτευσεν Αἴατος ὁ Φιλίππου, Πολύκλειαν ἀδελφὴν ἔχων· Ἡρακλεῖδαι τὸ γένος ἄμφω. χρησμὸς ἦν [50] ἄρξειν ὃς ἐκ τοῦ γένους πρῶτος διαβὰς τὸν Ἀχελῷον, ἐπιβῇ τῆς πολεμίας. ἡ μὲν στρατιὰ τὸν ποταμὸν διαβαίνειν ἔμελλε. Πολύκλεια δὲ τὸν πόδα ἐπιδησαμένη, φάσκουσα τετρῶσθαι τὸ σφυρόν, παρακαλεῖ τὸν ἀδελφὸν Αἴατον διενεγκεῖν αὐτὴν ὑπὲρ τὸν ποταμόν. ὁ δὲ μηδὲν ὑποπτεύσας, ἀλλ' ὡς ἀδελφῇ βουλόμενος ὑπουργῆσαι, τὴν μὲν ἀσπίδα ἀπέδωκε τοῖς ὁπλοφόροις, τὴν δὲ Πολύκλειαν ἀράμενος, ἐβάδιζε διὰ τοῦ ποταμοῦ προθύμως. ἡ δὲ [51] γενομένου πλησίον τῆς ὄχθης, φθάσασα ἐξήλατο· καὶ μεταστραφεῖσα πρὸς τὸν ἀδελφόν, ἔφη· Ἐμὸν γέρας ἡ βασιλεία κατὰ τὸν τοῦ θεοῦ χρησμόν· πρώτη γὰρ ἁπάντων τῆς χώρας ἐπέβην. Αἴατος αἰσθόμενος τῆς ἀπάτης, οὐκ ἐχαλέπηνε· τὸ δὲ φρόνημα τῆς κόρης ἀγάμενος αὐτὴν ἔγημε. καὶ ὁμοῦ βασιλεύοντες, παῖδα Θεσ-

50 MS. male, confuſis vocibus, ἄρξινος ἂν ἐκ τοῦ γ. Unde legendum, ἄρξειν ὃς ἂν ἐκ τοῦ γ. 51 Vel γενομένη. Nam utroque modo legi poteſt. *Caſ.*

CAP. XLIV.
POLYCLEA.

Contra Boeotios, qui olim Theſſaliam incolebant, bellum geſſit Æatus Philippi filius, ſororem habens Polycleam, ambo ab Herculis ſtirpe genus ducebant. Oraculum exſtabat: Qui primus ex hoc genere transmiſſo Acheloo terram hoſtilem attigerit, imperium tenebit. Cum exercitus flumen transiturus eſſet, Polyclea pedem obligavit, inquiens plantam ſibi vulneratam eſſe. Rogat fratrem Æatum, ut ſe trans fluvium portet. Ille nihil mali ſuſpicatus, ſed tanquam ſorori inſervire volens, ſcutum armigeris tradidit: ſublataque in humeros Polyclea, alacriter per fluvium veſtigia ferebat. Qui cum ad ripam appropinquaſſet, illa prævertens exſiliit, et converſa ad fratrem, inquit: Mihi regnum debetur ex oraculi ſententia. Nam prima omnium terram ingreſſa ſum. Æatus intellecto dolo, nequaquam ægro animo tulit: ſed puellæ ſolertiam amplexus, eam uxorem duxit: ſimulque im-

Θεσσαλὸν ἐποιήσαντο, ἀφ' οὗ καὶ τὴν πόλιν Θεσσαλίαν προσηγόρευσαν.

ΚΕΦ. ΜΕ.

ΛΕΑΙΝΑ.

Ἀριστογείτων καὶ Ἁρμόδιος πῶς ἐπέθεντο τοῖς τυράννοις, οὐδεὶς Ἑλλήνων ἀγνοεῖ. ἦν γοῦν Ἀριστογείτονι ἑταίρα, ὄνομα Λέαινα. Ἱππίας τὴν Λέαιναν συλλαβὼν ἐβασάνισεν ἐφ' ᾧ τε ἐξειπεῖν τοὺς κοινωνήσαντας τῆς ἐπιθέσεως. ἡ δὲ πλεῖστον ὅσον ἀντεῖχεν· ἐκνικωμένη δὲ ὑπὸ τῶν βασάνων, ἵνα μὴ ἐξείποι, αὐτὴ τὴν αὐτῆς γλῶτταν ἀπέδακεν. Ἀθηναῖοι τὴν ἑταίραν τιμῆσαι θέλοντες, αὐτὴν μὲν οὐκ ἔστησαν ἐν ἀκροπόλει· τὸ δὲ ζῶον τὴν λέαιναν χαλκὴν δημιουργήσαντες, ἀνέθηκαν. εἴ τις ἀνῆλθεν εἰς ἀκρόπολιν, ἑώρακεν ἐν τῷ προπυλαίῳ τὴν λέαιναν χαλκὴν, γλῶσσαν οὐκ ἔχουσαν ὑπόμνημα τοῦ διηγήματος.

ΚΕΦ. Μϛ.

ΘΕΜΙΣΤΩ.

Θεμιστὼ Κρίθωνος Οἰανθίου θυγάτηρ· ταύτης ἤρα Φρικοδήμου τοῦ τυράννου παῖς Φίλων. Τύραννος ἐξήτει πρὸς γάμον

imperii gubernacula tenentes, filium Theſſalum genuerunt, a quo civitatem etiam Theſſaliam nuncuparunt.

CAP. XLV.

LEÆNA.

Ariſtogiton et Armodius, quemadmodum in tyrannos impetum fecerint, nemo eſt Græcorum qui ignoret. Erat Ariſtogitoni ſcortum nomine Leæna. Hippias comprehenſam Leænam in quæſtionibus examinavit, ut conjurationis ſocios indicaret. Illa pro virili parte reſtitit: ſed tormentorum vi ſuperata, ne aliquid excideret, ſuam ipſa linguam morſu abſcidit. Athenienſes honore meretricem afficere volentes, ipſam quidem non in arce ſtatuerunt: ſed animal leænam æneam fabricantes, conſecrarunt. Si quis in arcem aſcenderet, in veſtibulo ſtatim leænam æneam conſpiciebat, ad memoriam rei geſtæ, lingua carentem.

CAP. XLVI.

THEMISTO.

Themiſto fuit Crithonis Oeantii filia. Hanc deperibat Phricodemi tyranni filius Philo. Tyrannus poſtulavit in

μον τὴν κόρην. ὁ πατὴρ ἀντέλεγεν. ὁ τύραννος τοὺς υἱοὺς τοῦ Κρίθωνος ἀποσπάσας ἐν ὄψει τοῦ πατρὸς καὶ τῆς μητρὸς, παρέβαλεν θηρίοις πεινῶσι. τὴν δὲ κόρην ἀποσπάσας, ἐπετέλει πρὸς γάμον. Θεμιστὼ διὰ τὴν ἀνάγκην ὑποκρινομένη, ξίφος εἰσεκόμισε ὑπὸ τῷ χιτωνίσκῳ, καὶ τὸν νυμφίον καθεύδοντα ἐν τῷ θαλάμῳ [52] παρακλίνασα, τὸν τράχηλον εὐκόλως ἀπέσφαξεν, ὡς μηδὲ φωνὴν τοῦ φονευομένου γενέσθαι. [53] ταῦτα δὲ πάντα νύκτωρ λαθοῦσα, πάλιν ἐπὶ θάλασσαν κατελθοῦσα, ἀκάτιον εὑροῦσα, πνεύματος ἐπιτυχοῦσα, τὸ ἀπόγειον ἑλκύσασα, μόνη ἀναχθεῖσα κατέπλευσεν ἐς Ἑλίκην, πόλιν τῆς Ἀχαΐας, ἔνθα Ποσειδῶνος ἱερὸν ἅγιον ἦν. τούτῳ προσέφυγεν ἱκέτις. Φρικόδημος τὸν ἕτερον τῶν υἱῶν ἀδελφὸν τοῦ φονευθέντος Ἡράκοντα ἔπεμψεν, ἐξαιτήσοντα παρὰ τῶν Ἑλικαίων τὴν κόρην. οἱ μὲν δὴ ἐξέδωκαν· ἐπεὶ δὲ ἀνήχθησαν, χειμὼν μέγας ἐξέωσε τὸ σκάφος ἐπὶ τὸ Ῥίον τῆς Ἀχαΐας· οὗ προσορμισαμένοις ἐπεφάνησαν ἡμιολίαι δύο Ἀκαρνάνων ἐχθρῶς πρὸς τὸν τύραννον ἐχόντων, οἳ τὸ σκάφος ἐξαψάμενοι, κατῆγον ἐς Ἀκαρνανίαν. τὸ πλῆθος τῶν Ἀκαρνάνων μαθόντες τὰ πεπραγμέ-

52 *Vulg.* κατακλίνασα. conject. *Caſaub.*

53 ταῦτα δὲ πάντα πράξασα.

